F. A.
950

CLASSICORUM AUCTORUM

E VATICANIS CODICIBUS EDITORUM

TOMUS X.

27-4-A-N. 10.

Digitized by Google

CLASSICORUM AUCTORUM

E VATICANIS CODICIBUS EDITORUM

TOMUS X.

S. CYRILLI ALEXANDRINI
COMMENTARIUS IN LUCAE EVANGELIUM.
ITEM ALIORUM PATRUM
FRAGMENTA.

ROMAE
TYPIS COLLEGII URBANI
M·DCCC·XXXVIII·

Digitized by Google

Digitized by Google

Aloisio Laubruschinio
S. R. E. Cardinali Bibliothecario
SS. Domini Gregorii PP. XVI.
Adminisiro
Angelus Maius S. R. E. Cardinalis
tit. S. Anastasiae.

Vigilanti tibi, Domine mi eminentissime, in gravissimis Ecclesiae negotiis ad nutum sanctissimi D. N. Pontificis Maximi sapienter et sine requie expediendis, neque tamen sacra litterarum studia, quibus a pueritia innutritus es, omittenti, novum ego Cyrilli alexandrini, viri eloquentissimi, scriptum, e vaticanis codicibus te favente depromptum, cum aliorum aliquot Patrum ex eodem fonte derivatorum fragmentis, libens exhibeo. Neque vero apud te Cyrillum, tam splendidum Ecclesiae sidus, pluribus verbis commendabo, de cuius inedito opere, in praefatione ad lectores satis disputavi. Unum commemorabo ex hoc libro dictum, quod tuae vi-

Digitized by Google

tae rationi, tuisque solandis pro religione laboribus idoneum est. Sic enim p. 140. *Cyrillus ait:* existimo praesules populorum, et qui Christi gregi ductando electi sunt, necessariis semper negotiis occupari debere, atque id publice agere quod Deo gratum est. *Revera Cyrillus ipse in omni vita sua actuosissimus fuit, fugamque otii et laboris perseverantiam scriptis suis saepe laudavit, veluti exordio homiliae paschalis XVII; et rursus homilia XXVI, his brevibus verbis:* φιλεῖ γὰρ ἱδρῶτας ἡ ἀρετὴ: sudores virtuti iucundi sunt. *Denique dialogo VII. de Trinitate:* τὸ γάρ τοι χρῆναι τλῆπαθεῖν, ἁγιοπρεπὲς: laborum patientia sanctos utique viros decet. *Accipe igitur, Aloisi Cardinalis, a Collega tui studiosissimo litterarium munus, ingenio dignitati religionique tuae valde conveniens; quod dum perleges, de plurimo amore eius, qui tibi id obtulit, benigne ut spero cogitabis.*

Digitized by Google

EDITORIS PRAEFATIO.

PARS I.

DE S. CYRILLI ALEXANDRINI COMMENTARIO IN LUCAM.



Ex quo tempore nova scripta S. Cyrilli Alexandriae patriarchae edidi de sanctissima Trinitate, et de Verbi incarnatione, et de beata Maria deipara, cum eiusdem S. Patris nonnullis epistolis, atque operum deperditorum fragmentis (1); magna me cupiditas numquam deseruit, augendorum *adhuc*, *si fieri* posset, admirandi viri summique theologi operum, quem Bellarminus (2) circa mysterium quidem incarnationis dominicae, ab ipso Deo doctum existimavit. Tanta est Cyrilli hac in re doctrinae profunditas, tam acutus intellectus, tam copiosa narrandi ubertas, et cum perspicuitate facilitas! Converti igitur animum ad codices vaticanos, quos quum diu manu olim tractavissem, non me fugerat, latere ibi Commentariorum Cyrilli ad Lucam partes non modicas, quas si publici iuris facerem, bene me de ecclesia et de sacris litteris meriturum esse sperabam.

(1) T. VIII. Scriptor. vet. part. 2. Item T. VII. inserta operibus Anastasii atque Leontii. Denique classic. Auctor. tom. IX. partem Cyrilli commentariorum in Cant. Salom. dedimus.

(2) De Scriptor. eccles. ad an. 430.

Digitized by Google

Atque in primis reapse S. Cyrillum Commentarios scripsisse ad Lucae evangelium, dubitari non poterat. Quamquam enim hi inter edita opera nusquam apparent, sanctus tamen Thomas aquinas in aurea sua latina catena (cuius nobile exemplar, Romae anno 1470. impressum, in domestica bibliotheca lego); praetereaque Balthasar Corderius in latina aeque catena abs se edita, permultas S. Cyrilli recitant auctoritates, quas neque ex aliis eiusdem Patris operibus esse detractas, et reapse ad Commentarios eius in Lucam (qui olim extiterunt) pertinere, luce meridiana manifestius est. Verumtamen hoc valde molestum erat, quod utraque catena, tam S. Thomae quam etiam Corderii, latina tantum lingua, ut dixi, sonabant; graecam ipsam Cyrilli loquelam non audiebamus: praeterea nec admodum copiosae erant apud utrumque librum reliquiae Cyrilli, nec iustam commentarii rationem aut modulum habebamus.

Ad graecos igitur codices respiciendum erat, id quod a me factum non sine prospero eventu fuit. Etenim mirum deprehendi codicem, formae maximae, litteris minimis, foliis 320. constantem, saeculo ferme XII. exaratum, in quo Nicetas constantinopolitanus diaconus, et deinde Serarum in Macedonia episcopus, thesaurum, ingentem congessit Commentariorum ad Lucam, ex plurimis patribus, retento cuiusque nomine et ver-

bis, consarcinatum, uti videre est in nono Scriptorum veterum a me editorum volumine, ubi hanc syllogen quatenus erat inedita collocavi. Hos inter patres, antiquitate, copia, et merito, eminebat Cyrillus alexandrinus, cuius nomen in singulis prope paginis mihi occurrebat. Statim ergo agnovi, me si non omnem Commentarii eius deperditi in Lucam, certe copiosam partem tenere, quam seorsum a reliquis edere, praesertim quia mediocre volumen ferme implebat, prudens consilium visum est.

Interim levi instituta vaticani codicis graeci cum latinis D. Thomae et Corderii excerptis comparatione, videbam quidem homines ex eodem veluti fonte potantes, sed longe parcius quam Nicetas; ita ut abundantes Cyrilli latices, per illorum rivulos et quidem alieno colore imbutos, aegre diffluerent, neque studiosorum siti nec gustui satis facerent. Quamobrem ad genuinum et uberem Cyrilli textum ex vaticano codice hauriendum constante animo incubui. Quod quum fecissem, alium deinde sum nactus codicem a nicetiano prorsus diversum, in quo item Cyrilli in Lucam excerpta non pauca erant, quae in consequente voluminis parte attexui, additis etiam homiliarum fragmentis aliquot, nondum ut reor cognitis, quae commentarii locum tenebant. Nam multas Cyrilli homilias desiderari, tituli earum apud varios auctores demonstrant. Utique homi-

lias Cyrilli in Pauli epistolas ad Corinthios et ad Colossenses memorat Severus antiochenus. Tertium adhuc accessit catenae in Lucam exemplar, ex quo locos Cyrilli octo detraxi. Postremo quum grandem priscumque inspicerem codicem vaticanum, ex quo olim catenam Patrum in Danielem prophetam edidi, in simili ibidem ad Isaiam atque Ezechielem catena complures offendi breviores locos cum hoc diserte singulos titulo τοῦ ἁγιωτάτου Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας ἐκ τοῦ εἰς τὸ κατὰ Λουκᾶν εὐαγγέλιον : *sanctissimi Cyrilli archiepiscopi Alexandriae, ex eius in Lucae evangelium commentario*; quae fragmenta, omnia, pretiosi instar pulvisculi, diligenti studio conquisita, in meam rem sevocavi.

Nunc de novo Cyrilli opere argumenta in medium a me proferri necesse est. Latina, ut dixi, D. Thomae et Corderii excerpta cum graecis nostris saepe conspirant : quod vero graeca nostra saepe in latinis desiderantur, vicissimque latina graecis nuper repertis haud raro non respondent, id a voluntate excerpentium profectum est, qui modo hoc modo illud, modo plura modo pauciora, ex integro Cyrilli opere, pro suo quisque instituto aut libito, in propriam syllogen derivaverunt. Ecce enim primum apud Thomam fragmentum est : *quod autem dicit huius Verbi visores fuisse apostolos, concordat cum Iohanne qui dicit, Verbum caro factum est, et habitavit*

in nobis, et vidimus gloriam eius; *Verbum namque, mediante carne, visibile factum est.* Id, inquam, primum in libro aeque nostro fragmentum est, sed duplo apud nos auctius.

Iam ut ad ipsos cyrilliani operis testes veniam, Scholiastes pervetus palatinus, a me in nono volumine editus, ad Luc. VI. 12. p. 442. Cyrilli laudat de evangelico illo loco auctoritatem, quae reapse occurrit in commentario, qui nunc editur; p. 79. et 83. Sic enim Scholiastes: ἔδειξε διὰ τούτου, ὡς Κύριλλος φησὶ, τύπον ἀσκητικὸν, ὑποδεικνύων διὰ πραγμάτων αὐτοῖς, ὡς διὰ λόγων, ὅτ' ἂν λέγῃ, σὺ δ' ὅτ' ἂν προσεύχῃ κλεῖσον τὴν θύραν σου. In commentario autem p. 83. adamussim legitur: διανυκτερεύσας εἰς προσευχὴν ὁ κύριος – τὰς πρός γε τὸν ἐν οὐρανοῖς πατέρα καὶ θεὸν διαλέξεις ποιησάμενος, καὶ τύπον ἡμῖν σωτηριώδους πράγματος ἑαυτὸν παραθείς. Rursus palatinus Scholiastes ad Luc. XV. 1. relata quorumdam interpretum opinione, qui in filio prodigo ethnicos, in seniore autem filio sobrio Israëlem denotari putaverant, subdit, Cyrillum hanc explicationem non recepisse: ἕτεροι μὲν πρεσβύτερον, τὸν κατὰ σάρκα Ἰσραήλ· διὰ δὲ τοῦ νεωτέρου, τὰ ἔθνη· ὁ δὲ ἅγιος Κύριλλος ταῦτα οὐ δέχεται. Revera Cyrillus in commentario apud nos p. 277, praedicta nonnullorum recitata sententia, ait: ἀπόψηφος δὲ ταῖς περὶ τούτων δόξαις εἰμὶ μὲν ἐγώ: *ab huiusmodi opinationibus ego quidem dissentio.*

Tertium testimonium huic Cyrilli commenta-

rio dant codices vaticani, catenas Patrum ad Lucam continentes, qui eiusdem nomen constanter inscriptum habent: sunt autem hi complures; quamquam ego tres tantummodo praestantiores adhibui.

Anonymus praeterea quidam Lucae interpres cap. III. 19, in libro nostro p. 508. Cyrilli explanationem in Lucam memorat, ubi ait ipsum, Herodis Baptistam occidentis, eo loco non meminisse: ὁ μακάριος Κύριλλος τοῦ Ἡρώδου ἐν τῇ ἑρμηνείᾳ οὐκ ἐπεμνήσθη. Itaque in nostro Cyrilli libro nullum eius narrationis vestigium est. Denuo Interpres anonymus apud nos p. 512-513. Cyrilli commentarium in Lucam diserte appellat, ubi ait legendam esse Cyrilli admirabilem interpretationem loci evangelici, ubi Christus Isaiae librum coram populo in templo legit: ζήτησον περὶ τὰ μέσα τοῦ ἑβδόμου κεφαλαίου τοῦ παρόντος εὐαγγελιστοῦ, ἔνθα ὁ Χριστὸς λαβὼν τὸ βιβλίον Ἡσαΐου τοῦ προφήτου ἀνέγνω· εὑρήσεις γὰρ ἐκεῖ ἑρμηνείαν θαυμαστὴν τοῦ ὁσίου Κυρίλλου, ἣν ποιεῖται εἰς τὸ κηρύξαι ἐνιαυτὸν κυρίου δεκτόν. Illa autem mira anni acceptabilis interpretatio, apud nos extat copiosa in commentario p. 40-43.

Adhuc anonymus Lucae Interpres nostro in libro p. 511. post recitatum Cyrilli locum, qui est apud nos p. 54, de quibusdam Hieremiae verbis, ait: προφητικὸν ῥητὸν τοῦ θείου Ἱερεμίου, ὅπερ ἄνωθεν ἐξηγήσατο ὁ ἅγιος Κύριλλος, τὸ, ἰδοὺ ἐγὼ ἀποστελῶ ἁλιεῖς πολλοὺς, λέγει κύριος, καὶ ἁλιεύσουσιν αὐτοὺς: *quod*

propheticum Hieremiae dictum paulo supra explanavit sanctus Cyrillus.

Postremum testimonium est catena vaticana in prophetas Isaiam, Ezechielem, ac Hieremiam, ex quarum prioribus nos ipsi locos quindecim sumpsimus S. Cyrilli nominatim commentarii in Lucam; in postrema autem, a Gislerio iamdiu graece latineque vulgata, locum T. II. p. 886. item legimus, qui ex cyrilliano in Lucam commentario decerptus dicitur. Sunt autem hi sexdecim loci, totidem testimonia cyrilliani in Lucam commentarii; quandoquidem eius operis titulus unicuique fragmento praeponitur.

Est igitur undequaque manifestum, et a Cyrillo scriptum fuisse in Lucae evangelium commentarium, et nos hunc ipsum e vaticanis codicibus sumptum, haud sane integrum sed copiosum tamen et nobilem, in lucem nunc emittere: quem quidem spatiosum admodum ab auctore confectum fuisse arbitror, si certe de commentariis eiusdem in Iohannem atque Matthaeum coniecturam facere volumus; quorum priorem latissimum in editione videmus; alterius autem deperditi, citantur ab Anastasio apud me (1) libri II. III. et VI; in theologicis autem apud me (2) rursus excerptis, libri V. et VII; et in sextae synodi actis, libri XI. et XII. Ex his, inquam exem-

(1) Scriptor. vet. T. VII.
(2) T. VIII. sub fin.

plis, et ex uberrima Cyrilli scribentis facultate, lucubrationem item ad Lucam magnopere copiosam fuisse, augurari licet; id quod persuadent etiam catenae tum thomistica tum corderiana, nec non varii codices, apud quos plurimae deflorationes leguntur, non repetitae solum, verum etiam diversae ac dissitae, ex eodem sparsim prato collectae.

Ferret animus, et si otium suppeteret, operae pretium videretur, comparationem graeci nostri commentarii cum latinis Corderii excerptis persequi, qui doctus ceteroqui vir, et de sacris litteris plurimum meritus, in errores varios, non tam propria quam aliena culpa, delapsus est. Quum enim catenae apographum, quo Corderius est usus, haud ipse manu sua confecerit, sed alius nescio quis, palaeographiae parum peritus, ex veneto codice sumptum in Germaniam ad illum miserit, haud rara nec levia menda extiterunt: cuius ego rei exemplum iamdiu protuli, cum *Theophanem* pro *theophania Eusebii*, sibi et nobis confinxisse Corderium, vel potius amanuensem Corderii, demonstravi (1). Nunc autem quod est secundum apud Corderium Cyrilli fragmentum (Luc. I. 73.), id in codice vaticano non Cyrillo sed Basilio auctori tribuitur, sub cuius reapse id nomine nos in sylloge nostra alibi (2) edidimus.

(1) Scriptor. vet. T. I. nov. ed. praef. p. XIII.

(2) Scriptor. vet. T. X. p. 633.

Causa autem errandi Corderio fuit compendium graphicum, quo Basilii in codice nomen effingitur, nimirum cum β (formae similis ferme τῷ ϰ, ut palaeographi norunt) superpositâ lineâ cum α. At Κύριλλος scribitur per ϰ, superposita υ, cum duabus λλ, qui interdum nexus ad Basilii nomen valde inclinat. Hac ergo specie deceptus Corderius, Cyrillum scripsit pro Basilio. Quod ut credibilius faciam, omnemque calumniandi suspicionem vitem, quodque magis interest historicos errores veritatis evidentia coarguam, immorabor paululum in auctorum indiculo, quem tomo suo Corderius praeposuit.

1. Legitur ergo in indiculo *Eutyches patriarcha, seu archimandrita monachorum.* Atqui nec Eutyches patriarcha c̄politanus fuit, neque haereticus archimandrita fragmentorum nostrorum parens est. Error autem inde manavit, quia nominis compendium Εὐτυχ. lectum fuit Εὐτυχὴς pro Εὐτύχιος, quae vera nominis positio est. Et reapse Eutychii patriarchae c̄politani fragmenta ex hac in Lucam catena nosmet edidimus partim in hoc volumine, partim in veterum Scriptorum nono.

2. Aestuat Corderius de Gregorio quodam, homine sine patria vel titulo, cuius duo fragmenta recitat Luc. cap. I. n. 32. et 36. Sed enim nihil id esse aliud, quam pravam codicis lectionem, cuius sigla similitudine quadam imperitos fallunt, certissimum est. Priore autem in loco pro

Γρηγορίου legendum est Φωτίου, uti nos edidimus T. IX. p. 632: κατετροπώσατο φησὶν οὐκ αἰγυπτίους etc. Altero autem in loco legendum est Ὠριγένους, ut est in codice vaticano, cuius locus latine a Corderio editus, reapse sub Origenis nomine extat graece in eius operibus T. III. p. 979.

3. Leguntur in corderiano indiculo *Isaacus archiepiscopus*, itemque *Marcus archiepiscopus*; mendosa vero utraque lectio fuit graeci compendii quo μοναχὸς denotatur non autem ἀρχιεπίσκοπος, id quod palaeographiae initiati sciunt. Iam ut ignoti sunt hi archiepiscopi, ita notissimi monachi Isaacus et Marcus.

4. Methodius patriarcha (c̄politanus) scribitur a Corderio, qui reapse est Methodius patarensis, clarissimus auctor. Est in codice apud nos p. 460, in editione autem tom. praedict. p. 680 Μεθοδίου Πατ̄ρ, quod est Πατάρων, non πατριάρχου.

5. Severus antiochenus quis fuerit, ignorare propemodum se fatetur Corderius. Atqui is est illustrissimus in ecclesiasticis fastis homo, et innumerorum scriptorum parens, in catenis passim laudatus, quamquam eius operum nonnisi plerumque tituli et fragmenta extant. Nec sane levius peccat infra Corderius, ubi *Servium* inter suae catenae auctores scribit, disputatque inutiliter de *Servio* et *Sergio*: etenim unus idemque *Severus* est antiochenus archiepiscopus, cuius fragmentum (Luc. cap. VII. n. 38.) de tribus fe-

minis Christi caput pedesque ungentibus, latine sub Servii nomine a Corderio recitatum, graece nos legimus in codice vaticano sub iusto Severi nomine, idque in hoc libro nostro p. 421. exhibuimus.

6. Certissimum aeque Corderii sphalma est distinguentis in auctorum indiculo *Victorium* a *Victore*: quod enim ipse fragmentum latine recitat Luc. cap. VII. n. 40. sub corrupto *Victorii* nomine, id graece apud nos (1) sub iusta Βίκτωρος appellatione ponitur, duce optimo codice vaticano.

7. Postremo apud divum quoque Thomam in catena cap. XII. v. 23., mendo ut puto typographi *potius quam auctoris*, *Theodoricus* interpres legitur pro *Theodoritus*, seu ut vulgo scribitur *Theodoretus*.

Cyrilliani in Lucam commentarii formam haud equidem per homilias ad populum dictas elaboratam fuisse arbitror, sed per continuam potius et umbratilem lucubrationem; veluti a Cyrillo factum videmus ad Pentateuchum, ad Isaiam, atque ad Iohannem. Quid quod in codice vaticano homiletici loci diserte ab aliis distinguuntur? Quid quod in catena prophetica citatur ἐκ τοῦ (non ἐκ τῶν) εἰς τὸ κατὰ Λουκᾶν εὐαγγέλιον? Quid quod denique ab anonymo interprete dicitur Cyrilli ἑρμηνεία, veluti illi ad Matthaeum et Paulum commentarii appellantur ὑπόμνημα vel ἑρμηνεία? Quod

(1) Script. vet. T. IX. p. 634.

autem semel p. 512. appellantur Cyrilli λόγοι, id de fusiore potius ad eum locum disputatione intelligendum videtur. (Attamen Glaphyrorum quoque capitula, more homiletico desinunt, ita ut recitata ad populum fuisse suspiceris.) Quod si Corderius homileticum Cyrilli commentarium ad Hieremiam prophetam a se deprehensum in scorialensi codice existimavit et edidit, cognitum deinde est eas esse non Cyrilli, sed Origenis homilias, quarum latine duodecim Hieronymo interprete extabant; reliquas septem Gislerius ante Corderium iam graece ediderat cum sua ad Hieremiam catena; postrema denique, liber Clementis alexandrini erat. Neque idcirco laus Corderii non plurima est, a quo graecum duodecim Origenis homiliarum textum accepimus.

Atque ut neminem omnia scire, lucidius adhuc demonstrem, magnus ille Iohannis Chrysostomi editor atque ampliator Montfauconius, ignoravit aeque Gislerii catenam, tribus grandibus voluminibus graece latineque in Gallia iamdiu ante se editam. Quum enim sexto in tomo p. 157. ad Hieremiam ventum est, narrat quidem de spurio quodam in eum prophetam commentario, quem Chrysostomo multi codices tribuunt, eiusque specimen a Savilio sumptum perbreve tradit; de genuino tamen et amplo (quamquam minime integro) Chrysostomi in Hieremiam commentario, qui cunctas fere gislerianae editionis paginas occupat,

ne verbum quidem dicit Montfauconius, nedum illum in suam editionem infert; quod, nisi penitus rem ignorasset, numquam commisisset. Haec ego de magnorum virorum lapsibus maerens dico; meae vicissim tenuitatis errores alii suo iure arguent.

Quaerent multi, cur Cyrillum, atque alios heic et alibi auctores graece tantum ediderim; quibus ut respondeam, aio, me tot bonorum scriptorum copia obrutum, temporis tamen penuria pressum, sed quietem et eruditum otium deinde sperantem, id nunc egisse quod plurimi intererat, nempe ut has pretiosas sacrae praesertim antiquitatis reliquias, *morae diuturnioris impatiens*, typis com*mitterem*, atque ab interitu aut a variae fortunae casibus in incolumitatem aeternam vindicarem. Quare et chartae tam fui parcus, ut evangelicos ipsos textus ex his commentariis submoverem, quia nimirum versiculorum adnotatio vicem indicii implebat. Ceteroqui Cyrillum saltem, vita comite, in latinam linguam translaturus postea sum, ne graece nescios, tam salutari sanctissimi Patris doctrina carere sinam. Ecce enim in singulis prope paginis Verbi divinitatem, et ineffabilem humanae carnis assumptionem, totamque oeconomiam, duarum etiam naturarum et operationum in Christo distinctionem pp. 19. 506. 508. 553 Cyrillus explicat et propugnat; alia multa christianae theologiae dogmata passim adserit (veluti p. 69.

et 517. paenitentialis sacramenti institutionem ; p. 93. 252. 524. divinae gratiae auxilium ac necessitatem ; p. 373. humanae carnis resurrectionem ; p. 534. animae poenarumque immortalitatem , ut alia multa omittam.) Ethnicos , Iudaeos , Macedonianos , Eutychianos ac Phantasiastas , Marcionitas etiam ac Manichaeos , atque omnes haereses refutat , quas p. 224. portas inferi appellat. Arianos tamen praecipue ac Nestorianos insectatur ; illos quidem ut episcopus urbis quae Arium aluit ; hos ut pestem nuper grassantem , et se duce depulsam : evangelicas parabolas , dominicam orationem atque conciones , divinae bonitatis thesauros , mira facundia edisserit : Mariae perpetuam virginitatem , et divinam maternitatem celebrat : novum cum vetere testamento , evangelium cum Moyse ac prophetis , Paulum cum psalmis felicissime miscet ac nectit : interpretationes novas pulcherrimas spontanea quadam et subita ingenii vi , et tamquam caelitus data auctoritate , in medium affert : monita ethica de fuga voluptatum , de eleemosyna , de iniuriarum oblivione , de fraterno amore , de vita apostolica , de fortitudine animi in retinenda orthodoxia adversus haereses , de orandi studio , de salutari ieiunio , de animi pia demissione , de odio saeculi , de divitiarum contemptu , et de futurorum bonorum expectatione , manibus ut ita dicam plenis accumulat. Nam quod p. 298. ait divinum iudicium ac re-

munerationem post mortuorum resurrectionem Christique reditum fore, id non ita intelligendum esse, ut schismatici Graeci Armeniique solent, sed potius (ut dixi in scholio) de plena corporis cum anima remuneratione, demonstrat ipse Cyrillus in homilia prima paschali, de patriarcha Theophilo decessore suo scribens, quod is videlicet, morte interveniente, *ad caelestes sedes, Deo sic iudicante nuper avolasset*: κρίσει θεοῦ καλῶς τὸν καθ' ἡμᾶς ἀπαλλάξαντος βίον, καὶ πρὸς τὰς οὐρανίους ἀναπτάντος μονὰς, τοῦ τῆς ἀοιδίμου καὶ πανευφήμου μνήμης πατρὸς ἡμῶν Θεοφίλου τοῦ γενομένου ἐπισκόπου, εἰς ἐμὲ τὸν ἐλάχιστον ἡ τῆς ἐπισκοπῆς κατήντησε διαδοχή. Venerabile denique Christi corporis sub eucharistico velo praesentis mysterium, perspicue docet Cyrillus pp. 31. 53. 77. 170. 370-374. Quin adeo p. 375. transubstantiationem ipsam aperte confirmat dicens: *oportebat per sanctum Spiritum intra nos, eo quo decet Deum modo versari; nostrisque veluti propinari corporibus per suum corpus sanguinemque pretiosum: quae sane per vivificam benedictionem habemus, tamquam in pane ac vino. Ne forte enim obtorperemus, si carnem et sanguinem in sanctis ecclesiarum mensis propositos aspiceremus, indulgens nostris infirmitatibus Deus, vitalem vim propositis speciebus inspirat, easque ad sui corporis efficientiam transmutat.* Insigni deinde sententia sermonem concludit sic: *neque ambigas, utrum id verum sit nec ne;*

quandoquidem ipse manifeste dixit : hoc est corpus meum , et hic est sanguis meus. Immo vero Servatoris verba cum fide recipe ; qui quum sit veritas , non mentitur (1). Quid ergo heterodoxi a suis decepti pseudo-magistris dicent? Quas tantae veritatis luci offundent tenebras ? Et non potius in catholici coetus sententiam pedibus ibunt? Egregia quoque prae ceteris homilia est Cyrilli inter editas apud Aubertum de sanctissima Eucharistia , quam is ultimam habuisse videtur ad populum , quandoquidem vitae se iam fessum , curvumque et pedibus vix insistentem dicit ; quo in sermone catholicam quoque sententiam tuetur quod ipsis Christi verbis fiat consecratio , ὠδήγησε διὰ γράμματος. Haec , inquam , extrema fortasse fuit Cyrilli homilia ; sicuti illa prima paschalis , primus sine dubio sermo fuit archiepiscopi Cyrilli ad populum dictus , quia ibi se Theophilo successisse nunciat , ut paulo ante retulimus. Admirandus profecto vir , qui et de ipso Catholicorum in terris magistro coryphaeoque ac firmamento Petro recte sentit in hisce scriptis (p. 380.), et successorem eius Caelestinum, cuius etiam vice apud synodum ephesinam functus est , memorandis his in homilia de S. Deipara (2) verbis prosecutus est : ὅτι γὰρ τούτων οὕτως ὄντων ἀλη-

(1) Confer aliud testimonium Cyrilli apud nos T. IX. classicor. Auctor. p. 409.

(2) Opp. T. V. part. II. p. 384.

δῶς, μάρτυρα παρέχωμεν ἀξιόπιστον, τὸν ἁγιώτατον καὶ ἀρχιεπίσκοπον πάσης τῆς οἰκουμένης, πατέρα τε καὶ πατριάρχην Κελεστῖνον τὸν τῆς μεγαλοπόλεως Ῥώμης : *quod autem haec ita se habeant, testem proferamus fide dignum, sanctissimum scilicet et* TOTIUS MUNDI ARCHIEPISCOPUM, *patremque et patriarcham Caelestinum magnae urbis Romae.*

Utinam vero non Commentarium tantummodo in Lucam, sed illa omnia Cyrilli opera, quae multa nimis perierunt, in vitam possem revocare! Ecce enim vel unus septimus Scriptorum veterum tomus meus, complurium ineditorum notitiam continet (1). Cyrilli quidem adversus apostatam Iulianum opus in editionibus imperfectissimum est, quod tamen nemo criticus dixerat. Certe decem libri editi neque Iuliani obiectionum nisi minimam partem continent, neque plenam idcirco perniciosissimi operis refutationem. Nunc apud Anastasium atque Leontium et Iohannem a me praedicto in volumine editos, citantur Cyrilli contra Iulianum libri consequentes usque ad decimum nonum. Sic item laudantur cyrilliani loci ex deperditis in Matthaeum, in epistolam ad Hebraeos, et in quintum psalmum commentariis; ex libro vel sermone contra Synusiastas, ex opere contra Diodorum, ex homiliis, et ex aliis aliquot lucubrationibus quae lucem numquam aspexerunt. Cyrilli de-

(1) Videsis indicem generalem Scriptor. vet. T. X. part. II. p. 376-377

nique varii argumenti possideo reliquias. In summa tantum mihi ineditorum Cyrilli operum deprehensum est, ut iustum tomum parisiacae Auberti editioni additurus sim; quod revera me esse facturum, publice spondere non dubito.

Postulat autem hic locus, ut alterius cuiusdam operis, quod in manibus habeo, mentionem faciam, in quo permultae deperditorum Cyrilli scriptorum, aliorumque patrum, continentur sectiones. Est id Severi antiocheni patriarchae opus, cui duplicem titulum fecit *Philalethes*, seu *Cyrillus*, propterea quod doctrinam suam de unica in Christo natura, contortis ad suum libitum Cyrilli praesertim sententiis defendit. Is liber apud veteres satis famigeratus, graece nusquam apparet (exceptis brevibus fragmentis aliquot); sed extat syriace integer in codice perraro vel potius unico, cuius ego mihi interpretationem a peritissimo linguae magistro, Matthaeo Sciuhan maronita, faciendam curavi. Sane toto illo libro frustra est Severus, oleumque et operam perdit; nihil enim apud Cyrillum evidentius est, quam orthodoxa de duabus naturis doctrina; allatae autem abs Severo sententiae nihil probant: qua super re legendi sunt editi a me auctores prolixi Anastasius, Leontius, atque Eustathius, qui rem pro catholico dogmate, suffragante etiam Cyrillo, adeo conficiunt, ut iam nemo nisi plane hebes aut perfide pertinax Severi castra secuturus sit. Iamvero

id opus, praeter aliorum patrum χρήσεις, Cyrilli quoque, ut dixi, redundat auctoritatibus, et quidem ex operibus etiam desideratis. Porro Severus hanc libri sui machinam struxerat contra Iohannem caesariensem grammaticum, et episcopum, qui vir egregie catholicus apologiam pro chalcedonensi synodo ediderat, per capitula plus centum digestam; quae sane iamdiu vixit, sed eam Severus, si non integram, certe per summa capita praelibatam ante suum Philalethem collocavit; itaque et ipsa in manus meas incidit, eamque veluti editione dignissimam cum publico postea communicabo. Iamvero hic pariter auctor libros Cyrilli non solum editos, verum etiam ineditos pro recta fide tuenda recitat, puta contra Theodorum mopsuestenum, contra tarsensem Diodorum, contra Synchyticos, itemque varios Cyrilli laudat generali nomine commentarios, quos inter illum sine dubio in Lucam, quia in pagina operis ultima eum tractum adamussim scribit, qui est apud me praesenti in volumine p. 505, a verbis ἰόντος τοίνυν τοῦ νόμου κατὰ γυναικὸς usque ad illa ἐνεργείᾳ δὲ τῇ διὰ πνεύματος τὸ θεῖον ἡμῖν ἀπεκυήσασα βρέφος.

Dixi Severum vanissime laborare ut Cyrilli scripta ad monophysiticas partes trahat. Nam vel unus locus capitulorum Cyrilli a me editorum (1) Severi nervos tenedia securi praecidit: οὐκ εἰς πρόσ-

(1) Scriptor. vet. T. VIII. part. II. p. 99–100.

ωπα δύο τὴν οἰκονομίαν μερίζομεν, οὐδὲ υἱοὺς δύο ἀντὶ τοῦ μονογενοῦς κηρύττομεν τε καὶ δογματίζομεν, ἀλλὰ δύο μὲν τὰς φύσεις εἶναι καὶ μεμαθήκαμεν καὶ διδάσκομεν. – Οὐ τὰς φύσεις τοίνυν συγχέομεν, οὐδὲ κράσιν ποιητοῦ καὶ ποιήματος δογματίζομεν, καὶ τῆς κράσεως ὀνόματι τὴν σύγχυσιν συνεισφέρομεν, ἀλλὰ καὶ τοῦ θεοῦ λόγου τὴν φύσιν γνωρίζομεν, καὶ τῆς μορφῆς τοῦ δούλου τὴν οὐσίαν γινώσκομεν. Quid evidentius pro catholico dogmate dici potest? *duas esse naturas*, inquit Cyrillus, *et didicimus et docemus - Et Dei verbi naturam scimus, et servilis formae substantiam cognoscimus.* Hoc, ut reor, et alia huiusmodi Cyrilli testimonia quum Severus legeret, ac veritate iugularetur, eo demum confugit, teste apud me Eustathio (1), ut et *duas* naturas in Christo diceret, et eodem tempore *unam*; illud quidem, veritati obsequens; hoc autem, veluti excusans aut placans magistros suos phantasiastas Timotheum aelurum atque Dioscorum: Σευῆρος ὡς τὰ συγγράμματα αὐτοῦ δηλοῖ, δύο φύσεις λέγει καὶ μίαν, ταῖς μὲν τὴν ἀλήθειαν δυσωπῶν, τῇ δὲ τοὺς διδασκάλους αὐτοῦ ἀφοσιούμενος τοὺς φαντασιαστὰς Τιμόθεον τὸν αἴλουρον καὶ Διόσκορον. Atque hanc duplicem, quae absurditate non caret, loquendi rationem, in aliis quoque orientalium recentiorum scriptis, altius scilicet derivatam, dolens legi, a quibus nunc nominandis abstineo. Atqui post Leonis papae syn-

(1) Scriptor. vet. T. VII. part. I. p. 289.

odicam epistolam, et post chalcedonensem definitionem, unius naturae phrasim nulla pertinacia apud orthodoxos certe retinere poterit. Generatim autem observo, schismaticorum orientalium nostro etiam tempore sive in scriptis sive oretenus sermonem, ab illis priscis sectarum corruptarum auctoribus nequaquam abhorrere: quare qui neotericorum errores sive in liturgiis sive in aliis libris latentes dignoscere volet, is cum veteribus coryphaeorum scriptis conferat, ut filios scilicet ex parentum lineamentis cognoscat. Hic inquam lydius veluti lapis veritatem rei, quantumlibet fucatam aut abditam, comprobabit.

PARS II.

DE ALIIS QUI IN HOC VOLUMINE EDUNTUR AUCTORIBUS.

Severi patriarchae antiocheni, Monophysitarum antesignani, qui sub Iustiniano et Anastasio imperatoribus vixit, commentarium ad Lucae evangelium extitisse demonstrant passim catenae Patrum ad Lucam in codicibus obviarum, ubi Severi partes multae leguntur: regius autem parisiacus codex, catenam in libros regum continens, *Severi in Lucae evangelium* nominatim *commentarium* memorat, eiusque locum recitat, teste Montfauconio in bibliotheca Coisliniana p. 54. Quare et ego, quum in vaticanis codicibus, unde

Cyrillum expressi, non paucas Severi partes viderem, utile putavi Cyrillo ipsi eas subiungere, cui tantopere deditus fuit Severus; quamquam reapse eius nomine, et scriptis in suam prave sententiam vi pertractis, ad defendendam haeresim monophysiticam abusus est: cuius quidem labis nullum apparere vestigium in his Severi reliquiis videtur; sed tamen in loco insigni et prolixo de boni latronis paradiso p. 442-457, Severus paradisum distinguit a caelorum regno; et illum quidem putat esse terrestrem, id est adamiticum, et usque ad extremi iudicii diem duraturum; hoc autem caeleste ac sempiternum: quam ego pravam distinctionem (praesertim quia latronem bonum aliasque animas iustas usque ad mundi finem illuc relegant cacodoxi) in sexta quoque Photii amphilochiana quaestione reprehendisse me memini, et in aliis etiam orientalium auctorum scriptis legisse. Reapse autem hic est e multis Monophysitarum erroribus, ceu bene adnotavit Assemanus in dissertatione de Monoph. p. 20. bibl. or. T. II. Attamen in his Severi scholiis complura bona leguntur, veluti contra Phantasiastas et Manichaeos, p. 412-514., et de corpore ac sanguine Domini sub eucharistica specie latentibus praeclara doctrina p. 438-439. Sequitur Severi eiusdem explicatio textus lucani de Spiritus sancti adventu, quam ex integro Severi in acta apostolica tractatu aliquo detractam arbitror.

Origenis extitisse in Lucam commentarios, cognoscimus tum ex superstitibus apud interpretem Hieronymum homiliis, tum etiam ex catenis graecis mss., ubi is auctor passim interseritur. Et quidem eius operis fragmenta aliquot graeca attexta sunt hieronymianis homiliis in Origenis maurina editione; et multo plura a Gallandio scribuntur in suae bibliothecae appendice. Nos demum scholiorum Origenis in Lucae evangelium specimen novum exhibemus: iisque p. 600. fragmentum eiusdem in leviticum subtexuimus, quod in Gallandii spicilegio non apparebat.

Eulogii alexandrini saeculo sexto patriarchae *locos duos*, unum scilicet de Christo oves curae Petri commendante, alterum de turturum oblatione, ex catena item mss. excerpsimus; cuius auctoris fragmentum quoddam de ss. Trinitate, et complures aliae cum Anastasio reliquiae septimo in tomo Scriptorum veterum sunt. Eulogii autem lectio eximia προβάτια, de qua disserit, ab aliis etiam codicibus confirmatur.

Dionysii quoque fragmentum de lapsis vel peccatoribus ad paenitentiam recipiendis, e catenis sumpsimus. Auctorem arbitror patriarcham illum sanctissimum alexandrinum, cuius romanam operum editionem oppido decoram ante hos annos curatam videmus. Ceteroqui rem valde brevem diutius considerare non placuit.

Sequitur Cypriani mediocris tractus, qui no-

minatim inscribitur *de paenitentia*. Sane in decreto gelasiano sic legimus: *liber qui appellatur paenitentia S. Cypriani apocryphus*. Cypriani tamen martyris antiocheni oratiunculae duae, quae cum operibus Carthaginiensis coniungi solent, nihil habent nostro fragmento simile. Verum et Cyprianus nisibenus metropolita, saeculo octavo scriptis theologicis liturgicisque clarus, memoratur in Ebediesu catalogo Scriptorum cap. 73. Cypriani quidem ex opere cognito de eleemosyna conversum in graecam linguam fragmentum in codice quodam vat. vidi. Cypriani demum *de misericordia* fragmentum latinum est apud M. Mercatorem Bibl. Galland. T. VIII. p. 661.

Ex Apollinaris in Lucam commentariis mediocrem fragmentorum numerum iis adiungimus, quae primo in tomo scriptorum veterum dedimus.

Porro ad Athanasium corinthium quod adtinet, nihil ei brevi notitiae addimus, quam iam p. 499. scripsimus.

Arsenii, satis in ecclesiastica historia clari (si certe est ille πάνυ, aetatis theodosianae) multae erant in mss. catenis reliquiae; nos tamen uno loco satis luculento contenti fuimus contra nomicum tentatorem.

Nihil denique heic dicam de Ephraemii antiocheni fragmento, quod iam proprio in loco satis declaravi.

Quum otthobonianum vaticanae bibliothecae codicem, palaeographiâ (quippe saeculi decimi) valde conspicuum inspicerem, quinque in eo deprehendebam sermones graecos, nondum ut reor vulgatos; quorum primus totus est dogmaticus de Christi persona unica, adversus haeresim praecipue nestorianam, et de eius divinitate atque admirabili incarnatione. Sermonis auctor Gregorius presbyter, deinde patriarcha antiochenus, is videlicet qui Anastasio sinaitae pulso successit, et circa annum 594. obiit, sedente Romae Gregorio magno, Alexandriae autem Eulogio. In hoc antiocheno Gregorio historiam suam conclusit Evagrius, *qui etiam* multa sub eius nomine scripsisse narrat (lib. VI. cap. ult.) nominatimque sermones. Erat ergo hic Gregorii sermo prorsus luce dignus.

Iohannis presbyteri euboici, qui se concionari anno Christi 744. testatur p. 573, sermonem de sanctorum infantium caede idcirco edidi, ut sacrae per illud tempus eloquentiae specimen darem.

Multo antiquior fuit Hesychius presbyter hierosolymitanus, qui hunc inter ceteros de oblatione Domini in templo sermonem composuit: quod unum e multis scriptis eius, nunc typis mandare placuit. Etenim omnium Hesychii operum, magnam partem adhuc ineditorum, una cum S. Sophronii item hierosolymitani scriptis nondum collectis, editionem criticam molior.

Ne unus ineditus in vaticano codice restaret Timotheus, presbyter aeque hierosolymitanus, homiliam eius de Simeone sene et propheta vulgavi: quamquam oratoris neque aetatem neque reliquas vitae rationes compertas habebam.

Postremam Eusebii collocavi orationem, qui archiepiscopus quidem dicitur alexandrinus in hoc aliisque codicibus, Alexandriae tamen aegyptiae sedem numquam tenuit; quare eum critici ad Alexandriam potius syriaticam ablegandum putant. Hic quidem eius sermo de secundo Christi adventu supremoque iudicio, laude eloquentiae non videtur carere.

Iobius monachus, sexto saeculo clarus (nam et contra Severum scripsit) praestans opus composuerat de dominica incarnatione περὶ οἰκονομικῆς πραγματείας, libris novem absolutum, quorum uberem descriptionem dat Photius cod. 222. Huius quum mihi genuina fragmenta (et quidem ipsorum primo titulus argumenti inscribitur) in vaticana catena sese obtulissent, cupide exscripsi, et nunc lectoribus meis laetus trado.

ΤΟΥ ΑΓΙΟΥ ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΞΗΓΗΣΙΣ

ΕΙΣ ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΛΟΥΚΑΝ.

CAP. I.

Τοῦ λόγου δὲ τοῦ ἐνυποστάτου καὶ ζῶντος αὐτόπτας εἰπὼν τοὺς ἀποστόλους, συμπεφώνηκε τῷ Ἰωάννῃ λέγοντι τὸν λόγον σάρκα γεγονέναι· καὶ ἐσκηνωκέναι ἐν ἡμῖν, καὶ τεθεωρῆσθαι τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός· διὰ γὰρ τῆς σαρκὸς, θεωρητὸς ὁ λόγος κατέστη, ὁρατῆς οὔσης καὶ ψηλαφητῆς καὶ ἀντιτύπου· ἀθεώρητος ὢν τὸ καθ' ἑαυτὸν· καὶ πάλιν ὁ Ἰωάννης ἐν τῇ ἐπιστολῇ· ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου ζωῆς, καὶ ἡ ζωὴ ἐφανερώθη· οὐκ ἀκούεις ὡς ψηλαφητὴν ὀνομάζει τὴν ζωήν; ἵνα ἐνανθρωπήσαντα νοῇς τὸν υἱόν· καὶ ὁρατὸν μὲν κατὰ σάρκα, ἀόρατον δὲ κατὰ τὴν θεότητα. I. v. 2. Cod. p. a. b.

Ἰσοκλεὴς γὰρ τῷ φύσαντι, κατὰ πᾶν ὁτιοῦν ἰσομέτρως ἔχων ὁ ἐξ αὐτοῦ πεφηνὼς, υἱὸς νοοῖτ' v. 3a.

1. ἂν εἰκότως· οὐ γὰρ ὡς γέγονεν ἄνθρωπος οἰκονομικῶς μειονεκτεῖτο καΐά τι ϝοῦν ὅλως αὐτοῦ· οὐδὲν γὰρ εἰς ἰδίαν ἠδικήθη φύσιν, ἀπό ϝε τοῦ καθ' ἡμᾶς γενέσθαι δι' ἡμᾶς· ἐπειδὴ ἄτρεπτος κατὰ φύσιν ὁ τοῦ θεοῦ λόγος· διὰ τοῦτο καὶ θεὸς καὶ ὕψιστος καὶ κύριος ὀνομάζεται καὶ διὰ τῆς ἀγγέλων φωνῆς.

v. 42. Οὐκ ἀκούεις καὶ τοῦ Δαβὶδ ψάλλονΐος, ἰδοὺ ἡ κληρονομία κυρίου, υἱοὶ ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρὸς; κληρονομία γὰρ κυρίου οἱ διὰ πίστεως αὐτῷ υἱοθετηθέντες, οἳ καὶ μισθός εἰσι Χριστοῦ, τοῦ γεγονότος καρποῦ τῆς παρθενικῆς γαστρὸς· κατὰ τὸ, αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου.

v. 51. p. 9. b. Οἰκειότερον δὲ ταῦτα περὶ τῶν ἀλιτηρίων δαιμόνων νοεῖν· τούτους γὰρ καΐαθρασυνομένους τῆς ὑπ' οὐρανὸν διεσκόρπισεν ἐπιδημήσας ὁ κύριος, καὶ τοὺς αἰχμαλωτισθέντας ὑπ' αὐτῶν, πρὸς τὴν ὑπακοὴν ἑαυΐοῦ ἀντιμετέσΐησε· καὶ ἁπλῶς εἰπεῖν διεσκόρπισε τοὺς πονηροὺς καὶ ἀλαθάρτους δαίμονας, τὸν τούτων ἄρχοντα πεσόντα δι' ἔπαρσιν, τοὺς τῶν ἑλλήνων σοφοὺς τὴν δοκοῦσαν τοῦ κηρύγματος μωρίαν μὴ παραδεξαμένους, τὸν τῶν Ἰουδαίων δῆμον πιστεῦσαι μὴ βουληθέντα· ταῦτα γὰρ πάντα ἠκολούθησε τῇ προφητείᾳ.

v. 52. Μεΐάλα ἐφρόνουν οἱ σκορπισθέντες δαίμονές

τε καὶ διάβολος, ἑλλήνων τὲ σοφοὶ, καὶ φα- I.
ρισαῖοι καὶ γραμματεῖς· ἀλλὰ τούτους καθεῖ-
λε, καὶ ὕψωσε τοὺς ταπεινώσαντας ἑαυτοὺς, ὑπὸ
τὴν κραταιὰν αὐτοῦ χεῖρα· δεδωκὼς αὐτοῖς ἐξ-
ουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ
ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· ἀπρακτῆσαι
δὲ τὰς καθ' ἡμῶν ποιήσας βουλὰς τῶν τῇ δια-
νοίᾳ ὑπερηφάνων· ἦσάν ποτε καὶ Ἰουδαῖοι τῇ
δυναστείᾳ γαυρούμενοι· ἀλλὰ καθηρέθησαν δι'
ἀπιστίαν· οἱ δὲ ἐξ ἐθνῶν ἄσημοι ὄντες καὶ εὐ-
τελεῖς, διὰ πίστιν ὑψώθησαν.

Εἰ οὖν ὕψιστός ἐστιν ὁ Χριστὸς, οὗ προέ- v. 76.
δραμεν Ἰωάννης καὶ τῇ Γεννήσει καὶ τῷ κηρύγ- p. 12. b.
ματι, τί φήσουσιν οἱ ἐλαττοῦντες αὐτοῦ τὴν θεό-
τητα; πῶς δὲ οὐ βούλονται συνιέναι, ὅτι τὸ καὶ
σὺ προφήτης ὑψίστου κληθήσῃ, περὶ Ζαχαρίου
εἴρηται, ὡς καὶ τῶν ἄλλων προφητῶν αὐτοῦ γε-
γονότων, ὡς θεοῦ δηλαδή;

CAP. II.

Χρησίμως δὲ καὶ ἀναγκαίως ἐπεσημήνατο ὁ II.
εὐαγγελιστὴς τῆς τοῦ σωτῆρος ἡμῶν γεννήσεως v. 1.
καιρὸν· ἵνα γὰρ μάθωμεν, ὡς βασιλεὺς τῶν ἐκ p. 14. b.
φυλῆς Δαβὶδ, οὐκ ἦν παρὰ τῶν ἐξ Ἰσραὴλ,
ἀλλ' οἱ παρ' αὐτοῖς ἄρχοντες ἐκλελοίπασιν,
εἰκότως διαμέμνηται τῶν τοῦ Καίσαρος θεσπι-

II. σμάτων, ὡς ὑπὸ σκῆπτρα λοιπὸν ἔχοντος μετὰ τῶν ἄλλων τὴν Ἰουδαίαν· οὕτω γὰρ κεκέλευκε γενέσθαι τὴν ἀπογραφήν.

v. 5. p. 14. a. Ὁ δέ γε ἱερὸς εὐαγγελιστὴς, μεμνηστεῦθαι φησὶ τῷ Ἰωσὴφ τὴν Μαριάμ· δεικνὺς ὡς ἐπὶ μόνοις τοῖς μνήστροις ἡ σύλληψις, καὶ παράδοξος ἡ γέννησις τοῦ Ἐμμανουὴλ, καὶ τοῖς τῆς ἀνθρωπίνης φύσεως οὐκ ἀκολουθοῦσα νόμοις· οὐ γὰρ τέτοκεν ἡ ἁγία παρθένος, ἀνθρωπίνου σπέρματος λαβοῦσα καταβολήν· καὶ τίς ὁ τοῦδε λόγος; ἡ πάντων ἀπαρχὴ Χριστὸς, ὁ δεύτερος Ἀδὰμ κατὰ τὰς γραφὰς, γεννητὸς γέγονε πνεύματος, ἵνα καὶ εἰς ἡμᾶς παραπέμψῃ τὴν χάριν· ἐμέλλομεν γὰρ καὶ ἡμεῖς, οὐκ ἀνθρώπων ἔτι χρηματίζειν τέκνα· θεοῦ δὲ μᾶλλον τὴν διὰ τοῦ πνεύματος ἀναγέννησιν ἐν πρώτῳ λαχόντες Χριστῷ· ἵνα γένηται αὐτὸς πρωτεύων ἐν πᾶσι, καθάφησιν ὁ πάνσοφος Παῦλος· οἰκονομικώτατα δὲ τῆς ἀπογραφῆς ὁ καιρὸς πέπομφεν εἰς Βηθλεὲμ τὴν ἁγίαν παρθένον, ἵνα ἑτέραν ἴδωμεν προφητείαν ἐκτετελεσμένην· γέγραπται γὰρ ὡς ἔφημεν· καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθὰ, ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ.

v. 7. p. 25. a. Ποῖον ἄρα πρωτότοκον; ἕτερον γὰρ οὐκ ἔσχεν υἱὸν, ἀλλ᾽ ἦν ἔτι παρθένος, καί τοι τεκοῦσα

Χριστὸν· ἐκεῖνον που πάντως, περὶ οὗ φησὶν ὁ 11.
θεὸς καὶ πατὴρ διὰ φωνῆς τοῦ Δαβὶδ, κἀγὼ
πρωτότοκον θήσομαι αὐτὸν, ὑψηλὸν παρὰ τοῖς
βασιλεῦσι τῆς γῆς· τούτου καὶ ὁ πάνσοφος Παῦ-
λος διαμνημονεύει λέγων· ὅταν δὲ εἰσαγάγει
τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· καὶ
προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ·
εἶτα πῶς εἰσβέβηκεν εἰς τὴν οἰκουμένην; ἔξω
γὰρ ὑπάρχει αὐτῆς, οὐ τοπικῶς μᾶλλον, ἀλλὰ
φυσικῶς· ἕτερος γὰρ καὶ κατὰ φύσιν ἐστὶ, παρά γε
τοὺς κατὰ πᾶσαν τὴν οἰκουμένην· εἰσβέβηκε δὲ
εἰς αὐτὴν, γενόμενος ἄνθρωπος, καὶ μέρος αὐ-
τῆς χρηματίσας διὰ τὴν σάρκωσιν· καί τοι μο-
νογενὴς ὑπάρχων θεϊκῶς, ἐπειδὴ γέγονεν ἡμῶν
ἀδελφὸς, ταύτῃ τοι καὶ ὠνομάσθαι πρωτότοκος.

Εὗρεν ἀποκλινωθέντα τὸν ἄνθρωπον· διὰ τοῦ- p. 29. a.
το ἐν φάτνῃ ὡς ἐν τάξει τροφῆς τέθειται, ἵνα
τὸν κτηνοπρεπῆ μεταμείψαντες βίον, εἰς τὴν ἀν-
θρώπῳ πρέπουσαν ἀνακομισθῶμεν σύνεσιν· καὶ
οἱ κτηνώδεις τῇ ψυχῇ, προσελθόντες τῇ οἰκείᾳ
τραπέζῃ τῇ φάτνῃ, εὕρωμεν μηκέτι χόρτον, ἀλλ'
ἄρτον τὸν ἐξ οὐρανοῦ, τὸ τῆς ζωῆς σῶμα.

Ποιμένες γεγόνασι τῶν μυσταγωγουμένων ἀπ- v. 8.
αρχὴ· βλέπει δὲ πάλιν ὁ τύπος εἰς ἀλήθειαν· p. 29. b.
ποιμέσι γὰρ τοῖς πνευματικοῖς ἐμφανῆ καθίστη-
σιν ἑαυτὸν ὁ Χριστὸς, ἵν' αὐτὸν τοῖς ἄλλοις
εὐαγγελίζωνται· καθάπερ ἀμέλει καὶ οἱ τότε

ποιμένες ἐδιδάσκοντο μὲν παρὰ τῶν ἁγίων ἀγγέλων· δραμόντες δὲ, τοῖς ἕτεροις ἀπήγγελλον· ἄγγελοι δὲ οὖν τῶν περὶ αὐτοῦ κηρυγμάτων ἀπάρχονται· καὶ δοξολογοῦσιν ὡς θεὸν τὸν κατὰ σάρκα ἐκ γυναικὸς παραδόξως γεγεννημένον· θεὸς γὰρ ἦν ἐν εἴδει τῷ καθ' ἡμᾶς ὁ τῶν ὅλων κύριος, ἵνα λύσῃ τὴν ἀρὰν τὴν ἐπὶ τῇ πρώτῃ γυναικὶ· εἴρηται γὰρ πρὸς αὐτὴν, ἐν λύπαις τέξῃ τέκνα· ὡς γὰρ εἰς θάνατον τίκτουσαι, τὸ τῆς ἀνίας ἐσχήκασι κέντρον· ἐπειδὴ δὲ γυνὴ τέτοκε κατὰ σάρκα τὸν Ἐμμανουὴλ ὅς ἐστι ζωὴ, λέλυται τῆς ἀρᾶς ἡ δύναμις, συναπέσβη τῷ θανάτῳ καὶ τὸ ἐν λύπαις γεννᾷν τὰς ἐπὶ γῆς μητέρας· βούλει καὶ ἑτέραν αἰτίαν τοῦ πράγματος ἐκμαθεῖν; μέμνησο τοῦ σοφωτάτου Παύλου γεγραφότος περὶ Χριστοῦ· τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς ὁ υἱὸς, τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας· καὶ περὶ ἁμαρτίας· κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα· τί οὖν ἐστὶ τὸ, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας ἀπεστάλθαι λέγειν τὸν υἱὸν; ἐμφωλεύει μὲν τοῖς μέλεσι τῆς σαρκὸς ἡμῶν, τῆς ἁμαρτίας ὁ νόμος, καὶ τῶν ἐμφύτων ἐπιθυμιῶν τὸ ἔκτοπον κίνημα· ὁ δέ γε τοῦ θεοῦ λόγος γενόμενος ἄνθρωπος, ἁγίαν

εἶχε τὴν σάρκα καὶ πάναγνον ἀληθῶς· καὶ ἐν Π.
ὁμοιώσει μὲν τῆς ἡμετέρας σαρκὸς, οὐ μὴν ἔτι
καὶ κατ' αὐτήν· ἀπηλλακτο γὰρ εἰς ἅπαν τῶν
ἐμπεφυκότων τοῖς ἡμετέροις σώμασι μολυσμῶν,
κινήματος καὶ ῥοπῆς τῆς ἡμᾶς ἀποφερούσης ἐφ'
ἃ μὴ θέμις· ἀλλ' αὕτη μὲν ἡ αἰτία τῆς τοῦ σω-
τῆρος σαρκώσεως.

Ὅταν ἴδῃς βρέφος ἐσπαργανωμένον, μὴ μέ- p. 30. b.
χρι μόνης τῆς κατὰ σάρκα γεννήσεως αὐτοῦ τὴν
σεαυτοῦ διάνοιαν στήσῃς, ἀλλ' ἀναπήδησον εἰς
θεωρίαν τῆς θεοπρεποῦς δόξης αὐτοῦ· ἀνάβηθι
τὸν οὐρανὸν· οὕτως αὐτὸν ἐν τοῖς ἀνωτάτω θεω-
ρήσεις ὑψώμασι, τὴν ὑπερτάτην ἔχοντα δόξαν,
ὄψει καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρ-
μένου· ἀκούσῃ τῶν σεραφὶμ ὑμνολογούντων αὐ-
τὸν, πλήρη τε εἶναι λεγόντων τὸν οὐρανὸν καὶ
τὴν γῆν τῆς δόξης αὐτοῦ· γέγονε δὲ τοῦτο καὶ
ἐπὶ τῆς γῆς· δόξα γὰρ θεοῦ περιήστραψε τοὺς
ποιμένας· καὶ πλῆθος ἦν στρατιᾶς οὐρανίου δο-
ξολογούντων Χριστὸν· πλεῖστοι μὲν γὰρ ἐγεν-
νήθησαν κατὰ καιροὺς ἅγιοι προφῆται, ἀλλ'
οὐδεὶς ἐκείνων ἐδοξολογήθη πώποτε διὰ φωνῆς
ἀγγέλων· ἄνθρωποι γὰρ ἦσαν καὶ ἐν μέτροις
τοῖς καθ' ἡμᾶς οἰκέται θεοῦ γνήσιοι· Χριστὸς
δὲ οὐχ' οὕτως· θεὸς γάρ ἐστι καὶ κύριος καὶ
προφητῶν ἁγίων ἀποστολεύς· καὶ ὡς ὁ ψάλλων
φησὶ, τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ κυρίῳ; καὶ

II. τίς ὁμοιωθήσεται ἐν υἱοῖς θεοῦ; ἡμῖν μὲν γὰρ τοῖς ὑπὸ ζυγὰ καὶ φυσικὴν δουλείαν, ἐν χάριτος τάξει προσνενέμηται παρ' αὐτοῦ τὸ τῆς υἱότητος ὄνομα· Χριστὸς δ' ἐστὶν ἡ ἀλήθεια, τουτέστιν ὁ τοῦ θεοῦ καὶ πατρὸς κατὰ φύσιν υἱός, καὶ ὅτε γέγονε σὰρξ· μεμένηκε γὰρ ὃ ἦν, καί τοι προσλαβὼν ὃ οὐκ ἦν· ὅτι ἐστὶν ἀληθὲς ὃ φημι, πιστώσεται πάλιν ὁ προφήτης Ἡσαΐας λέγων· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· βούτυρον καὶ μέλι φάγεται· πρὶν ἢ γνῶναι αὐτὸν προελέσθαι πονηρὰ, ἐκλέξεται τὸ ἀγαθόν· διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν, ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν· καί τοι πῶς οὐχ' ἅπασιν ἐναργὲς, ὅτι παιδίον νεογνὸν, καὶ οὐκ ἔχον ἀπὸ τοῦ χρόνου καὶ τῆς ἡλικίας τὸ δύνασθαί τι νοεῖν, ἀνίκανως ἔχει πρὸς διάκρισιν πονηροῦ τε καὶ ἀγαθοῦ πράγματος; οἶδε γὰρ ὅλως οὐδέν· ἀλλ' ἔν γε τῷ πάντων σωτῆρι Χριστῷ θαῦμα μέγα καὶ ἐξαίσιον ἦν· ἤσθιε μὲν γὰρ, ὡς βρέφος ὢν ἔτι, βούτυρόν τε καὶ μέλι· βούτυρον δὲ καλεῖ τὸ γάλα τῆς παρθένου ὁ προφήτης, διὰ τὸ μὴ ἐκ θηλύτητος, καὶ ἡδονῆς καὶ ἐκλύσεως γεγενῆσθαι αὐτὸ· πεπηγὸς δὲ εἶναι καὶ στερεὸν, μὴ δὲ πικρίαν ἔχειν τῆς ἁμαρτίας, ἀλλὰ τοῦ μέ-

λίος τὴν γλυκύτητα· εἴ γε πάντα τὰ τοῦ θεοῦ, γλυκύτερά ἐστιν ὑπὲρ μέλι κηρίον. II.

Ἐπειδὴ γὰρ θεὸς ἦν ἀπορρήτως σεσαρκωμένος, μόνον ἤδει τὸ ἀγαθὸν, καὶ φονηρίας τῆς ἐν ἀνθρώποις ἐλεύθερος ἦν· ἴδιον δὲ τοῦτο τῆς ἀνωτάτω πασῶν οὐσίας· τὸ γὰρ φύσει καὶ ἀρρότως καὶ ἀμεταπτώτως ἀγαθὸν, πρέποι ἂν αὐτῇ τε καὶ μόνῃ ἰδικῶς· οὐδεὶς γὰρ ἀγαθὸς, εἰ μὴ εἷς ὁ θεὸς, κατὰ τὴν αὐτοῦ τοῦ σωτῆρος φωνήν· οὐκοῦν, μὴ ὡς βρέφος ἴδῃς ἁπλῶς τὸν ἐν φάτνῃ κείμενον· ἀλλ' ἐν πτωχείᾳ τῇ καθ' ἡμᾶς, τὸν πλούσιον ὡς θεὸν· καὶ διὰ τοῦτο δοξολογούμενον καὶ παρ' αὐτῶν τῶν ἁγίων ἀγγέλων· ὁποῖος δὲ καὶ ὁ ὕμνος ἦν, δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· ἄγγελοι μὲν γὰρ καὶ πᾶσαι αἱ ἀνωτάτω δυνάμεις τὴν ἐκνεμηθεῖσαν αὐτοῖς σώζοντες τάξιν, εἰρηνεύουσι πρὸς θεὸν· κατ' οὐδένα γὰρ τρόπον, τὸ αὐτῷ δοκοῦν παρατρέχουσιν, ἀλλ' εἰσὶν ἐν ἑδραιότητι τῇ κατὰ δικαιοσύνην καὶ ἁγιασμὸν· ἡμεῖς δὲ οἱ τάλανες, τοῖς τοῦ δεσπότου θελήμασι τὰς ἑαυτῶν ἐπιθυμίας ἀνταναστήσαντες, πολεμίων ἐν τάξει γεγόναμεν αὐτῷ· λέλυται δὲ τοῦτο διὰ Χριστοῦ· καὶ γὰρ ἦν αὐτὸς ἡ εἰρήνη ἡμῶν· συνῆψε γὰρ ἡμᾶς δι' ἑαυτοῦ τῷ θεῷ καὶ πατρὶ, τὴν ἐχθροποιὸν ἁμαρτίαν ἐκ μέσου τιθεὶς, καὶ δικαιῶν ἐν πίστει, καὶ καλῶν ἐγγὺς

II. τοὺς ὄνλας μακρὰν· καὶ καθ' ἕτερον δὲ τρόπον, κτίσας τοὺς δύο λαοὺς, εἰς ἕνα καινὸν ἄνθρωπον ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάξας ἀμφοτέρους ἐν ἑνὶ σώμαλι πρὸς τὸν πατέρα· εὐδοκήσε γὰρ ὁ θεὸς καὶ πατὴρ ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν αὐτῷ· συνεῖραί τε τοῖς ἄνω τὰ κάτω· καὶ ἀγέλην ἀποφῆναι μίαν, τούς τε ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· γέγονεν οὖν ἡμῖν εἰρήνη τὲ καὶ εὐδοκία Χριστός.

v. 22. p. 33. b. Τέως δὲ ἴδωμεν αὐτὸν διὰ τῶν ἀρτίως ἀνεγνωσμένων, τοῖς διὰ Μωϋσέως εἰκοντα νόμοις· μᾶλλον δὲ τὸν νομοθέτην ὡς θεὸν, τοῖς ἑαυτοῦ θεσπίσμασιν ὑποκείμενον· καὶ διὰ ποίαν αἰτίαν, διδάξει λέγων ὁ σοφώταλος Παῦλος· ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ σλοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι· ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ· οὐκοῦν τῆς τοῦ νόμου καλάρας ἐξεπρίαλο Χριλὸς τοὺς ὄνλας μὲν ὑπὸ νόμον· οὐ μὴν ἔτι καὶ τετηρηκότας αὐτὸν· ἐξεπριάτο δὲ πῶς; πληρώσας αὐτὸν· καὶ καθ' ἑτέρον δὲ τρόπον· ἵνα λύσῃ τῆς ἐν Ἀδὰμ παραβάσεως τὰ ἐγκλήματα, εὐπειθὴς καὶ εὐήνιον πρὸς πᾶν ὁτιοῦν ἑαυτὸν παραστήσας ὑπὲρ ἡμῶν τῷ θεῷ καὶ πατρὶ· γέγραπλαι γὰρ, ὅτι ὥσπερ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ

κατεστάθησαν οἱ πολλοὶ, οὕτω καὶ διὰ τῆς ὑπα- II.
κοῆς τοῦ ἑνὸς, δίκαιοι κατασταθήσονται οἱ πολλοὶ· ὑφῆκε τοίνυν τῷ νόμῳ μεθ' ἡμῶν, τὸν αὐχένα· οἰκονομικῶς καὶ τοῦτο πράττων· ἔπρεπε γὰρ αὐτῷ πληρῶσαι πᾶσαν δικαιοσύνην· ἐνστάσης δὴ οὖν τῆς ὀγδόης, ἐν ᾗ σύνηθες ἦν τὴν ἐν σαρκὶ τελεῖσθαι περιτομὴν, κατά γε τὸ δοκοῦν τῷ νόμῳ, δέχεται τὸ ὄνομα τοὐτέστι τὸ Ἰησοῦς· ἑρμηνεύεται δὲ τοῦτο σωτηρία λαοῦ· οὕτω γὰρ ἠθέλησεν ὁ θεὸς καὶ πατὴρ ὀνομάζεσθαι τὸν ἴδιον υἱὸν γεννηθέντα κατὰ σάρκα ἐκ γυναικὸς· γέγονε γὰρ τότε σωτηρία λαοῦ, καὶ οὐχ' ἑνὸς, μᾶλλον δὲ παντὸς ἔθνους, καὶ ἁπάσης τῆς ὑπ' οὐρανὸν· ἐν ταυτῷ τοιγαροῦν τὸ τῆς περιτομῆς ἐτελεῖτο χρῆμα· καὶ τὴν κλῆσιν ἐδέχετο· καὶ τί τὸ αἴνιγμα φέρε δὴ πάλιν ἴδωμεν· ὁ μακάριος ἔφη Παῦλος· ἡ περιτομὴ οὐδέν ἐστι, καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν· ἆρ' οὖν τὸ μηδὲν τηρεῖσθαι προστέταχε διὰ τοῦ πανσόφου Μωϋσέως ὁ τῶν ὅλων θεὸς, καὶ κόλασιν ἐπαρτήσας τοῖς παραβαίνουσιν αὐτὴν· ὅσον μὲν γὰρ ἧκεν εἰς τὴν τοῦ πράγματος φύσιν, οὐδέν ἐστι παντελῶς· ὠδίνει δὲ μυστηρίου τύπον· κατὰ γὰρ τὴν ὀγδόην ἡμέραν, ἀνεβίω Χριστὸς ἐκ νεκρῶν· καὶ δέδωκεν ἡμῖν τὴν ἐν πνεύματι περιτομὴν· προστέταχε γὰρ τοῖς ἁγίοις ἀποστόλοις, πορευθέντες μαθητήσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐ-

11. τοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· τελεῖσθαι δὲ φαμὲν τὴν ἐν πνεύματι περιτομήν, ἐν καιρῷ μάλιστα τοῦ ἁγίου βαπτίσματος, ὅτε καὶ μετόχους ἡμᾶς ἀποφαίνει Χριστὸς τοῦ ἁγίου πνεύματος· καὶ τούτου πάλιν εἰς τύπον ἦν ὁ ἀρχαῖος ἐκεῖνος Ἰησοῦς, ὁ μετὰ Μωϋσέως στρατηγήσας· διεβίβασε γὰρ πρότερον τὸν Ἰορδάνην τοὺς υἱοὺς Ἰσραὴλ· εἶτα καθίσας εὐθὺς περιέτεμε μαχαίραις πετρίναις· οὐκοῦν ὅταν διαβῶμεν τὸν Ἰορδάνην, τότε Χριστὸς ἡμᾶς περιτέμνει τῇ δυνάμει τοῦ ἁγίου πνεύματος· οὐ σάρκα καθαίρων, ἀποκείρων δὲ μᾶλλον τὸν ἐν ψυχαῖς μολυσμόν· ἐν ὀδόῃ τοιγαροῦν περιτέμνεται Χριστὸς, καὶ τὴν κλῆσιν ὡς ἔφην, λαμβάνει· τότε γὰρ τότε σεσώσμεθα δι' αὐτοῦ· ἐν ᾧ γάρ φησι περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῆς σαρκὸς ἐν τῇ περιτομῇ· ἀπέθανε γὰρ, ἵνα ἡμεῖς οἱ συναποθανόντες αὐτῷ αὐτοῦ ἀποθανόντος τῇ ἁμαρτίᾳ, μηκέτι ζήσωμεν τῇ ἁμαρτίᾳ· διὸ εἴρηται· εἰ συναπεθάνομεν, καὶ συζήσομεν· ἀποθανεῖν δὲ λέγεται τῇ ἁμαρτίᾳ, οὐχ' ὅτι ἥμαρτεν· οὐδὲ γὰρ ἁμαρτίαν ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· ἀλλὰ διὰ τὴν ἐμὴν ἁμαρτίαν· ὥσπερ οὖν συναπεθάνομεν αὐτῷ ἀποθνήσκοντι, καὶ συνανασταθῶμεν αὐτῷ.

Πάλιν συνετέλεσε τοῖς δασμολογοῦσι τὸ δί- II. v. 24.
δραχμον· καί τοι συντελέσαι μὴ ὀφείλων διά τοι p. 36. b.
τὸ εἶναι κατὰ ἀλήθειαν υἱὸς· συντετέλεκε δὲ, ὅτε γέγονεν ὑπὸ νόμον· ἔδει γὰρ ἔδει πληροῦν τὴν οἰκονομίαν, ἣν καὶ εδέξατο δι' ἡμᾶς· αὐτὸν δὲ δὴ καὶ ἐν τῇ τοῦ διδράχμου καταβολῇ γραφόμενον, ὡς σωτῆρα καὶ λυτρωτὴν εὑρήσομεν· ἦν μὲν γὰρ τὸ δίδραχμον νομισμάτος εἶδος βασιλικὴν ἔχον τος εἰκόνα· συνετέλειτο δὲ κατὰ τὸν νόμον ὑπὲρ δύο κεφαλῶν· ὅρα τοίνυν ἐν τῷ διδράχμῳ πάλιν τὸν Χριστὸν ἀνατυπούμενον· αὐτὸς γὰρ ὑπάρχων ἡ εἰκὼν τοῦ πατρὸς, ὁ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, τὸ νόμισμα τὸ ἐξ οὐρανοῦ, προσεκόμισεν ἑαυτὸν τῶν δύο λαῶν τὸ ἀντίλυτρον, τοῦ τε ἐξ Ἰουδαίων φημὶ καὶ τοῦ ἐξ ἐθνῶν.

Εἰσεφέρετο μὲν ἐν τῷ ἱερῷ Χριστὸς βρέφος p. 38. a.
ὢν ἔτι βραχύ τε καὶ ὑποδεέστερον· ὁ δέ γε μακάριος Συμεὼν προφητικῇ χάριτι τετιμημένος, δέχεται μὲν εἰς ἀγκάλας αὐτὸν· θυμηδίας δὲ τῆς ἀνωτάτω πιμπλάμενος, εὐλογεῖ τὸν Θεὸν, λέγων· νῦν ἀπολύεις τὸν δοῦλον σου, ὅτι εἶδον τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· προητοίμαστο γὰρ τὸ Χριστοῦ μυστήριον καὶ πρὸ αὐτῆς τῆς τοῦ κόσμου καταβολῆς· πεφανέρωται δὲ ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς· γέγονε δὲ φῶς τοῖς ἐν σκότῳ

11. καὶ πεπλανημένοις καὶ ὑπὸ χεῖρα πεσοῦσι διαβολικὴν· κέκληνται γὰρ παρὰ τοῦ θεοῦ καὶ πατρὸς πρὸς ἐπίγνωσιν τοῦ υἱοῦ, ὅς ἐστι φῶς τὸ ἀληθινὸν· ἀλλὰ καὶ εἰς δόξαν τοῦ Ἰσραὴλ· εἰ γὰρ καὶ γεγόνασί τινες ἐξ αὐτῶν ὑβρισταὶ καὶ ἀπειθεῖς καὶ ἀσυνεσίας ὅμως πλέω τὴν διάνοιαν ἔχοντες, ἀλλ' οὖν σέσωσται τὸ κατάλειμμα, καὶ δεδόξασται διὰ Χριστοῦ· ἀπαρχὴ δὲ τούτων οἱ θεσσωέσιοι γεγόνασι μαθηταὶ· ὧν ἡ τῆς εὐκλείας φαιδρότης, ὅλην περιαστράπτει τὴν ὑπ' οὐρανὸν· δόξα δὲ καὶ ἑτέρως τοῦ Ἰσραὴλ ὁ Χριστὸς, ὅτι προῆλθεν ἐξ αὐτῶν κατὰ σάρκα, καί τοι θεὸς ὢν ἐπὶ πάντας, καὶ εὐλογητὸς εἰς τοὺς αἰῶνας ἀμήν.

v. 34. p. 39. a. Τέθειται μὲν παρὰ τοῦ θεοῦ καὶ πνεύματος ὁ Ἐμμανουὴλ εἰς τὰ θεμέλια Σιὼν, λίθος ὢν ἐκλεκτὸς ἀκρογωνιαῖος, ἔντιμος· ἀλλ' οἱ μὲν ἐπ' αὐτῷ πιστεύσαντες, οὐ κατῃσχύνθησαν· οἱ δὲ ἄπιστοι, καὶ τὸ ἐπ' αὐτῷ μυστήριον οὐκ ἰσχύσαντες ἰδεῖν, πεσόντες συνετρίβησαν· ἔφη γάρ που πάλιν ὁ θεὸς καὶ πατὴρ· ἰδοὺ τίθημι ἐν Σιὼν λίθον προσκόμματος, καὶ πέτραν σκανδάλου· καὶ ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ μὴ καταισχυνθῇ· ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτὸν· ἀλλ' ἠσφαλίσατο τοὺς ἐξ Ἰσραὴλ ὁ προφήτης, λέγων· κύριον αὐτὸν ἁγιάσατε, καὶ αὐτὸς ἔσται σου φόβος· καὶ ἐὰν ἐπ' αὐτῷ πεποιθὼς ᾖς, ἔσ-

ται σοι εἰς ἁγιασμὸν, καὶ οὐχ' ὡς λίθου προσ- II.
κόμματι συναντήσεσθε αὐτῷ, οὐδὲ ὡς πέτρας
πτώματι.

Οὐκοῦν ἐπειδήπερ κύριον καὶ θεὸν ὄντα τὸν
Ἐμμανουὴλ οὐχ' ἡγίασεν ὁ Ἰσραὴλ, οὔτε μὲν
ἠθέλησεν ἐπ' αὐτῷ πεποιθέναι, περιπταίσας
ὡς λίθῳ διὰ τὴν ἀπιστίαν, συνετρίβη καὶ πέ-
πτωκεν· ἀνέσθησαν δὲ πολλοὶ, τουτέστιν οἱ τὴν
εἰς αὐτὸν πίστιν παραδεξάμενοι.

Ἢ καὶ ὡς ὁ σοφώτατος γράφει Παῦλος, Ἰου- p. 39. b.
δαίοις μέν ἐστι σκάνδαλον, ὁ σταυρὸς, ἔθνεσι
δὲ μωρία· καὶ πάλιν· ὁ λόγος ὁ τοῦ σταυροῦ,
τοῖς μὲν ἀπολλυμένοις, μωρία ἐστὶ· τοῖς δὲ σω-
ζομένοις ἡμῖν, δύναμις θεοῦ εἰς σωτηρίαν.

Συντομώτερον δὲ εἰπεῖν, ῥομφαίαν ἐν τού- v. 35.
τοις καταδηλοῦσθαι φαμὲν, ὡς ἐν εἴδει μαχαί- p. 40. a.
ρας τὸν πειρασμὸν· ἢ καὶ αὐτὸ τὸ πάθος τὸ ἐκ
τῆς τῶν Ἰουδαίων ἀπονοίας ἐπενενεγμένον τῷ
Ἐμμανουὴλ· καὶ ἔοικέ γε συνιέναι οὕτως, καὶ
μὴν καὶ εἰπεῖν ὁ δίκαιος Συμεών· μόνον γὰρ οὐ-
χὶ ῥομφαίᾳ καθεσφάζετο ἡ ἁγία παρθένος, σταυ-
ρούμενον ὁρῶσα τὸν ἐξ αὐτῆς γεννηθέντα κατά
γε τὴν σάρκα· τοιοῦτον καὶ τὸ παρὰ τῷ Ζαχα-
ρίᾳ· ῥομφαία ἐξεγέρθητι ἐπὶ τὸν ποιμένα μου,
τουτέστιν ἐνεργείσθω λοιπὸν τὸ σωτήριον πάθος,
καὶ ὁ τῆς τῶν ἀγαθῶν ἀναδείξεως ἥκέτω καιρός.

Ταῦτα καθὰ τὸ ἀνθρώπινον εἰρῆσθαι δεκτέον· v. 40.
p. 41. a.

11. ἄθρει δέ μοι τῆς οἰκονομίας τὸ βάθος· ἀνθρώπινον ὑποδύεται τόκον, καί τοι τὸ ἄναρχον ἐν χρόνῳ θεϊκῶς ἔχων ὁ λόγος· ἐν αὐξήσει σώματος ὁ παντέλειος ὡς θεὸς, ἐν ἀδρότητι μελῶν ὁ ἀσώματος· πληροῦται σοφίας, αὐτὸς ὢν ἡ πᾶσα σοφία· καὶ τί πρὸς τοῦτο φαμὲν; ὅρα διὰ τούτων τὸν ἐν μορφῇ τοῦ πατρὸς ἐν ὁμοιώσει τῇ πρὸς ἡμᾶς, τὸν πλούσιον ἐν πτωχείᾳ, ἐν ταπεινώσει τὸν ὑψηλὸν, τὸν τὸ πλήρες ἔχοντα θεϊκῶς, ἐν τῷ λέγεσθαι λαβεῖν, οὕτω κεκένωκεν ἑαυτὸν θεὸς ὢν ὁ λόγος· τὰ γὰρ ἀνθρωπίνως περὶ αὐτοῦ γεγραμμένα, τὸν τῆς κενώσεως διαδείκνυσι τρόπον· οὐ γάρ ἐστι τῶν ἐνδεχομένων εἰς ἰδίαν φύσιν ὑποστῆναί τι τοιούτων, τὸν ἐκ θεοῦ πατρὸς φύντα λόγον· ἀλλ' ὅτε γέγονε σὰρξ ἤγουν ἄνθρωπος καθ' ἡμᾶς, τότε τίκτεται μὲν ἐκ γυναικὸς κατὰ σάρκα, λέγεται δὲ καὶ ὑπομεῖναι τὰ ἀνθρώπινα· ἦν μὲν γὰρ ἱκανὸς θεὸς ὢν ὁ λόγος, εἰς μέτρον ἀνδρὸς τελείου, καὶ ἐκ μήτρας εὐθὺς τὴν ἰδίαν ἀναβιβάσαι σάρκα· ἀλλ' ἦν οὐ μακρὰν τερατοποιΐας τὸ δρώμενον· διὰ τοῦτο τοῖς τῆς ἀνθρωπότητος ἔθεσί τε καὶ νόμοις, τὸ κρατεῖν ἐδίδου καὶ ἐωὶ τῆς ἑαυτοῦ σαρκὸς· οὕτω καὶ ἐν σοφίᾳ προκόπτειν ἂν λέγοιτο, οὐ προσθήκην σοφίας δεχόμενος καθὸ νοεῖται θεὸς ὁ ἐν πᾶσι παντέλειος, καὶ ἀπροσδεὴς εἰσάπαν τῶν θεοπρεπῶν ἀξιωμάτων, ἀλ-

λὰ τοῦ θεοῦ λόγου τῇ τοῦ σώματος ἡλικίᾳ συν- II.
εκτεινόντος καταβραχὺ τῆς σοφίας τὴν ἔκφανσιν.

Προκόπτει δὲ ἡλικίᾳ μὲν σῶμα, σοφίᾳ δὲ p. 42. b.
ψυχὴ· θεότης γὰρ οὐδετέραν ἐπίδοσιν ἐπιδέχεται· παντέλειος γὰρ ὁ τοῦ θεοῦ λόγος· εἰκότως δὲ συνέζευξε τῇ τῆς ἡλικίας αὐξήσει, τὴν τῆς σοφίας ἐπίδοσιν· πρὸς γὰρ τὸ μέτρον τῆς τοῦ σώματος ἡλικίας, ἀπεκάλυπτεν ἡ θεία φύσις τὴν οἰκείαν σοφίαν.

Εἰπὼν ὁ εὐαγγελιστὴς, ὡς προέκοπτεν ὁ Ἰησοῦς ἐν σοφίᾳ καὶ χάριτι παρά τε θεῷ καὶ ἀνθρώποις, δείκνυσι τὸν ἑαυτοῦ λόγον ἀληθῆ· ἀποφέρει γὰρ αὐτὸν εἰς Ἱερουσαλὴμ, ἅμα τῇ ἁγία παρθένῳ, ἑορτῆς καλούσης εἰς τοῦτο· εἶτα φησὶν ἀπομεῖναι μὲν αὐτὸν, ἐγκαταλειφθῆναι δὲ μετὰ ταῦτα ἐν τῷ ἱερῷ μεταξὺ τῶν διδασκάλων καθήμενον, ἐρωτῶντά τε, καὶ ἀποκρινόμενον, δῆλον δὲ ὅτι τὰ πάλαι τῷ νόμῳ διηγορευμένα· εἶτα θαυμαζόμενον ἐπὶ ταῖς ἐρωτήσεσιν ὑπὸ πάντων, καὶ ταῖς ἀπολογίαις· ὁρᾷς ἐν σοφίᾳ καὶ χάριτι προκόπτοντα διὰ τοῦ γινώσκεσθαι πολλοῖς ὅτι τοιοῦτος ἐστίν.

Ἐπειδὴ γὰρ ἔφασκεν ἡ ἁγία παρθένος· τέ- v. 48.
κνον, τί ἐποίησας ἡμῖν οὕτως; τότε δὴ τότε τῶν ἀνθρωπίνων ἐπέκεινα μέτρων ἑαυτὸν ὄντα δεικνὺς, καὶ διδάσκων ὅτι γέγονε μὲν ὑπουργὸς τῆς οἰκονομίας αὐτὴ τεκοῦσα τὴν σάρκα, φύσει p. 45. b.

II. δὲ καὶ ἀληθείᾳ Θεὸς ἦν, καὶ υἱὸς τοῦ ἐν οὐρανοῖς ὄντος πατρὸς, φησὶν· οὐκ ἤδειτε ὡς ἐν τοῖς τοῦ πατρός μου δεῖ εἶναί με;

v. 52. p. 46. a. Φησὶν ὁ εὐαγγελιστὴς Ἰωάννης· καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας· εἰ τοίνυν πλήρης χάριτος καὶ ἀληθείας, ποῖ ποτε προκόψει τὸ πλῆρες, ἢ ποίαν ὅλως ἐπιδέξεται προσθήκην, οὗ ἐπέκεινα μηδὲν; οὐκοῦν οὐχ' ἧ λόγος ἐστὶ καὶ Θεὸς προκόπτειν εἴρηται, ἀλλ' ὅτι μειζόνως ἀεὶ θαυμαζόμενος, χαριέστερος παρὰ τοῖς ὁρῶσι διὰ τῶν ἀποτελεσμάτων ἀπεδείκνυτο, προκοπτούσης ὡς ἔστι μᾶλλον εἰπεῖν ἀληθέστερον τῆς τῶν θαυμαζόντων ἕξεως, ἢ περ αὐτοῦ τοῦ τελείου πρὸς χάριν ὡς Θεοῦ· σκόπει δὲ ὡς τὸ ἔν τινι προκόπτον, ἕτερόν ἐστι παρ' ἐκεῖνο ἐν ᾧ προκόπτειν λέγεται· εἰ τοίνυν ἐν σοφίᾳ εἴρηται, οὐχ ἡ σοφία προέκοπτεν, ἀλλ' ἐν αὐτῇ τὸ ἀνθρώπινον· ἀποκαλυπτομένης γὰρ καὶ φανερουμένης ὁσημέραι τῆς Θεότητος ἐν αὐτῷ, ἀεὶ θαυμαστότερος παρὰ τῶν ὁρῶσιν ἐγίνετο· καὶ ἐπιτήρει ὡς οὐκ εἶπεν ὡς ὁ λόγος δὲ προέκοπτεν, ἀλλ' ὁ Ἰησοῦς, ἵνα μὴ γυμνὸν νοήσῃς τὸν λόγον· ἀλλ' ὅτι γέγονε σὰρξ, καὶ προκόπτειν λέγεται, ὅτε τὸ προκόπτειν πεφυκὸς ἀνεδέξατο, τουτέστι τὸ ἀνθρώπινον· τῆς οὖν ἀνθρωπότητος ἂν εἴη, καὶ καθ' ταύτης ἂν φέροι-

το εὐλόγως τὸ προκοπτειν· οὕτω γὰρ ἕκαστον II.
τῶν λεγομένων ἐν τῇ οἰκείᾳ τάξει κεισεθαι, οὔ-
τε τῶν ὅσα πρέπει γυμνῷ τῷ λόγῳ καταφερο-
μένων εἰς τὸ ἀνθρώπινον, οὔτε μὲν τῶν ἀνθρώ-
πίνων ἀναβαινόντων εἰς τὸν τῆς θεότητος λόγον.

CAP. III.

Ἀπόλεκτος εἰς ἀποστολὴν καὶ τέλος ἦν προ- III.
φητῶν ἁγίων ὁ Ἰωάννης· ὅθεν ὡς μὲν οὔπω παρ- v. 4.
όντος κύριου, τὸ ἑτοιμάσατε φησὶ τὴν ὁδὸν κυ- P. 49. a.
ρίου· τουτέστιν εὐτρεπίσθητε πρὸς παραδοχὴν ὧν
ἂν βούλοιτο νομοθετεῖν· ἀποστήσατε τὰς καρ-
δίας τῆς τοῦ νόμου σκιᾶς· παύσασθε τοῦ φρονεῖν
τὰ διεστραμμένα· καὶ δείξε δὲ καὶ παρόντα, λέ-
γων· ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρ-
τίαν τοῦ κόσμου.

Τί δὲ βούλεται τὸ, εὐθείας ποιεῖτε τὰς τρί-
βους τοῦ θεοῦ ἡμῶν; εὐθεῖα μὲν, πᾶσα λεία
τε καὶ εὐχερὴς, ἡ πρὸς τὸ ἀγαθὸν ἀποφέρουσα
τρίβος· διεστραμμένη γε μὴν, ἡ ἑτέρα· τουτέστιν,
ἡ εἰς φαυλότητα κατασύρουσα τοὺς δι' αὐτῆς
ἐρχομένους· γέγραπται γὰρ περὶ τῶν τοιούτων,
ὧν αἱ τρίβοι σκολιαὶ, καὶ καμπύλαι αἱ τροχιαὶ
αὐτῶν· οὐκοῦν ἡ τῆς διανοίας εὐθύτης, ὀρθή τις
ὥσπερ ἐστὶν ὁδὸς, οὐκ ἔχουσα τὸ διεστραμμέ-
νον· τοιοῦτος ἦν ὁ θεσπέσιος ψαλμῳδὸς, ψάλ-

III. λων τὲ καὶ λέγων, οὐκ ἐκολλήθη μοι καρδία σκαμβή.

p. 49. b. Τεθέαται δὲ πᾶσα σὰρξ τὸ σωτήριον τοῦ θεοῦ, δηλονότι τοῦ πατρὸς· σωτῆρα γὰρ ἡμῖν πέπομφε τὸν υἱὸν· σάρκα δὲ ἐν τούτοις ὁλοκλήρως τὸν ἄνθρωπον νοητέον.

v. 6. p. 50. a. Οὕτω γὰρ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ θεοῦ, οὐκέτι μόνος ὁ Ἰσραὴλ, ἀλλὰ πᾶσα σὰρξ· ὁ γὰρ τῶν ὅλων σωτὴρ καὶ κύριος, οὐ συνεσταλμένην ἔχει τὴν ἡμερότητα, οὔτε μὴν ἓν διέσωσεν ἔθνος, σεσαλήνευκε δὲ μᾶλλον τὴν ὑπ' οὐρανὸν, ἐφώτισε τοὺς ἐσκοτισμένους· καὶ τοῦτο ἦν ἄρα τὸ διὰ τῆς τοῦ ψάλλοντος λύρας ὑμνούμενον· πάντα τὰ ἔθνη ὅσα ἐποίησας, ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν σου κύριε· σέσωσται δὲ ὁμοῦ τὸ κατάλειμμα τῶν ἐξ Ἰσραὴλ, ὡς καὶ τοῦτο πάλαι προανεφώνηκεν ὁ Μωϋσῆς, οὕτω λέγων· εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ.

p. 51. a. Καὶ νῦν δὲ πνεύματος ἁγίου μεμεστωμένος, ὁ μακάριος βαπτιστὴς, οὐκ ἠγνόησε τῆς Ἰουδαίων δυστροπίας τὰ κατὰ Χριστοῦ τολμήματα· προέγνω γὰρ, ὅτι καὶ ἀπιστήσουσιν αὐτῷ, καὶ τὴν ἰοβόλον αὐτῶν κινήσαντες γλῶτταν λοιδορίας βαλοῦσι· πρὸς ἐκεῖνα τοίνυν βλέπων, ἐλέγχει αὐτοὺς, ὅτι καί τοι νόμον ἔχοντες λαλοῦντα τὸ Χριστοῦ μυστήριον, καὶ προαγορεύ-

σεις προφητῶν ἀποφερούσας εἰς τοῦτο, νωθροὶ III.
γεγόνασι ταῖς ἀκοαῖς, καὶ ὀκνηροὶ πρὸς πίστιν
τὴν ἐπί γε τῷ πάντων σωτῆρι Χριστῷ· τίς γὰρ
ὑμῖν ὑπέδειξε φυγεῖν ἀπὸ τῆς ὀργῆς; ἆρ' οὐχ
ἡ θεόπνευστος γραφὴ τοὺς μὲν εἰς Χριστὸν πι-
στεύσαντας, μακαρίους εἶναι λέγουσα, τούς γε
μὴν ἀπίστους καὶ ἀμαθεῖς, σκληραῖς καὶ ἀφύ-
κτων ὑποπεσεῖσθαι δίκαις προαπαγγέλλουσα.

Ἔτι καρποὶ μετανοίας προηγουμένως μὲν, ἡ v. 8.
εἰς Χριστὸν πίστις· πρὸς δὲ τούτῳ, καὶ ἡ εὐαγ- p. 51. b.
γελικὴ πολιτεία.

Ὁρᾷς ὅπως εὐτεχνέστατα λίαν τὴν ἀσύνετον
αὐτῶν ὀφρῦν καταφέρει, καὶ ἀσυντελὲς εἰς ὄνε-
σιν αὐτοῖς φαίνει τὸ, ἐξ Ἀβραὰμ γενέσθαι κα-
τὰ τὴν σάρκα; τί γὰρ ἡ σαρκὸς εὐγένεια τοὺς
ἔχοντας ὠφελεῖ, εἰ μὴ διὰ τῶν ὁμοίων ἔρχοιν-
το σπουδασμάτων, καὶ τῆς τῶν τεκόντων ἀρετῆς
κατόπιν; εἰ γὰρ τέκνα τοῦ Ἀβραὰμ ἦτε, φησὶ
πρὸς αὐτοὺς ὁ σωτὴρ, τὰ ἔργα τοῦ Ἀβραὰμ
ἐποιεῖτε ἂν· τὴν ἐν ἤθει καὶ τρόποις συγγέ-
νειαν ζητεῖ ὁ θεὸς· μάταιον οὖν τὸ προγόνοις
ἐπαυχεῖν ἁγίοις καὶ ἀγαθοῖς, ἀπολιμπάνεσθαι
δὲ μακρὰν τῆς ἐκείνων ἀρετῆς.

Ἀλλ' εἰ ταῦτα οὕτως ἔχει, φησὶν ὁ Ἰουδαῖος, p. 52. a.
πῶς ἔτι τὸ σπέρμα Ἀβραὰμ πληθύνεται, καὶ
ἡ πρὸς αὐτὸν τοῦ θεοῦ ἐπαγγελία σωθήσεται,
ἡ φάσκουσα πληθύνειν αὐτοῦ τὸ σπέρμα, ὡς τὰ

III. ἄστρα τοῦ οὐρανοῦ; διὰ τῆς τῶν ἐθνῶν κλήσεως ὦ Ἰουδαῖε· εἴρηται γὰρ πρὸς αὐτὸν τὸν Ἀβραάμ, ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα· καὶ ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε· δηλοῖ δὲ τὸ ἐν Ἰσαάκ, τὸ κατ' ἐπαγγελίαν· οὐκοῦν πατὴρ τέθειται πολλῶν ἐθνῶν, τῶν διὰ πίστεως δηλονότι τῆς ἐν Χριστῷ, καὶ περὶ αὐτῶν ἔφη που θεὸς, καὶ διὰ φωνῆς τοῦ Ἰεζεκιήλ· καὶ ἐκσπάσω τὴν καρδίαν αὐτῶν τὴν λιθίνην ἐκ τῆς σαρκὸς αὐτῶν, καὶ δώσω αὐτοῖς καρδίαν σαρκίνην τοῦ εἰδέναι αὐτοὺς ἐμὲ, ὅτι ἐγώ εἰμι κύριος.

v. 9. p. 52. b. Ἵνα δὲ καὶ ἔτι μειζόνως ὠφελῇ τοὺς ἀκροωμένους ὁ μακάριος βαπτιστὴς, προσεπάγει τί καὶ ἕτερον, ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται.

Ἡ ἀξίνην ἐν τούτοις ὀνομάζει τὴν τομωτάτην ὀργὴν· ἣν τοῖς Ἰουδαίοις ἐπήνεγκεν ὁ θεὸς καὶ πατὴρ, τῆς εἰς Χριστὸν δυσσεβείας ἕνεκα· ἐπενήνεγκται γὰρ αὐτοῖς ὡς πέλεκυς, ἡ ὀργὴ· καὶ τοῦτο ἡμῖν ὁ προφήτης Ζαχαρίας φανερὸν ἐποίει, λέγων· ἔσται ὁ κοπετὸς τῆς Ἱερουσαλὴμ ὡς κοπετὸς ῥοῶνος ἐν πεδίῳ ἐκκοπτομένου· ἔφη δὴ καὶ Ἱερεμίας, ὡς πρὸς αὐτὴν· ἐλαίαν ὡραίαν εὔσκιον τῷ εἴδει ἐκάλεσε κύριος τὸ ὄνομά σου· εἰς φωνὴν περιτομῆς αὐτῆς· ἀνήφθη πῦρ ἐπ' αὐτὴν· μεγάλη ἡ θλῖψις ἐπ' αὐτὴν, ἠχρειώθησαν οἱ κλάδοι αὐτῆς, καὶ κύριος τῶν δυνάμεων ὁ

καʃαφυτεύσας σε, ἐλάλησεν δὲ σὲ κακὰ· εἰς τοῦ- III.
το λήψῃ καὶ τὴν ἐν τοῖς εὐαγγελίοις περὶ τῆς
συκῆς ϖαραβολὴν· οὐκοῦν ὡς ἄκαρπον καὶ οὐκ
εὐγενὲς ἔτι φυτὸν, ἐξεκόϖη ϖαρὰ θεοῦ· πλὴν
οὐκ εἰς τὴν ῥίζαν τὴν ἀξίνην τεθεῖσθαι φησὶν,
ἀλλὰ ϖρὸς τὴν ῥίζαν, τουτέστιν ἐγγὺς τῆς ῥί-
ζης· ἐξεκόϖησαν ʃὰρ οἱ κλάδοι, καὶ οὐκ ἐκ ῥί-
ζης αὐτῆς ἀνεβοθρεύθη τὸ φυτὸν· σέσωσται ʃὰρ
τὸ κατάλειμμα τοῦ Ἰσραὴλ, καὶ οὐχ' ὁλόῤῥι-
ζος ἀϖόλωλεν.

Τρία τάʃματα εἰσήʃαγε Λουκᾶς ὁ μακάριος, v. 10.
ϖυνθανόμενα τοῦ Ἰωάννου, ὄχλους, τελώνας, p. 53. a.
στρατιώτας τὸ τρίτον· καθάϖερ δέ τις ἐϖιστή-
μων ἰατρὸς ἑκάστῳ τῶν ϖαθῶν τὸ ϖρόσφορόν
τε καὶ εἰκὸς ἐϖιφέρει βοήθημα, οὕτως καὶ ὁ
βαπτιστὴς ἑκάστῳ τῶν ἐπιτηδευμάτων τὸν ἐϖω-
φελῆ καὶ ϖρέϖοντα λόγον ἐδίδου, τοῖς μὲν ὄ-
χλοις βαδίζουσιν εἰς μεʃάνοιαν, φιλαλλήλῳ
φρονήμαʃι κεχρῆσθαι κελεύων· τελώναις δὲ, τὴν
εἰς ἀκαθέκʃους πλεονεξίας ἀποκλείων ὁδὸν· τοῖς
γε μὴν στρατιώταις τὸ μηδένα διασείειν, ϖαν-
σόφως ἐϖιφωνῶν, ἀρκεῖσθαι δὲ τοῖς ὀψωνίοις.

Οὕτως ἦν ἐξιάʃαστος καὶ μέʃας ὁ Ζαχαρίου v. 15.
ϖαῖς, ὡς εἰς τοῦτο ὑϖονοίας ἐλθεῖν τοὺς τῶν p. 53. b.
Ἰουδαίων δήμους, μὴ ἄρα ϖως αὐτὸς εἴη ὁ Χρι-
στὸς, ὁ καὶ διὰ τῆς τοῦ νόμου σκιᾶς ʃραφόμε-
νος, καὶ διὰ ϖροφητῶν ἁγίων ϖροκεκηρυʃμένος·

III. ἐπειδὴ δὲ ἄωαξ εἰς τοῦτο ὑπονοίας προῆλθον τινὲς, ἀποκείρει τὴν ὑποψίαν, δεσποτικοῖς ἀξιώμασι ὡς οἰκέτης παραχωρῶν· ἀμέτρητον γὰρ τὸ μεταξὺ θεοῦ καὶ ἀνθρώπου· καί που ταῦτα λέγοντα τὸν ἱερὸν εὑρήσομεν βαπτιστὴν; ἐν τῇ κατὰ τὸν Ἰωάννην εὐαγγελικῇ συγγραφῇ· ἔφη γὰρ οὕτως· αὐτοὶ ὑμεῖς μαρτυρεῖτε, ὅτι εἶπον ὡς οὐκ εἰμὶ ὁ Χριστὸς, ἀλλ' ὅτι ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου· ἀωοφήνας τοίνυν ἑαυτὸν οὐκ ὄντα Χριστὸν, ἐπιφέρει λοιπὸν ἀποδείξεις, δι' ὧν ἐστι μαθεῖν, ὡς ἀμέτρητόν τι μεταξὺ διαφαίνεται θεοῦ καὶ ἀνθρώπων, δούλου καὶ δεσπότου· τοῦ προβαδίζοντος οἰκετικῶς, καὶ τοῦ θεοπρεπῶς ἀναλάμποντος· εἴπερ ὑπάρχων τοσοῦτος εἰς ἀρετὴν ὁ μακάριος βαωτιστὴς, οὐκ ἄξιον ἑαυτὸν εἶναι φησὶν, οὐδ' ὅσον εἰπεῖν τοῦ ἀποθίξειν τῶν ὑποδημάτων αὐτοῦ· εἶτα τούτοις ἑτέραν ἀπόδειξιν εὐθὺς ἐπιφέρει· ἐγὼ μὲν βαωτίζω ὑμᾶς ὕδατι, ἐκεῖνος δὲ ὑμᾶς βαωτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρὶ· μόνης γὰρ καὶ ἰδικῶς ἔργον ἐστὶ τῆς πάντα ὑπερκειμένης οὐσίας, τὸ ἐνιέναι δύνασθαί τισι τὸ πνεῦμα τὸ ἅγιον, καὶ θείας φύσεως κοινωνοὺς ἀωοφαίνειν τοὺς προσιόντας αὐτῇ· ἐνυπάρχει δὲ τοῦτο, οὐ κατὰ λῆψιν καὶ μέθεξιν τὴν ωαρ' ἑτέρου τινὸς, ἀλλ' οἴκοθεν καὶ οὐσιωδῶς τῷ Χριστῷ· βαπτίζει γὰρ ἐν ἁγίῳ πνεύματι· θεὸς οὖν ἄρα ἐστὶ· καὶ καρ-

πὸς τῆς οὐσίας τοῦ θεοῦ καὶ πατρὸς, ὁ ἐναν- III.
θρωπήσας λόγος· ἀλλ' ἔδρα τοῦτο καὶ ὅτε γέ-
γονεν ἄνθρωπος, εἷς ὢν υἱὸς, μετὰ τῆς ἀῤῥή-
τως τὲ καὶ ἀπερινοήτως ἑνωθείσης αὐτῷ σαρκὸς·
καὶ γοῦν ὁ μακάριος βαπτιστὴς προειπὼν, οὐκ
εἰμὶ ἄξιος, ἵνα λύσω τὸν σφαιρωτῆρα τῶν ὑπο-
δημάτων, οὕτω δὲ εἰώθασι λέγειν τὸ ἄκρον τοῦ
ὑποδήματος, τὸ εἰς ὀξὺ λῆγον· τοιούτοις γὰρ
χρῶνται οἱ βάρβαροι· προσεπήνεγκεν εὐθὺς· οὗ-
τος ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρὶ,
καὶ πόδας δηλονότι καὶ ὑποδήματα ἔχων· οὐ
γάρ τοι φαίη τίς ἂν, εἴγε νοῦν ἔχοι, ὡς ἄσαρ-
κος ὢν ὁ λόγος καὶ οὔπω γενόμενος καθ' ἡμᾶς,
πόδας εἶχε καὶ ὑποδήματα, ἀλλ' ὅτε γέγονεν
ἄνθρωπος, ἐπειδὴ τὸ εἶναι θεὸς οὐκ ἀπώλεσεν,
ἐνήργηκε πάλιν· καὶ οὕτω θεοπρεπῶς τὸ πνεῦ-
μα διδοὺς τοῖς πιστεύουσιν εἰς αὐτὸν· ἦν γὰρ
ἐν ταυτῷ θεὸς τὲ ὁμοῦ καὶ ἄνθρωπος ὁ αὐτὸς·
ἀλλὰ ναί φησιν ἐνέργηκεν ὁ λόγος τὰ θεοπρεπῆ
διὰ τοῦ ἐκ σπέρματος Δαβὶδ· οὐκοῦν ἀντεροῦ-
μεν σοι ταῦτα λέγοντι, τοῦ Ἰωάννου τὰ ῥήμα-
τα· ἔφη γάρ που πρὸς Ἰουδαίους· ὀπίσω μου
ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι
πρῶτος μου, κἀγὼ οὐκ ἤδειν αὐτὸν· ἀλλ' ὁ πέμ-
ψας με βαπτίζειν ἐν ὕδατι, αὐτός μοι εἶπεν·
ἐφ' ὃν ἂν ἴδῃς καταβαῖνον τὸ πνεῦμα, καὶ μέ-
νον ἐπ' αὐτὸν, οὗτος ἐστὶν ὁ βαπτίζων ἐν πνεύ-

III. μαῖι ἁγίῳ, κἀγὼ ἑώρακα καὶ μεμαρτύρηκα ὡς οὗτος ἐστὶν ὁ υἱὸς τοῦ θεοῦ· ἰδοὺ δὲ σαφῶς ἄνδρα λέγων, πρὸ αὐτοῦ γενέσθαι φησὶ· καὶ εἶναι πρῶτον αὐτοῦ, προϋπάρχοντα δῆλον ὡς θεϊκῶς, κατά γε τὸ παρ' αὐτοῦ σαφῶς εἰρημένον τοῖς Ἰουδαίων δήμοις· ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι· εἶτα πρὸς τούτῳ καὶ καταβῆναι φησὶν ἐπ' αὐτὸν, τὸ πνεῦμα ἐξ οὐρανοῦ· ἆρ' ἐστὶ γυμνὸν καὶ ἄσαρκον ἔτι τὸν τοῦ θεοῦ λόγον καταβῆναι φασὶ τὸ πνεῦμα τὸ ἅγιον; καὶ τὸν τοῦ πνεύματος χορηγὸν, τοῦ ἰδίου πνεύματος μέτεχον ἀποφαίνουσιν; ἢ μᾶλλον ἐκεῖνο φασὶν ὅτι τὸ πνεῦμα λαβὼν ἀνθρωπίνως, βαπτίζει θεϊκῶς ἐν ἁγίῳ πνεύματι, καὶ ἔστιν αὐτὸς ὁ εἷς τε καὶ μόνος, καὶ ἀληθῶς υἱὸς τοῦ θεοῦ καὶ πατρὸς, ὡς αὐτὸς μεμαρτύρηκεν ὁ μακάριος βαπτιστής;

v. 16. p. 54. b. Τάχα δὲ τῇ τοῦ πνεύματος σημασίᾳ, τὴν τοῦ πυρὸς συνέδησεν ὁ μακάριος βαπτιστὴς· οὐκ ἐν πυρὶ πάντας βαπτισθήσεσθαι λέγων ἡμᾶς διὰ Χριστοῦ, ἀλλὰ τὴν τοῦ πνεύματος ἐνέργειαν τὴν ζωοποιὸν· διὰ τῆς τοῦ πυρὸς σημασίας σημαίνων· ἐκ γὰρ τῆς διαφόρου περὶ τὸ ὑποκείμενον ἐνεργείας, διαφόρους λαμβάνει τὸ ἓν πνεῦμα τὰς προσηγορίας.

v. 17. p. 56. a. Ἰδοὺ δὲ φησὶν ὁ μακάριος βαπτιστὴς, Χριστῷ διαφέρειν ὡς δεσπότῃ τὴν ἄλω, τοῦτο γὰρ

σημαίνει τὸ αὐτοῦ· οὕτω γὰρ αὐτὴν καὶ καθαί- III.
ρει, διϊστὰς καὶ διακρίνων ἀπὸ τοῦ σίτου τὸ
ἄχυρον· διανομέα τὲ καὶ οἱονεὶ σημάντορα τῶν
ἑκάστῳ πρεπόντων, ὀφθήσεσθαι λέγει, ὡς τὸν
μὲν δίκαιόν τε καὶ ἀγαθὸν, σίτου δίκην ταῖς
οὐρανίαις εἰσκομίζειν αὐλαῖς, πυρὸς δὲ ποιεῖ-
σθαι τροφὴν, ἀχύρου τρόπον ἀποτιναχθέντα
τὸν ἄδικον· ὁ μὲν γὰρ σίτος, φησὶ, εἰς ἀποθή-
κην εἰσκομίζεται, τουτέστιν ἀσφαλείας ἀξιοῦται
τῆς παρὰ θεοῦ, φειδοῦς τε καὶ φυλακῆς καὶ
ἀγάπης· τό γε μὴν ἄχυρον ὡς ἄχρηστος ὕλη,
πυρὶ δαπανᾶται.

Ἄκουε δὲ τί καὶ διὰ Ἱερεμίου φησὶν ὁ θεὸς, p. 56. b.
σύγκρισιν προφητῶν καὶ ψευδοπροφητῶν ποιού-
μενος, τί τὸ ἄχυρον πρὸς τὸν σῖτον; ἤγουν ἡ
κουφολογία πρὸς τὴν ἀλήθειαν· ὁ μὲν γὰρ πα-
ρὰ θεοῦ λόγος, τροφιμωτάτην ἔχει τὴν δύνα-
μιν· ὁ δὲ τῶν ἀνοσίων ψευδοδιδασκάλων, εὐ-
διαθρυπτότατός τε καὶ ἀχυρώδης ὑπάρχων, οὐ-
δὲ μίαν τοῖς ἀκροωμένοις ἐμποιεῖ τὴν ὄνησιν.

Οὕτω πολύ τι τὸ βλάβος καὶ ἀδόκητον συμ- v. 23.
βαίνει ἐκ τοῦ φυλάττεσθαι τὴν διὰ τοῦ βαπτί- p. 62. b.
σματος χάριν εἰς μακρὰν καὶ ὑπέρωρον ἀναβο-
λήν· μάλιστα μὲν γὰρ οὐκ ἀσφαλὴς ἡ ἐλπὶς,
εἰ καὶ τῶν οἰκείων τίς ἐπιτεύξεται βουλευμά-
των· ἐκβεβηκότος δὲ πάλιν εἰς τέλος αὐτῷ τοῦ
σκοποῦ, ἁγιάζεται μὲν, πλὴν μόνην ἔχει τῶν

III. πλημμελημάτων τὴν ἄφεσιν, καὶ τὸ τάλαντον ἀποκομίζει τῷ δεσπότῃ ξηρὸν, οὐδὲν ἐπεργάσασθαι σχολάσας αὐτῷ.

CAP. IV.

IV. v. 1. p. 72. a. Ἐνταῦθα μοι βλέπε τὴν τοῦ ἀνθρώπου φύσιν, ὡς ἐν ἀπαρχῇ τῷ Χριστῷ τῇ τοῦ ἁγίου πνεύματος χάριτι κατακεχρησμένην, καὶ ταῖς ἀνωτάτω τιμαῖς ἐστεφανωμένην· πάλαι μὲν γὰρ ὑπιχνεῖτο λέγων ὁ τῶν ὅλων Θεὸς, ὅτι ἔσται ἐν ταῖς ἡμέραις ἐκείναις ἐν Χριστῷ ἀπὸ τοῦ πνεύματός μου δὲ πᾶσα σὰρξ· πεπλήρωται δὲ εἰς ἡμᾶς ὡς ἐν πρώτῳ Χριστῷ τὸ ἐπηγγελμένον· καὶ περὶ μὲν τῶν ἀρχαιοτέρων, ἀκαθέκτως ἐκκεκλικότων εἰς φιλοσαρκίαν, ἔφη που Θεὸς· οὐ μὴ καταμείνῃ τὸ πνεῦμα μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας· ἐπειδὴ δὲ πάντα γέγονεν ἐν Χριστῷ καινὰ, καὶ τὴν διὰ πνεύματος τε καὶ ὕδατος ἀνάγεννησιν πεπλουτήκαμεν· χρηματίζομεν δὲ οὐκέτι σαρκὸς καὶ αἵματος τέκνα, πατέρα δὲ μᾶλλον καλοῦμεν τὸν θεὸν· ταύτῃ τοι καὶ μάλα εἰκότως ὡς τετιμημένοι λοιπὸν καὶ τὸ λαμπρὸν ἔχοντες τῆς υἱοθεσίας καύχημα, θείας φύσεως γεγόναμεν κοινωνοὶ διὰ μετοχῆς τοῦ ἁγίου πνεύματος· ὁ δὲ ἐν ἡμῖν πρωτότοκος ὅτε γέγονεν ἐν πολλοῖς ἀδελ-

φοῖς, καθεὶς ἑαυτὸν εἰς κένωσιν, δέχεται πρῶ- IV.
τος τὸ πνεῦμα· καί τοι τοῦ πνεύματος δοτὴρ
ὑπάρχων αὐτὸς, ἵνα καὶ εἰς ἡμᾶς ἔρχηται δι'
αὐτοῦ τὸ ἀξίωμα, καὶ τῆς πρὸς τὸ ἅγιον πνεῦ-
μα κοινωνίας ἡ χάρις· τοιοῦτόν τι καὶ ὁ Παῦ-
λος διδάσκει ἡμᾶς, λέγων περί τε αὐτοῦ καὶ
ἡμῶν· ὅ τε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι,
ἐξ ἑνὸς πάντες· δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται
ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων· ἀπαγγελῶ τὸ
ὄνομά σου, τοῖς ἀδελφοῖς μου· ἐπειδὴ γὰρ ὅλως
οὐκ ἐπαισχύνεται καλεῖν ἡμᾶς ἀδελφοὺς, διά
τοι τὸ ὑπελθεῖν τὴν πρὸς ἡμᾶς ὁμοίωσιν, διὰ
τοῦτο τὴν ἡμῶν πτωχείαν εἰς ἑαυτὸν μεταθεὶς,
ἁγιάζεται μεθ' ἡμῶν, καί τοι τὴν κτίσιν ἅπα-
σαν ἁγιάζων αὐτὸς, ἵνα μὴ φαίνηται τὸ τῆς ἀν-
θρωπότητος παραιτούμενος μέτρον, ὁ τῆς ἁπάν-
των σωτηρίας ἕνεκα καὶ ζωῆς, ἄνθρωπος γενέ-
σθαι μὴ φυγὼν, καὶ ἐν ὁμοιώσει τῇ πρὸς ἡμᾶς
γενόμενος κατὰ πᾶν ὁτιοῦν, δίχα μόνης ἁμαρ-
τίας.

Τὸ γὰρ ἤγετο, οὐ τὸ ἀπεφέρετο μᾶλλον ἐσ- p. 72. b.
τὶν, ἀλλ' ὅτι διῆγε καὶ ἐπολιτεύετο· κατειθί-
σμεθα γάρ που καὶ ἡμεῖς αὐτοὶ περὶ παντὸς
ζῶντος ἐν ἐπιεικείᾳ, λέγειν· ὁ δεῖνα τυχὸν κα-
λῶς ἑαυτὸν ἄγει· ἐπολιτεύετο τοίνυν ὁ κύριος
ἐν τῇ ἐρήμῳ, ἐν τῷ πνεύματι, τουτέστι πνευ-
ματικῶς.

IV. v. 2. Νενήστευκε τοίνυν ὁ κύριος, οὐδὲν παντελῶς τῇ τῆς σώματος χρείᾳ διδοὺς εἰς τροφήν· οὐκ αὐτὸς νηστείας προσδεόμενος, ἀλλὰ τύπον ἡμῖν τὰ καθ' ἑαυτὸν εἰς ὑπογραμμὸν ἀναθιθεὶς, καὶ εἰκόνα ποιούμενος τῆς παρ' ἡμῖν ἐξαίρετου καὶ τεθαυμασμένης ζωῆς· πόθεν γὰρ ἦν εἰδέναι τοὺς ἐπὶ τῆς γῆς, ὅτι τὸ ταῖς ἐρήμοις ἐνδιαιτᾶσθαι χρήσιμον αὐτοῖς καὶ ἀναγκαῖον εἰς σωτηρίαν; ἀποφυτῶσι γὰρ ὥσπερ κυμάτων ζάλης, καὶ τῶν εἰκαίως τοῦ παρόντος βίου περισπασμῶν, καὶ μονονουχὶ καθὰ τὸν μακάριον Ἰωσὴφ ἀποδύονται τῷ κόσμῳ πάντα τὰ αὐτοῦ· δείκνυσι τοίνυν τοῖς οὕτω ζῆν ἑλομένοις, ἀναγκαίαν οὖσαν τὴν ἐγκράτειαν, ἧς νηστεία καρπὸς· ἡττηθήσεται γὰρ οὕτω πειράζων ὁ σατανᾶς· καὶ σὲ τοίνυν δεῖ πρότερον ἐνδύσασθαι τὴν ἐξ ὕψους δυνάμιν, τουτέστι μέτοχον ἀποφανθῆναι τοῦ ἁγίου πνεύματος, καὶ τότε τὴν ἐξιέραστον καὶ τετιμημένην παρὰ θεῷ κατορθοῦν ἑλέσθαι ζωήν· τότε τὰς ἐρήμους καταλήψῃ σὺν ἀνδρείᾳ πνευματικῇ· τότε νηστεύσεις ἁγίως, καὶ καταινεκρώσεις τὰς ἡδονὰς, καὶ κρείττων ἔσῃ τοῦ πειράζοντος σατανᾶ.

p. 73. a. Ἰδοὺ γέγονεν ἐν τοῖς ἀθλοῦσιν ὁ ἀθλοθέτης ὡς θεὸς· ἐν τοῖς στεφανουμένοις, ὁ τὰς τῶν ἁγίων στεφανῶν κεφαλὰς· ἴδωμεν τοίνυν τῶν παλαισμάτων τὸ εὐτεχνὲς, τῆς τοῦ διαβόλου σκαιότητος τὴν ἀναστροπήν· τεσσαρακοστῆς εἰς νηστείαν

δαπανηθείσης ἡμέρας, ὕστερον ἐπείνασε· καί τοι IV.
δίδωσιν αὐτὸς τοῖς πεινῶσι τροφὴν· καὶ αὐτός
ἐστιν ὁ ἄρτος ὁ ἐξ οὐρανοῦ καταβὰς, καὶ ζωὴν
διδοὺς τῷ κόσμῳ· ἡ τῶν ὅλων σύστασις· ἐπειδὴ
δὲ πάλιν ἐχρῆν τὴν καθ' ἡμᾶς πτωχείαν οὐκ ἀτι-
μάσαντα, τῶν τῆς ἀνθρωπότητος μέτρων μὴ εἰσ-
άπαν ἀποφοιτᾷν, συγκεχώρηκε τῇ τῆς σαρκὸς φύ-
σει ζητῆσαι τὰ ἑαυτῆς, οὕτως αὐτὸν πεινάσαι
φαμέν.

Νηστεύσας γε μὴν ἀπροχρώντως, καὶ δυνά-
μει θεοπρεπεῖ, πολοῦ καὶ σιτίων δίχα τὴν σάρ-
κα τηρήσας ἀδιάφθορον, ἐφίησι μόλις τὰ οἰ-
κεῖα παθεῖν αὐτήν· πεινῆσαι γὰρ λέγει, καὶ
διὰ ποίαν αἰτίαν, ἵνα δι' ἀμφοῖν εὐτέχνως θεός
τε ὁμοῦ καὶ ἄνθρωπος ὑπάρχων, ἐπιγινώσκηται
εἷς καὶ ὁ αὐτὸς δηλονότι, καὶ θεϊκῶς ὑπὲρ ἡ-
μᾶς, καὶ καθ' ἡμῶν ἀνθρώπινως.

Προσέρχεται πειράζων ὁ σατανᾶς· συνεργὸν v. 3.
ὥσπερ τῆς ἐνούσης αὐτῷ δυσπροπίας, τὸ τοῦ λι- p. 73. b.
μοῦ πάθος ἔσεσθαι προδοκῶν· κατισχύει γὰρ
ἡμῶν πολλάκις, τὰς ἐν ἡμῖν ἀσθενείας εἰς ἐπι-
κουρίαν δεχόμενος τῶν ἑαυτοῦ σκεμμάτων ἤτοι
ἐπιχειρημάτων· ἐνόμισεν αὐτὸν ἑτοίμως ἐπιπη-
δᾷν, τῷ βούλεσθαι παρακειμένους ἰδεῖν ἄρτους·
ἔφη γοῦν· εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ ἵνα ὁ λί-
θος οὗτος, ἄρτος γένηται· προσέρχεσθαι μὲν, ὡς
ἀνθρώπῳ κοινῷ, καὶ ὡς ἑνὶ τῶν ἁγίων· πλὴν

IV. ὕποπτος ἦν, μὴ ἄρα πῶς αὐτὸς εἴη ὁ Χριστὸς· ὡῶς οὖν ἠθέλησε τοῦτο μαθεῖν; ἐνενόησεν ὡς θεοπρεποῦς ἰσχύος ἀποτέλεσμα καὶ ἔργον ἐστὶ, τὸ μεταστῆσαι φύσιν εἰς ὅπερ οὐκ ἦν· θεὸς γάρ ἐστιν ὁ ποιῶν ταῦτα καὶ μετασκευάζων· οὐκοῦν ἂν τοῦτο φησὶ γένηται, αὐτός που πάντως ἐκεῖνος ἐστὶν, ὁ κατὰ τῆς ἐμῆς δυναστείας ἔξειν προσδοκώμενος· ἐὰν δὲ μὴ μεταβάλῃ πρὸς ἄνθρωπον ἔχω, καὶ ἀποβέβληκα τὸν φόβον, καὶ τῶν κινδύνων ἀπήλλαγμαι· διὰ τοῦτο Χριστὸς, ἅτε δὴ εἰδὼς τοῦ θηρίου τὴν σκέπην, οὔτε μεταβέβληκεν, οὔτε μὴν ἔφη μὴ δύνασθαι τοῦτο δρᾶν, ἤγουν μὴ ἐθέλειν· ἀποσείεται δὲ μᾶλλον ὡς ὀχληρόν.

p. 74. a. Καί μοι ὅρα τὴν ἀνθρώπου φύσιν ἐν Χριστῷ, τὰ τῆς ἐν Ἀδὰμ ἀκρασίας ἀποβάλλουσαν αἰτιάματα· διὰ βρώσεως ἐν Ἀδὰμ νενικήμεθα, δι' ἀγράτειαν ἐν Χριστῷ νενικήκαμεν.

p. 74. b. Τοῖς μὲν ἀπὸ γῆς σιτίοις, τὸ γήϊνον ἡμῶν τρέφεται σῶμα, καὶ ζητεῖ πρὸς ἐπικουρίαν τὸ συγγενὲς· ψυχὴ δὲ ἡ λογικὴ λόγῳ τῷ θείῳ πρὸς εὐεξίαν ἀδρύνεται τὴν πνευματικήν· αἱ μὲν γὰρ ἀπὸ γῆς τροφαὶ, τὸ συγγενὲς τρέφουσι σῶμα· αἱ δὲ ἄνωθεν καὶ ἐξ οὐρανοῦ, νευροῦσι τὸ πνεῦμα· τροφὴ νοῦ, ὁ λόγος ὁ παρὰ Θεοῦ· καὶ ἄρτος πνευματικὸς, στηρίζων ἀνθρώπου καρδίαν· καὶ τὸ ἐν βίβλῳ ψαλμῶν, ὑμνούμενον· τοιαύ-

τας δὲ εἶναι φαμὲν, καὶ αὐτῶν τῶν ἁγίων ἀγ- IV.
γέλων τὰς τροφάς.

Ἀλλ' ὦ κακοῦργε καὶ πονηρὲ καὶ ἀλιτήριε, v. 5.
πῶς ἐτόλμησας τῷ κυρίῳ πάσης τῆς κτίσεως δεῖ-
ξαι πάσας βασιλείας, καὶ εἰπεῖν ὡς ταῦτα πάν-
τα ἐμά ἐστι; νῦν οὖν εἰ πεσὼν προσκυνήσεις μοι,
σοὶ δώσω· πῶς ἐπαγγέλλῃ τὰ μὴ σά; τίς σε
κατέστησε κληρονόμον τῆς τοῦ θεοῦ βασιλείας;
τίς ὑπέταξέ σοι τὴν ὑπ' οὐρανὸν; ἐξ ἀπάτης ἥρ-
πασας, οὐκοῦν ἀπόδος ἐνανθρωπήσαντι τῷ υἱῷ
τῷ πάντων δεσπότῃ· ἄκουε τί φησιν ὁ προφήτης
Ἡσαΐας περὶ σοῦ· μὴ καὶ σοὶ ἡτοιμάσθη βα-
σιλεύειν, φάραγγα βαθεῖαν; πῦρ καὶ θεῖον καὶ
ξύλα κείμενα· ὁ θυμὸς κυρίου ὡς φάραγξ ὑπὸ
θείου καιομένη· ὁ δὲ κλῆρος ἔχων τὴν ἄσβε-
στον φλόγα, πῶς τῷ βασιλεῖ τῶν ὅλων ἐπαγ-
γέλλει τὰ αὐτοῦ; προσεδόκησας ἔχειν προσκυ-
νητὴν ὃν τρέμει τὰ σύμπαντα, καὶ δοξολογοῦσι
τὰ σεραφὶμ καὶ πᾶσαι αἱ ἀγγελικαὶ δυνάμεις·
γέγραπται, κύριον τὸν θεόν σου προσκυνήσεις, v. 8.
καὶ αὐτῷ μόνῳ λατρεύσεις· ἁπτόμενος ὥσπερ
τῶν σπλάγχνων αὐτοῦ, ταύτην παρεκόμισεν εὐ-
καίρως τὴν ἐντολήν· πρὸ μὲν γὰρ τῆς ἐπιδημίας
αὐτοῦ, πᾶσαν ἐπλάνησε τὴν ὑπ' οὐρανὸν· αὐτὸς
ἦν ὁ πανταχοῦ προσκυνούμενος, ὁ δέ γε τοῦ
θεοῦ νόμος ἔξω τιθεὶς αὐτὸν τῆς ἐξ ἁπάτης
αὐτῷ πεπορισμένης ἀρχῆς, ἐνὶ τῷ κατὰ φύσιν

IV. καὶ ἀληθῶς ὄντι θεῷ, πρόσεταξε προσκυνεῖν, καὶ αὐτῷ μόνῳ τὰς λατρείας ἐπιτελεῖν.

v. 9. p. 75. b. Τρίτην πεῖραν ὁ διάβολος προσάγει τὴν τῆς κενοδοξίας· βάλε σεαυτὸν κάτω λέγων, εἰς ἐπίδειξιν τῆς θεότητος· ἀλλ' οὐ καθήνεγκε διὰ τῆς ἐπαάρσεως, ἀλλ' ἔξω βέβληκε· καὶ εἰς τοῦτο σκοπού· εἴρηται γάρ φησι οὐκ ἐκπειράσεις κύριον τὸν θεόν σου· οὐ γὰρ τοῖς πειράζουσι χαρίζεται ὁ θεὸς τὰς ἐπικουρίας, ἀλλὰ τοῖς πιστεύουσιν εἰς αὐτὸν· οὐ γὰρ ὅτι φειδοῦς ἡμᾶς ἀξιοῖ, διὰ τοῦτο ἡμεῖς ἐπιδεικτιᾶν ὀφείλομεν· πρὸς τούτοις οὐδέποτε Χριστὸς τοῖς πειράζουσιν αὐτὸν ἐδίδου σημεῖον· γενεὰ πονηρὰ, σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ· τοῦτο καὶ νῦν ἀκουέτω πειράζων ὁ σατανᾶς· οὐκοῦν νενικήκαμεν ἐν Χριστῷ· καὶ ὁ ποτὲ κρατήσας ἐν Ἀδὰμ, ἀπῆλθε κατησχυμμένος, ἵν' ἡμεῖς ὑπὸ πόδας ἔχωμεν αὐτὸν· ὅτε γὰρ νενίκηκεν ὁ Χριστὸς, τότε καὶ εἰς ἡμᾶς παραπέμπων τὸ δύνασθαι νικᾶν, ἰδοὺ δέδωκα φησὶν ὑμῖν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ δὲ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.

Ἀναφέρουσι μέν τοι κακῶς τινὲς τὸν ψαλμὸν, εἰς τὸ τοῦ κυρίου πρόσωπον· καὶ τοὺς στίχους συνάπτοντες, οὕτως ἀναγινώσκουσι· ὡς σὺ κύριε ἡ ἐλπίς μου· τὸν ὕψιστον ἔθου καταφυγήν σου· φασὶ γοῦν ὅτι ὁ κύριος καταφυγὴν ἔχει

τὸν ὕψιστον, δηλονότι τὸν ἐν οὐρανοῖς πατέ- IV.
ρα· γέγονε δὲ πρόφασις αὐτῶν τῆς τοιαύτης ἐν-
νοίας, ὁ σατανᾶς· αὐτὸς γὰρ οὕτω νενόηκε τοὺς
στίχους· εἰπὼν, εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυ-
τὸν κάτω· γέγραπται γὰρ ὡς τοῖς ἀγγέλοις αὐ-
τοῦ ἐντελεῖται περὶ σοῦ· συκοφάντης γὰρ ὑπάρ-
χων καὶ πλάνος ὁ σατανᾶς, καὶ τὰ περὶ ἡμῶν
εἰρημένα, αὐτῷ προσάπτει τῷ προσώπῳ τοῦ πάν-
των ἡμῶν σωτῆρος Χριστοῦ· ἀλλ' ἡμεῖς οὐχ'
οὕτως νοοῦμεν, ὡς νοεῖν ἔθος τῷ σατανᾷ· εἰ δὲ
οὕτω νενοήκασιν Ἀρειανοὶ, θαυμαστὸν οὐδέν·
ἀκολουθοῦσι γὰρ τῷ ἰδίῳ πατρὶ, ὃς ψεύστης ἐστὶ,
καὶ ἀλήθεια ἐν αὐτῷ οὐκ ἔστι, κατὰ τὴν τοῦ
σωτῆρος φωνήν· εἰ γάρ ἐστι κατ' αὐτοὺς ἀλη-
θὲς τὸ τοιοῦτον, ἐλπίδα μὲν ἡμεῖς τὸν Χριστὸν
πεποιήμεθα· αὐτὸς δὲ καταφυγὴν ἔχει τὸν πα-
τέρα· οὐκοῦν βοηθουμένῳ προσπεφεύγαμεν, σω-
τῆρα καλοῦμεν τὸν παρ' ἑτέρου σωζόμενον· οὐκ
ἔστι ταῦτα, μὴ γένοιτο· λέγομεν τοίνυν τοῖς
οὕτω φρονεῖν εἰωθόσιν, ἑτέραν ἡμῖν ἀναγγέλ-
λετε πλάνησιν· ἔξω τῆς βασιλικῆς καὶ εὐθείας
ἔρχεσθε τρίβου· εἰς ἀκάνθας καὶ βόθρους πί-
πτετε· τῆς ἀληθείας ἐκπεπτώκατε· ἴσος ἐστὶ κα-
τὰ πάντα τοῦ πατρὸς, ὁ υἱὸς· χαρακτὴρ τῆς
ὑποστάσεως αὐτοῦ· ὕψιστος καθὰ καὶ ὁ πατήρ·
ὁ μὲν οὖν σατανᾶς τούτοις ἐχρήσατο τοῖς στί-
χοις ὡς ἐπ' ἀνθρώπου κοινοῦ τοῦ σωτῆρος· ἐπει-

ιν. δὴ γάρ ἐστιν ὅλος σκότος, καὶ κατεσκοτισμένην ἔχει τὴν διάνοιαν, οὐ συνῆκε τῶν εἰρημένων τὴν δύναμιν· ὅτι ὁ ψαλμὸς ἐκ προσώπου παντὸς δικαίου εἴρηται βοηθουμένου ὑπὸ τοῦ ὑψίστου, ὄντος θεοῦ τοῦ οὐρανοῦ· ἠγνόησέ τε πρὸς τούτῳ ὅτι θεὸς ὢν ὁ λόγος, γέγονεν ἄνθρωπος, καὶ αὐτὸς ἦν οἰκονομικῶς πειραζόμενος· ὁ μὲν οὖν, ὡς ἔφην, ὡς ἐπ' ἀνθρώπου κοινοῦ, ἢ καὶ ὡς ἐφ' ἑνὸς τῶν ἁγίων προφητῶν εἰρῆσθαι τοὺς λόγους ὑπελάμβανεν· ἄτοπον δὲ ἡμᾶς τοὺς εἰδότας ἀκριβῶς τὸ μυστήριον, καὶ πεπιστευκότας ὅτι θεός ἐστι καὶ υἱὸς θεοῦ, καὶ ὅτι δι' ἡμᾶς καθ' ἡμᾶς γέγονεν ἄνθρωπος, ὑπονοεῖν περὶ αὐτοῦ τοὺς στίχους εἰρῆσθαι· οὐχ' ἁρμόζει τοίνυν τῷ προσώπῳ τοῦ σωτῆρος τὸ λέγεσθαι τὸν ὕψιστον ἔθου καταφυγήν σου· αὐτὸς γάρ ἐστιν ὁ ὕψιστος, ἡ πάντων καταφυγὴ, ἡ πάντων ἐλπὶς, ἡ πάντα ἰσχύουσα τοῦ πατρὸς δεξιὰ· κἄν τις αὐτὸν καταφυγὴν θεῖτο, οὐ προσελεύσεται πρὸς αὐτὸν κακὰ· αὐτὸς γὰρ ἐντελεῖται τοῖς ἀγγέλοις, λειτουργικοῖς οὖσι πνεύμασιν, ὅπως φρουρῶσι τὸν δίκαιον· ὥσπερ γὰρ οἱ κατὰ σάρκα πατέρες ὅταν ἴδωσιν ὁδὸν τραχεῖαν καὶ δύσβατον, ἁρπάζουσιν εἰς χεῖρας τὰ βρέφη, μή πως ἀδικηθῇ τρυφερὸν ἔχοντα τὸν πόδα, καὶ οὔπω διὰ σκληρᾶς ὁδοῦ βῆναι δυνάμενα, οὕτω καὶ αἱ λογικαὶ δυνάμεις τοὺς οὔπω

πονεῖν ἰσχύοντας, νηπιοπρεπῆ δέ πως τὴν διά- IV.
νοιαν ἔχοντας, οὐκ ἐῶσι πονεῖν ὑπὲρ δύναμιν,
ἀλλὰ παντὸς ἐξέλκουσι πειρασμοῦ.

Ἀφεὶς τὰς ἐν ταῖς πόλεσι διατριβὰς, ταῖς v. 14.
ἐρήμοις ἐνηυλίζετο· ἐκεῖ νενήστευκε πειραζόμε- p. 77. a.
νος ὑπὸ τοῦ σαΐανᾶ, ἐκεῖ νενίκηκεν ὑπὲρ ἡμῶν,
ἐκεῖ συνέτριψε τὰς κεφαλὰς τῶν δρακόντων, ἐκεῖ
καθά φησιν ὁ μακάριος Δαβὶδ, τοῦ ἐχθροῦ ἐξέ-
λιπον αἱ ῥομφαῖαι εἰς τέλος, καὶ πόλεις καθή-
ρηνται, τοὐτέστιν ὡς πύργοι καὶ πόλεις ὄντες·
κατευμεγεθήσας τοίνυν τοῦ σατανᾶ, καὶ στεφα-
νώσας ἐν ἑαυτῷ τὴν τοῦ ἀνθρώπου φύσιν τοῖς
κατ' ἐκείνου βραβείοις, ὑπέστρεψεν εἰς τὴν Γα-
λιλαίαν, ἐν τῇ δυνάμει τοῦ πνεύματος, ἐνεργείᾳ
τὲ καὶ δυνάμει χρώμενος, πλείστας τὲ θεοση-
μείας ἀποτελῶν, καὶ πολὺ τὸ θαῦμα παρεχόμε-
νος· εἰργάζετο δὲ τὰς θεοσημείας, οὐκ ἔξωθεν
καὶ πεπορισμένην τὴν τοῦ πνεύματος χάριν λα-
βών, καθὰ καὶ ὁ τῶν ἁγίων χορὸς· ὑπάρχων δὲ
μᾶλλον φύσει τὲ καὶ ἀληθῶς υἱὸς τοῦ θεοῦ καὶ
πατρὸς, καὶ κλῆρον ἴδιον ἔχων τὰ αὐτοῦ· καὶ
γὰρ ἔφη πρὸς αὐτὸν· ὅτι πάντα τὰ ἐμὰ, σά
ἐστι· καὶ τὰ σὰ, ἐμὰ· καὶ δεδόξασμαι ἐν αὐτοῖς·
δεδόξασται τοίνυν ὡς ἰδίᾳ δυνάμει καὶ ἐνεργείᾳ
χρώμενος τῇ τοῦ ὁμοουσίου πνεύματος.

Ἐπειδὴ ἐχρῆν λοιπὸν ἐμφανῆ ἑαυτὸν κατα- v. 16.
στῆσαι τοῖς ἐξ αἵματος Ἰσραὴλ, καὶ τὸ τῆς p. 77. a.

IV. ἐνανθρωπήσεως ἐκλάμψαι μυστήριον τοῖς οὐκ εἰδόσιν αὐτὸ, καὶ ὅτι κέχρισται περὶ τοῦ θεοῦ καὶ πατρὸς εἰς σωτηρίαν τῆς ὑπὸ οὐρανὸν, πανσόφως καὶ τοῦτο οἰκονομεῖ· χαρίζεται δὲ τοῦτο πρό γε τῶν ἄλλων, τοῖς ἐν Ναζαρὲτ, οἷς καὶ συνετράφη, κατά γε φημὶ τὴν σάρκα· εἰσελθὼν τοίνυν ἐν τῇ συναγωγῇ, δέχεται βιβλίον εἰς ἀνάγνωσιν· καὶ ἀνοίξας, προφητικὴν ἐπελέξατο ῥῆσιν, τὸ περὶ αὐτοῦ λαλοῦσαν μυστήριον.

Ἐναργέστατα δὲ διὰ τούτων αὐτὸς ἦν ὁ λέγων διὰ τῆς τοῦ προφήτου φωνῆς, ὡς καὶ ἐνανθρωπήσει καὶ ἀφίξεται διασώσων τὴν ὑπ' οὐρανὸν· κεχρίσθαι γὰρ οὐχ' ἑτέρως φαμὲν τὸν υἱὸν, πλὴν ὅτι κατὰ τὴν σάρκα γενόμενον δηλονότι καθ' ἡμᾶς καὶ ἐνανθρωπήσαντα· θεὸς γὰρ ὑπάρχων ὁμοῦ καὶ ἄνθρωπος· ὁ αὐτὸς δίδωσι μὲν θεϊκῶς τὸ πνεῦμα τῇ κτίσει, δέχεται δὲ αὐτὸ παρὰ τοῦ θεοῦ καὶ πατρὸς· καθὰ τὸ ἀνθρώπινον, ὁ πᾶσαν ἁγιάζων τὴν κτίσιν, ἅτε καὶ ἐξ ἁγίου πατρὸς πεφηνὼς, καὶ τὸ ἐξ αὐτοῦ προχεόμενον πνεῦμα· καὶ ταῖς ἄνω δυνάμεσιν ἐνιεὶς ὡς ἑαυτοῦ, καὶ προσέτι τοῖς ἐπιγνωκόσιν αὐτοῦ τὴν ἐπιφάνειαν.

v. 18. Ὥσπερ μέν τοι τὸ ἔχρισέ με, τῇ ἀνθρωπότητι πρέπει, χρίεται γὰρ οὐχ' ἡ θεία φύσις ἀλλὰ τὸ ἡμῖν ὁμογενὲς, οὕτω καὶ τὸ, ἀπέσταλκέ με τῷ ἀνθρωπίνῳ λογιστέον.

Καὶ τοὺς πάλαι τὴν ἐκ τοῦ διαβόλου ἀχλὺν ἔχοντας εἰς καρδίαν, λαμπροὺς ἀπέφηνεν· οἵά τις δικαιοσύνης ἥλιος ἀνίσχων, καὶ υἱοὺς ἀποφήνας οὐκέτι νυκτὸς καὶ σκότους ἀλλὰ φωτὸς καὶ ἡμέρας, καθὰ τὴν Παύλου φωνήν· καὶ οἱ τυφλοὶ ὄντες, ἐτύφλωσε γὰρ τὰς καρδίας αὐτῶν ὁ ἀποστάτης, ἀνέβλεψαν· καὶ ἐπέγνωσαν τὴν ἀλήθειαν, καὶ καθὼς φησὶν Ἡσαΐας, γέγονεν αὐτοῖς τὸ σκότος εἰς φῶς· τουτέστιν οἱ ἀμαθεῖς γεγόνασι σοφοὶ· οἱ ποτὲ πλανώμενοι, τὰς τῆς δικαιοσύνης ἐγνώκασιν ὁδούς· φησὶ δέ που καὶ πρὸς αὐτὸν τὸν υἱὸν ὁ πατήρ· δέδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους, καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει· ἀφίκετο γὰρ ὁ μονογενὴς εἰς τόνδε τὸν κόσμον, καὶ τοῖς ἐκ γένους, τουτέστι τοῖς ἐξ αἵματος Ἰσραὴλ, ἐξ αὐτῶν γὰρ πέφηνε τὸ κατὰ σάρκα, τὴν καινὴν δέδωκε διαθήκην, τὴν πάλαι προηγγελμένην διὰ φωνῆς προφητῶν· ἐνίστραψε δὲ καὶ τοῖς ἔθνεσι τὸ θεῖόν τε καὶ οὐράνιον φῶς· καὶ τοῖς ἐν ᾅδου πνεύμασι πορευθεὶς ἐκήρυξε· καὶ τοῖς καθειργμένοις ἐν οἴκῳ φυλακῆς ἐπεφάνη· καὶ πάντας ἀνῆκε δεσμῶν καὶ ἀνάγκης· ταῦτα δὲ πῶς οὐκ ἂν ἔχοι σαφῆ τὴν ἀπόδειξιν τοῦ, ὅτι καὶ θεὸς καὶ ἐκ θεοῦ κατὰ φύσιν ἐστὶν ὁ Χριστὸς; τί δὲ τὸ ἀποστεῖλαι τεθραυ- IV. p. 77. b.

IV. σμένους ἐν ἀφέσει; τὸ ἐλευθέρους ἐκπέμψαι, οὓς συνέθραυσε νοητῶς ῥαβδίζων ὁ σατανᾶς· τί δὲ τὸ κηρύξαι ἐνιαυτὸν κυρίου δεκτὸν; τὸ τὴν ἑαυτοῦ εὐαγγελίσασθαι παρουσίαν, τὸ τὸν καιρὸν ἐνστῆναι τοῦ κυρίου, τουτέστι τοῦ υἱοῦ· δεκτὸς γὰρ ἐνιαυτὸς, καθ' ὃν ἐσταυρώθη Χριστὸς ὑπὲρ ἡμῶν· δεκτοὶ γὰρ τότε γεγόναμεν τῷ θεῷ καὶ πατρὶ καρποφορηθέντες δι' αὐτοῦ· διὸ ἔλεγεν, ὅταν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν· καὶ γοῦν ἀνεβίω τριήμερος, πατήσας τοῦ θανάτου τὸ κράτος, εἶτα τοῖς μαθηταῖς προσεφώνει· ἐδόθη μοι πᾶσα ἐξουσία, καὶ τὰ ἑξῆς· δεκτὸς οὖν ἐνιαυτὸς ἐκεῖνος που πάντως, καθ' ὃν εἰσεδέχθημεν τὴν πρὸς αὐτὸν λαχόντες οἰκείωσιν, ἀπονιψάμενοι τὴν ἁμαρτίαν, διὰ τοῦ ἁγίου βαπτίσματος· καὶ τῆς θείας αὐτοῦ φύσεως γενόμενοι κοινωνοὶ, διὰ μετοχῆς τοῦ ἁγίου πνεύματος· ἠγοῦν δεκτὸς ἐνιαυτὸς, καθ' ὃν πεφανέρωκε τὴν δόξαν αὐτοῦ, διὰ τῆς ὑπὲρ λόγον θεοσημείας· ἐδεξάμεθα γὰρ ἀσμένως τὸν τῆς παρ' αὐτοῦ σωτηρίας καιρὸν· ὃν δὴ καὶ ὁ πάνσοφος Παῦλος καταμεμήνυκεν λέγων, ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας· ὅτε οἱ πτωχοὶ, οἱ παντὸς ἀγαθοῦ νενοσηκότες τὴν ἔνδειαν ποτὲ, ἐλπίδα τὲ μὴ ἔχοντες, καὶ ἄθεοι ἐν τῷ κόσμῳ, οὗτοι δ' ἂν εἶεν οἱ ἐξ ἐθνῶν, τὴν εἰς αὐτὸν πίστιν ἐπλούτησαν·

τὸν θεῖον τὲ καὶ οὐράνιον κεκερδάκασι θησαυ- IV.
ρὸν, τὸ εὐαγγελικὸν δηλονότι καὶ σωτήριον κή-
ρυγμα, δι' οὗ γεγόνασι καὶ τῆς τῶν οὐρανῶν
βασιλείας μέτοχοι, καὶ συμμερισταὶ τῶν ἁγίων,
καὶ κληρονόμοι τῶν ὑπὲρ νοῦν καὶ λόγον· ὀφ-
θαλμὸς γὰρ οὐκ εἶδε φησὶ, καὶ οὖς οὐκ ἤκου-
σε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ
ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν· ἢ τάχά
που καὶ τοῖς πτωχοῖς τῷ πνεύματι, δεδωρῆσθαι
φησὶν ὁ λόγος ἐν τούτοις τῶν διὰ Χριστοῦ χα-
ρισμάτων τὴν ἄφθονον χορηγίαν· συντετριμμέ-
νους δέ φησι τὴν καρδίαν, τοὺς ἀσθενεῖς καὶ
εὐδιάθρυπτον ἔχοντας νοῦν, καὶ ταῖς τῶν πα-
θῶν προσβολαῖς, ἀντιφέρεσθαι μὴ δυναμένους,
ὑπεννενεμένους δὲ οὕτως αὐταῖς, ὡς αἰχμαλώ-
τους εἶναι δοκεῖν, τούτοις ἴασίν τε καὶ ἄφεσιν
ἐπαγγέλλεται· τυφλοῖς δὲ οὖσιν αὐτοῖς δίδω-
σι καὶ ἀνάβλεψιν· οἱ γὰρ τῇ κτίσει παρὰ τὸν
κτίσαντα λατρεύοντες, καὶ τῷ ξύλῳ λέγοντες
πατήρ μου εἶ σὺ· καὶ τῷ λίθῳ, σὺ ἐγέννησάς
με, εἶτα τὸν φύσει καὶ ἀληθῶς ὄντα θεὸν οὐκ
ἐπεγνωκότες, πῶς οὐκ ἂν εἶεν τυφλοὶ, καὶ φω-
τὸς τοῦ θείου καὶ νοητοῦ γυμνὴν ἔχοντες τὴν
καρδίαν; τούτοις ἐνίησιν ὁ παλὴρ, τῆς ἀληθοῦς
θεογνωσίας τὸ φῶς· κέκληνται γὰρ διὰ πίστεως
καὶ ἔγνωσαν αὐτὸν· μᾶλλον δὲ ἐγνώσθησαν ὑπ'
αὐτοῦ, καὶ υἱοὶ νυκτὸς ὄντες καὶ σκότους, φω-

IV. τὸς γεγόνασι τέκνα· διηύγασε γὰρ αὐτῶν ἡ ἡμέρα, καὶ ὁ τῆς δικαιοσύνης ἀνίσχεν ἥλιος, καὶ λαμπρὸς ἀνέτειλεν ἑωσφόρος· λυπεῖ δὲ οὐδὲν καὶ τῶν ἐξ αἵματος Ἰσραὴλ ἀφαρμόσαι πάντα τὰ εἰρημένα· καὶ γὰρ ἦσαν πτωχοὶ καὶ συντετριμμένοι τὴν καρδίαν, καὶ οἷον αἰχμάλωτοι καὶ ἐσκοτισμένοι· οὐ γὰρ ἦν ἐπὶ γῆς ὁ ποιῶν χρηστότητα, οὐκ ἦν ἕως ἑνός· ἀλλὰ πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν· ἀφῖκται δὲ ὁ Χριστὸς, καὶ πρό γε τῶν ἄλλων εὐαγγελιζόμενος τοῖς ἐξ Ἰσραὴλ τῆς ἑαυτοῦ παρουσίας τὰ κατορθώματα· τοιαῦτα δὲ ἦν καὶ τὰ τῶν ἐθνῶν ἀῤῥωστήματα· λελύτρωνται δὲ δι' αὐτοῦ, πεπλουτήκασι γὰρ τὴν παρ' αὐτοῦ σοφίαν, καὶ συνετοὶ γεγόνασι· καὶ ἀσθενῆ καὶ συντεθραυσμένην οὐκέτι τὴν διάνοιαν ἀνέχουσιν· ὑγιᾶ δὲ καὶ ἐῤῥωμένην, καὶ ἐπιτηδείως ἔχουσαν πρὸς παραδοχὴν καὶ κατόρθωσιν παντὸς ἀγαθοῦ καὶ σωτηρίου πράγματος· ἔδει γὰρ σοφίας καὶ συνέσεως τοῖς πεπλανημένοις, οἳ διὰ πολλὴν ἀβελτηρίαν προσεκύνησαν τῇ κτίσει, παρὰ τὸν κτίσαντα, καὶ ξύλα καὶ λίθους ἐπεγράφοντο θεοὺς· ἀλλ' οἱ πάλαι Χριστὸν οὐκ εἰδότες· διὰ τὸ ἐν ἀχλύϊ καὶ σκότῳ τελεῖν, θεὸν αὐτὸν ἐπεγράψαντο· τούτων ὑπαναγνωσθέντων τοῖς συνειλεγμένοις, ὁ μὲν πάντων τοὺς ὀφθαλμοὺς πρὸς ἑαυτὸν ἐπέστρεφε· θαυμαζόντων τάχα, πῶς οἶδε γράμμα-

τα, μὴ μεμαθηκὼς· ἐπειδὴ δὲ ἔθος ἦν τοῖς ἐξ IV.
Ἰσραὴλ, τὰς περὶ αὐτοῦ προφητείας ἐκπεπεράνθαι λέγειν, ἢ ἐπί τισι τῶν παρ' αὐτοῖς βεβασιλευκότων, ἢ γοῦν ἐπὶ προφήταις ἁγίοις· συνιέντες γὰρ οὐδὲν τῶν γεγραμμένων ὀρθῶς, ἑτέραν ᾠχοντο τρίβον, ἔξω πίπτοντες σκοποῦ· ἵνα δὲ μὴ πάλιν λέγωσί τι τοιοῦτον, ἀναγκαίως προασφαλίζεται, ἑαυτὸν ἐναργῶς παριστὰς ἐν τού- v. 21.
τοις τὸν διὰ τῆς προφητείας προηγορευμένον· αὐτὸς γὰρ εὐηγγελίσατο τὴν τῶν οὐρανῶν βασιλείαν τοῖς ἀπὸ τῶν ἐθνῶν· αὐτοὶ γὰρ ἦσαν πτωχοὶ μηδὲν ἔχοντες, μὴ θεὸν, μὴ νόμον, μὴ προφήτας· ἢ καὶ ἅπασιν ἁπλῶς τὸν πλοῦτον οὐκ ἔχουσι πνευματικὸν, αὐτὸς αἰχμαλώτους ὄντας ἐρρύσατο· τὸν ἀποστάτην τύραννον καθελὼν, τουτέστι τὸν σατανᾶν· αὐτὸ τὸ θεῖον καὶ νοητὸν φῶς ἐνήστραψε τοῖς ἐσκοτισμένην ἔχουσι τὴν καρδίαν· ἔφη γοῦν, ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα τοῦτον· αὐτὸς ἀπέλυσε δεσμῶν, δηλονότι τῶν εἰς ἁμαρτίας τοὺς συντεθραυσμένην ἔχοντες καρδίαν· αὐτὸς ἐκήρυξεν ἐνιαυτὸν κυρίου δεκτὸν, καθ' ὃν τὸ κήρυγμα τοῦ σωτῆρος ἐγένετο· οὗ καὶ ὁ πάνσοφος Παῦλος διαμνημονεύει λέγων, ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας.

Μὴ γὰρ συνιέντες τὸν κεχρισμένον καὶ ἀπε- v. 22.
σταλμένον, καὶ τῶν οὕτω τεθαυμασμένων πραγ- p. 78. 2.

IV. μάτων ἀποτελεστὴν, εἰς τὰ συνήθη κατεκομίζοντο, καὶ ψυχρολογοῦσιν ἀβούλως· καί τοι γὰρ τεθαυμακότες ἐπὶ τοῖς λόγοις τῆς χάριτος τῶν ἐκπορευομένων ἐκ τοῦ στόματος αὐτοῦ, κατευτελίζειν ἤθελον· ἔφασκον γὰρ, οὐχ' υἱός ἐστιν Ἰωσὴφ οὗτος; καὶ τί τοῦτο παραλύει τοῦ θαυματουργοῦ τὴν δόξαν; τί τὸ κωλύον αὐτὸν εἶναι σεπτόν τε καὶ ἐξιάστον; εἰ καὶ υἱὸς ἦν ὡς ἐνομίζετο τοῦ Ἰωσὴφ; οὐχ' ὁρᾷς τὰς θεοσημείας, πεσόντα τὸν σατανᾶν, νενικημένας τὰς τῶν δαιμονίων ἀγέλας, διαφόρων νοσημάτων ἐλευθέρους γεγονότας πολλοὺς; ἐπαινεῖς τὴν χάριν τὴν ἐνοῦσαν αὐτοῦ ταῖς διδασκαλίαις, εἶτα σμικρολογεῖς ἰουδαϊκῶς ὅτι πατέρα τὸν Ἰωσὴφ ἐπεγράφετο; ὦ πολλῆς ἀβουλίας· ἀληθὲς ἐπ' αὐτοῖς εἰπεῖν, ἰδοὺ λαὸς μωρὸς καὶ ἀκάρδιος· ὀφθαλμοὶ αὐτοῖς, καὶ οὐ βλέπουσιν· ὦτα αὐτοῖς, καὶ οὐκ ἀκούουσιν.

v. 23. Κοινὸς λόγος παρὰ ἰουδαίων ἦν, ἀστεισμοῦ χάριν ἐξευρημένος· τοῖς γὰρ ἀῤῥωστοῦσι τῶν ἰατρῶν ἐπεφώνουν τινὲς, ἰατρὲ θεράπευσον σεαυτόν· ἴσως τοίνυν, φησὶ, πολλὰ βούλεσθε παρ' ἐμοῦ γενέσθαι σημεῖα παρ' ὑμῖν, μάλιστα παρ' οἷς καὶ ἐτράφην· ἀλλ' οἶδα τὸ κοινὸν δή που καὶ ἅπασι συμβαῖνον πάθος· καταφρονεῖται γάρ πως ἀεὶ καὶ τὰ ἐξαίρετα τῶν πραγμάτων, ὅταν μὴ σπανίζῃ παρά τισιν, ἀλλ' ἔχωσιν ἐπ' ἀδείας

αὐτὰ· οὕτω καὶ ἐπ' ἀνθρώπων· ὁ γὰρ συνήθης IV.
καὶ παρὼν ἀεὶ, καὶ τῆς ὀφειλομένης αὐτῷ τι-
μῆς ἀποστερεῖται πολλάκις παρὰ τῶν εἰδότων
αὐτόν.

Ἤλεγξε μὲν οὖν αὐτοὺς ἀσυνέτως τὰ τοιά-
δε λέγοντας, οὐχ' ὁ υἱός ἐστι τοῦ Ἰωσὴφ οὗ-
τος; πλὴν, ἔχεται τοῦ σκοποῦ τῆς μυσταγω-
γίας, καὶ φησίν.

Ἐπειδὴ γὰρ, ὡς ἔφην, τὰς περὶ αὐτοῦ προ- v. 26.
φητείας εἰς τέλος ἦχθαι, διεβεβαιοῦντο τινὲς p. 78. b.
τῶν Ἰουδαίων, ἢ ἐπὶ προφήταις ἁγίοις, ἢ ἐπί
τισι τῶν ἐνδόξων παρ' αὐτοῖς γεγονότων, ἀπο-
φέρει χρησίμως αὐτοὺς τῆς τοιαύτης ὑπονοίας,
πρὸς μίαν χήραν ἀπεσταλθαι Ἠλίαν εἰπὼν, ἕνα
δὲ θεραπεῦσαι λεπρὸν τὸν προφήτην Ἐλισσαῖον,
Νεεμὰν τὸν σύρον· διὰ τούτων, τὴν ἐξ ἐθνῶν ση-
μαίνων ἐκκλησίαν, τὴν μέλλουσαν αὐτὸν ὑπο-
δέχεσθαι, καὶ τῆς λέπρας ἐλευθεροῦσθαι, διὰ
τὴν ἀναισθησίαν τοῦ Ἰσραήλ.

Ἐπειδὴ τὴν πονηρὰν αὐτῶν γνώμην ἔστιξε, v. 28.
p. 80. a.
διὰ τοῦτο πρὸς ὀργὰς ἀνεκαίοντο· καὶ διὰ τὸ
εἰπεῖν, σήμερον ἡ γραφὴ αὕτη πεπλήρωται, ἡ
λέγουσα πνεῦμα κυρίου ἐπ' ἐμὲ, καὶ τὰ ἑξῆς·
ἐνόμισαν γὰρ αὐτὸν ἐξισοῦν ἑαυτὸν τοῖς προφή-
ταις, καὶ τῆς πόλεως αὐτὸν ἐκβάλλουσι· καθ'
ἑαυτῶν μᾶλλον τὴν δίκην ὁρίζοντες, καὶ βε-
βαιοῦντες τὸ ὑπὸ τοῦ σωτῆρος εἰρημένον· ἐκπε-

IV. πτώκασι γὰρ αὐτοὶ τῆς ἄνω πόλεως, τὸν Χριστὸν μὴ προσδεξάμενοι· ἵνα δὲ μὴ μόνον ἐλέγξῃ δυσσεβήσαντας μέχρις ἐπιχειρημάτων, συγκεχώρηκε προελθεῖν τὰ καθ' ἑαυτοῦ τολμήματα· τῶν μὲν γὰρ ἄκριτος ἦν ἡ ὁρμὴ, καὶ ὁ φθόνος ἀτίθασσος· μέχρι γοῦν ὀφρύος τοῦ ὄρους ἀποκομίζοντες, κρημνῶν ἐνιέναι ἐπεχείρουν· ὁ δὲ διεξῄει διὰ μέσου αὐτῶν· οὐδ' ὅσον εἰπεῖν λόγον τινὰ θέμενος τῆς ἐπιβουλῆς αὐτῶν· οὐ τὸ παθεῖν φεύγων, διὰ τοῦτο γὰρ καὶ ἐλήλυθεν, ἀλλὰ καιρὸν ἀναμένων ἐπιτήδειον· ἀρχὴ γὰρ νῦν τοῦ κηρύγματος, καὶ ἄκαιρον ἦν τὸ παθεῖν, πρὶν ἢ κηρύξαι τὸν λόγον τῆς ἀληθείας· ἦν γὰρ ἐπ' αὐτῷ τὸ παθεῖν καὶ τὸ μὴ παθεῖν, καὶ κύριος ἦν τῶν καιρῶν καὶ τῶν πραγμάτων· τοῦτο τεκμήριον τοῦ, καὶ ὅτε ἔπαθεν ἔκοντα πεπονθέναι, καὶ ὡς οὐκ ἂν ἔπαθεν, εἰ μὴ ἑαυτὸν ἐπέδωκεν.

v. 31. p. 80. b. Οὓς οὐ μεθίστησι λόγος πρὸς τὸ εἰδέναι σαφῶς τίς ὁ φύσει καὶ ἀληθῶς ἐστὶ θεὸς καὶ κύριος, τούτους σαγηνεύει πρὸς τὸ εὐήνιον, ἡ τῶν σημείων ἐπίδειξις· χρησίμως οὖν καὶ ἀναγκαίως προσεπάγει πολλάκις ταῖς μυσταγωγίαις τὰς μεγαλουργίας· ἄπιστοι μὲν γὰρ οἱ τῆς Ἰουδαίας οἰκήτορες, καὶ τοὺς τῶν καλούντων εἰς σωτηρίαν ἀτιμάζοντες λόγους· μάλιστα δὲ πάντων οἱ ἀπὸ τῆς Καπερναοὺμ· ἠτιᾶτο γοῦν αὐτὴν ὁ

κύριος λέγων· καὶ σὺ Καφερναοὺμ, ἡ ἕως οὐ- IV.
ρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου καταβιβασθήσῃ· ἀλ-
λὰ καί τοι γινώσκων ὡς ἀπειθεῖς τε καὶ σκλη-
ροκάρδιοι, προσέβαλε μὲν αὐτοῖς ὥσπερ ἰατρὸς
ἄριστος τοῖς εἰς ἐσχάτην πεσοῦσι νόσον· πειρᾶ-
ται δὲ ἀπαλλάττειν τοῦ κακοῦ· φησὶ γὰρ αὐτὸς,
ὅτι οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ,
ἀλλ' οἱ κακῶν ἔχοντες· ἐδίδασκε τοίνυν ἐν συ-
ναγωγαῖς ἐν πολλῇ παῤῥησίᾳ· τοῦτο γὰρ καὶ διὰ
φωνῆς Ἡσαΐου προηγόρευσεν λέγων· οὐκ ἐν κρυ-
φῇ λελάληκα, οὐδ' ἐν τόπῳ γῆς σκοτεινῷ· ἀλ-
λὰ καὶ τοῖς ἁγίοις ἀποστόλοις ἐν παῤῥησίᾳ πολ-
λῇ τοὺς περὶ αὐτοῦ ποιεῖσθαι λόγους προσ-
έταττε, λέγων· ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ, εἴ-
πατε ἐν τῷ φωτὶ, καὶ ὃ εἰς τὸ οὖς ἀκούετε,
κηρύξατε ἐπὶ τῶν δωμάτων· καὶ ἐν σαββάτῳ ὅτε
ἤργουν, διελέγετο αὐτοῖς· τεθαυμάκασι τοίνυν
τῆς μυσταγωγίας τὴν δύναμιν, καὶ τὸ τῆς ἐξου-
σίας μέγεθος· ἦν γὰρ ἐν ἐξουσίᾳ, φησὶν, ὁ λό-
γος, οὐ κωλυτικὸς ἀλλὰ προτρεπτικὸς εἰς σω-
τηρίαν· ἰουδαῖοι μὲν γὰρ οὐδὲν ἕτερον ἐνόμιζον
εἶναι Χριστὸν, πλὴν ὅτι καθ' ἕνα τῶν ἁγίων,
καὶ ἐν τάξει προφήτου παρελθεῖν εἰς μέσον· ἵνα
δὲ μείζονα τὴν παρ' αὐτοῦ δόξαν τε καὶ ὑπό-
νοιαν ἔχωσι, τὸ προφητικὸν ἐμβαίνει μέτρον· οὐ
γὰρ εἴρηκέ ποτε, τάδε λέγει κύριος, καθάπερ
ἀμέλει κἀκείνοις ἦν ἔθος, ἀλλ' ὡς τοῦ νόμου

IV. κύριος, τὰ ὑπὲρ νόμον ἐλάλει· ἔλεγε γοῦν ὁ θεὸς διὰ Ἡσαΐου· καὶ διαθήσομαι ὑμῖν διαθήκην αἰώνιον, τὰ ὅσια Δαβὶδ τὰ πιστά· ἰδοὺ μαρτύριον ἐν ἔθνεσι δέδωκα αὐτὸν, ἄρχοντα καὶ προστάσσοντα ἔθνεσιν· ἔδει γὰρ οἰκέτην μὲν ὄντα Μωϋσέα, τῆς μὴ μενούσης σκιᾶς γενέσθαι διάκονον, ἐξαγγελέα δὲ τῆς διηνεκοῦς καὶ μενούσης λατρείας τὸν αἰώνιον, φημὶ δὴ τὸν Χριστὸν· τίς δὲ ἡ αἰώνιος διαθήκη; τὰ ἱερὰ θεσπίσματα τοῦ ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα Χριστοῦ· τὰ ὁσιουργὰ καὶ πιστοποιὰ, καθάπερ καὶ ὁ τοῦ θεοῦ φόβος, ἁγνὸς ὡς ἁγνοποιὸς· καὶ τὸ εὐαγγελικὸν ῥῆμα, ζωὴ, ὡς ζωοποιόν· τὰ ῥήματα γάρ φησι ἃ ἐγὼ ἐλάλησα ὑμῖν, πνεῦμα ἐστὶ καὶ ζωὴ· τουτέστι πνευματικὰ καὶ ζωοποιά· πλὴν ἄθρει τῆς προφητείας τὸ ἀκριβὲς· εἰπὼν Ἡσαΐας ὡς ἐκ προσώπου τοῦ θεοῦ καὶ πατρὸς περὶ τοῦ Χριστοῦ, ὅτι ἰδοὺ μαρτύριον τοῖς ἔθνεσι δέδωκα αὐτὸν, διαμαρτυρούμενον ὥσπερ ὡς δεκτὰ καὶ ταῦτα γεγόνασι, ἵνα μή τις ἕνα τῶν ἁγίων προφητῶν ὑπάρχειν αὐτὸν ὑποτοπήσειεν, εἰδείη δὲ μᾶλλον πᾶς ὁστισοῦν, ὡς τῇ τῆς κυριότητος διαπρέπει δόξῃ, θεὸς γὰρ ὢν ἐπέφανεν ἡμῖν, οὐ μόνον αὐτὸν μαρτύριαν δεδόσθαι φησὶν, ἀλλὰ γὰρ καὶ ἄρχοντα καὶ προστάσσοντα ἔθνεσιν· οἱ μὲν μακάριοι προφῆται, καὶ πρὸ αὐτῶν ἔτι Μωϋσῆς, μέτρον ἔχοντες τὸ

οἰκετικὸν, τὸ τάδε λέγει κύριος, ἐπεφώνουν ἀεὶ IV.
τοῖς ἀκροωμένοις· οὐχ' ὡς προστάσσοντες μᾶλλον, ἀλλ' ὡς θείαις διακονοῦντες φωναῖς· ὁ δέ γε κύριος ἡμῶν Ἰησοῦς Χριστὸς θεοπρεπεστάτους ἐποιεῖτο λόγους· ἐθαυμάζετο γοῦν καὶ παρ' αὐτοῖς τοῖς ἰουδαίοις, ὡς ἐν ἐξουσίᾳ ἦν ὁ λόγος αὐτοῦ, καὶ ὡς ἐδίδασκεν αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ' ὡς οἱ γραμματεῖς αὐτῶν· οὐ γὰρ ἦν ὁ λόγος αὐτῷ τῆς τοῦ νόμου σκιᾶς, ἀλλ' ὡς αὐτὸς ὢν ὁ νομοθέτης, μετέτιθει τὸ γράμμα πρὸς ἀλήθειαν, καὶ τοὺς τύπους εἰς ἐμφάνειαν τὴν πνευματικήν· ἄρχων γὰρ ἦν, καὶ τοῦ προστάττειν ταύτην ἔχων τὴν ἐξουσίαν.

Καὶ μετ' ἐξουσίας τῆς θεοπρεποῦς τοῖς ἀκα- v. 33.
θάρτοις ἐπετίμα πνεύμασιν· ἵνα γοῦν μὴ ἀπιστῶμεν, γείτονα τοῖς λόγοις ἐποιεῖτο τὴν θεοσημείαν.

Εἴδομεν ἐν τῇ ἐρήμῳ νενικημένον παρ' αὐτοῦ τὸν ἀλιτήριον σατανᾶν, καὶ τρισὶ καταῤῥαγέντα πτώμασιν· εἴδομεν αὐτοῦ πάλιν κατασειομένην τὴν δύναμιν, καὶ πίπτουσαν τὴν καθ' ἡμῶν ἐξουσίαν, εἴδομεν ἑαυτοὺς ὡς ἐν ἀπαρχῇ τῷ Χριστῷ τοῖς πονηροῖς ἐπιπλήττοντας πνεύμασιν· ὡς γὰρ καὶ τοῦτο πρὸς καύχημα βλέπει τῆς ἀνθρωπείας φύσεως, ἐξ αὐτῶν μαθήσῃ τῶν τοῦ σωτῆρος ῥημάτων· κατεψεύδοντο μὲν γὰρ ἰουδαῖοι τῆς δόξης αὐτοῦ, καὶ δὴ καὶ ἔφασκον· οὖ-

IV. τος οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν Βεελ-
ζεβοὺλ ἄρχοντα τῶν δαιμονίων· εἶτα πρὸς αὐ-
τοὺς πλεῖστά τε ὅσα καὶ ἀναγκαῖα προειρηκὼς,
ὕστερον ἔφη· εἰ δὲ ἐγὼ ἐν πνεύματι θεοῦ ἐκ-
βάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ
βασιλεία τοῦ θεοῦ· εἰ γὰρ ἄνθρωπος γεγονὼς
καθ' ὑμᾶς, φησὶ, ἐν ἐξουσίᾳ καὶ βασιλείᾳ τῇ
θεοπρεπεῖ τοῖς ἀκαθάρτοις ἐπιπλήττω πνεύμα-
σιν, ἡ ὑμετέρα φύσις ἐστὶ τῇ τοιᾷδε δόξῃ στε-
φανουμένη· ὑμεῖς γὰρ ὁρᾶσθε δι' ἐμοῦ τε καὶ
ἐν ἐμοὶ τὴν τοῦ θεοῦ βασιλείαν καταπολουτή-
σαντες· ἠλαύνοντο τοίνυν τὰ πονηρὰ δαιμόνια,
καὶ δὴ καὶ πρὸς αἴσθησιν ἐνηνεγμένα τῆς ἀνι-
κήτου δυνάμεως αὐτοῦ, καὶ μὴ φέροντες τὰς
προσβολὰς τῆς θεότητος, τυραννικὸν καὶ πα-
νοῦργον ἀνεφθέγγοντο· ἔα, λέγοντα· τί ἡμῖν καὶ
σοὶ; τουτέστι· τί οὐκ ἐᾷς ἡμᾶς χώραν ἔχειν,
περιαιρῶν τῆς ἀσεβείας τὴν πλάνην; εἶτα εὐφη-
μειν ὑποκρίνονται, καὶ ἅγιον τοῦ θεοῦ καλοῦ-
σιν αὐτὸν· ᾠήθησαν γὰρ ὅτι διὰ τῆς τοιαύτης
εὐφημίας, κενῆς δόξης ἀποτελοῦσιν αὐτὸν ἐρα-
στὴν, καὶ ἀποσχέσθαι παρασκευάζουσι τοῦ ἐπι-
πλήττειν αὐτοῖς, οἷον ἀντὶ χάριτος διδόντα χά-
ριν· ἀλλ' οὐκ ἐπιτεύξεται δόλιος θήρας· θεὸς
γὰρ οὐ μυκτηρίζεται, ἀποφράττει δὲ αὐτῶν τὰς
ἀκαθάρτους γλώσσας ὁ κύριος· εἶτα προστάττει
τῶν ἐχόντων ἀποφοιτᾶν· οἱ δὲ τῶν οὕτω μεγά-

λων θεωροὶ γεγονότες, καταπλήττονται τοῦ λό- IV.
γου τὴν ἐξουσίαν· οὐ γὰρ εὐχὴν ἀνατείνων, ἢ
γοῦν παρ' ἑτέρου τὸ δύνασθαι κατορθοῦν αἰτή-
σας πώποτε, τὰς θεοσημείας ἐπλήρου, ἀλλ' αὐ-
τὸς ὢν ὁ λόγος τοῦ θεοῦ καὶ πατρὸς, ὁ ζῶν
τε καὶ ἐνεργὴς, καὶ δι' οὗ τὰ πάντα, καὶ ἐν
ᾧ τὰ πάντα, ἐκεῖνος ἦν ὁ συντρίβων τὸν σατα-
νᾶν, καὶ τῶν ἀκαθάρτων δαίμονων ἀποφράττων
τὸ βέβηλον στόμα.

Θέασαι τοίνυν, πῶς κατέλυσε παρ' ἑνὶ τῶν v. 38.
μαθητῶν, ἀνθρώπῳ πένητι καὶ ἀσήμῳ κατὰ τὸν p. 81. a.
βίον, ὁ τὴν ἑκούσιον δι' ἡμᾶς ὑπομείνας πτω-
χείαν, ἵν' ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσω-
μεν, καὶ μάθωμεν τοῖς ταπεινοῖς συναπάγεσθαι,
καὶ μὴ καταπαίρεσθαί τῶν ἐν ἐνδείᾳ καὶ θλίψει.

Ἵνα μάθωμεν ὡς καί τοι καθ' ἡμᾶς γεγο- p. 81. b.
νὼς ὁ μονογενὴς τοῦ θεοῦ λόγος, οὐδὲν ἧττον
ἐστὶ καὶ οὕτω θεὸς, πάντα πληρῶν εὐκόλως καὶ
διὰ τῆς οἰκείας σαρκὸς· εἰργάζετο γὰρ καὶ δι'
αὐτῆς τὰ παράδοξα· καὶ μὴ σφόδρα θαυμάσῃς,
διαλογίζου δὲ μᾶλλον ὡς καὶ ἐν σκεύει χαλ-
κῷ γεγονὸς τὸ πῦρ, τῆς ἰδίας αὐτῷ θερμότη-
τος ἐντίθησι τὴν ἐνέργειαν· οὕτω τοίνυν καὶ ὁ
παναλκὴς τοῦ θεοῦ λόγος, ἑνώσας ἑαυτῷ κατὰ
ἀλήθειαν, ἔμψυχόν τε καὶ ἔννουν τὸν ἐκ τῆς
ἁγίας παρθένου ναὸν, τῆς ἰδίας αὐτῷ καὶ θεο-
πρεποῦς ἰσχύος ἐνεφύτευσε τὴν ἐνέργειαν· καὶ

IV. γοῦν Ἰουδαίους ἐκδυσωπῶν, εἰ οὐ ποιῶ φησὶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις μου πιστεύετε· ἔτι τοίνυν ἰδεῖν μαρτυρούσης ἀληθείας αὐτῆς, ὡς οὐχ' ὡς ἀνθρώπῳ παρ' ἑαυτὸν ἀνὰ μέρος ὄντι καὶ νοουμένῳ τῷ ἐκ γυναικὸς, τὴν ἰδίαν ἔδωκε δόξαν ὁ μονογενὴς· ἀλλ' ὡς εἷς ὑπάρχων υἱὸς, μετὰ τοῦ ἑνωθέντος αὐτῷ ἁγίου σώματος, εἰργάζετο τὰς θεοσημείας· προσκυνεῖται δὲ καὶ παρὰ τῆς κτίσεως, ὡς θεὸς· καὶ γοῦν εἰσῆλθε μὲν εἰς τὴν οἰκίαν Πέτρου· ἐπειδὴ γύναιον ἐπὶ κλίνης ἔῤῥιπτο, λάβρῳ πυρετῷ δαπανώμενον, καί τοι δυνάμενος εἰπεῖν ὡς θεὸς, ἀπόθου τὴν νόσον, ἀνάστηθι, τοῦτο μὲν οὐ πεποίηκεν· ἐνεργὸν δὲ πρὸς θεραπείαν ἀποφαίνων τὴν ἑαυτοῦ σάρκα, θεοῦ γὰρ ἦν σὰρξ, ἥψατο τῆς χειρὸς αὐτῆς, καὶ παραχρῆμα, φησὶ, ἀφῆκεν αὐτὴν ὁ πυρετός.

Ἀλλ' ὑποδεξώμεθα καὶ ἡμεῖς τὸν Ἰησοῦν· ὅταν γὰρ εἰσβάλῃ καὶ ἐν ἡμῖν, καὶ ἔχωμεν αὐτὸν εἰς νοῦν καὶ καρδίαν, τότε τῶν ἐκτόπων ἡδονῶν τὴν πύρωσιν ἀποσβέσει, ἐγερεῖ δὲ καὶ εὐρώστους ἀποφανεῖ, πνευματικῶς δηλονότι, ὥστε καὶ ὑπηρετεῖν αὐτῷ, τουτέστι τὰ δοκοῦντα αὐτῷ πληροῦν.

v. 40. Ἄθρει δέ μοι πάλιν ὅσην ἔχει τὴν ὠφέλειαν τῆς ἁγίας αὐτοῦ σαρκὸς ἐπαφή· ἐλαύνει γὰρ καὶ

ποικίλας νόσους, καὶ δαιμονίων ὄχλον, καὶ τὴν IV.
τοῦ διαβόλου δύναμιν καταστρέφει, καὶ τοσοῦτον δῆμον θεραπεύει ἐν μιᾷ καιροῦ ῥοπῇ· καί τοι γὰρ λόγῳ καὶ νεύματι πληροῦν δυνάμενος τὰς τεραΐουργίας, ἵνα τί ταῖς ἀνάγκαις διδάξῃ, καὶ τὰς χεῖρας ἐπιφέρει τοῖς οὖσιν ἐν ἀῤῥωστίαις· ἔδει γὰρ ἔδει μαθεῖν ἡμᾶς, ὅτι τῆς τοῦ λόγου δυνάμεως τὴν ἐνέργειαν πεφόρηκεν ἡ ἁγία σὰρξ, ἣν αὐτὸς ἰδίαν ἐποιήσατο, θεοπρεπῆ τὴν δύναμιν ἐμφυσήσας αὐτῇ· οὐκοῦν ἀπτέσθω καὶ ἡμῶν, μᾶλλον δὲ ἡμεῖς αὐτοῦ διὰ τῆς μυστικῆς εὐλογίας, ἵνα καὶ ἡμᾶς ἐλευθερώσῃ ψυχικῶν ἀῤῥωστημάτων, καὶ τῆς τῶν δαιμονίων ἐφόδου καὶ πλεονεξίας.

Οὐκ ἠφίει τοὺς ἀκαθάρτους δαίμονας ὁμο- v. 41.
λογεῖν αὐτὸν· οὐ γὰρ ἔδει τῆς ἀποστολικῆς λειτουργίας τὴν δόξαν ἁρπάζειν αὐτούς· ἀλλ' οὔτε ἔδει ἐξ ἀκαθάρτου γλώττης λαλεῖσθαι τοῦ Χριστοῦ μυστήριον· ὥστε κἂν λέγωσί τι τῶν ἀληθῶν, πιστεύετω μηδείς· οὐ γὰρ διὰ σκότους τὸ φῶς γινώσκεται· καὶ τοῦτο διδάξει λέγων ὁ Χριστοῦ μαθητής· τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; ἢ τίς συμφώνησις Χριστῷ πρὸς Βελίαρ;

CAP. V.

V. Θαυμάσωμεν τῆς οἰκονομίας τὸ εὔτεχνον, τὸ
v. 4. ἐπί γε τῇ θήρᾳ τῶν τεθηρευκότων τὴν ὑπ' οὐ-
p. 82a. b. ρανὸν, φημὶ δὴ τῶν ἁγίων ἀποστόλων, οἱ καὶ ἁλιεύειν εἰδότες, ὑπὸ τοῦ Χριστοῦ γεγόνασι λῖνον· ἵνα καὶ αὐτοὶ τὴν τῶν εὐαγγελικῶν κηρυγμάτων σαγήνην χαλάσαντες, προσκομίσωσιν αὐτῷ τοὺς κατὰ πᾶσαν τὴν γῆν· καὶ γοῦν ἔφη που δι' ἑνὸς τῶν ἁγίων προφητῶν· ἰδοὺ ἐγὼ ἀποστέλλω ἁλιεῖς πολλοὺς, λέγει κύριος, καὶ ἁλιεύσουσιν αὐτούς· καὶ μετὰ ταῦτα· ἀποστελῶ πολλοὺς θηρευτὰς, καὶ θηρεύσουσιν αὐτούς· καὶ τοὺς μὲν ἁλιεῖς, τοὺς ἁγίους ἀποστόλους φησὶ, θηρευτὰς δὲ τοὺς κατὰ καιροὺς τῶν ἁγίων ἐκκλησιῶν ἡγουμένους τε καὶ μυσταγωγούς· σὺ δέ μοι σκόπει, ὡς οὐ κηρύττει μόνον, ἀλλὰ καὶ σημεῖα ἐπιδείκνυται, ἐνέχυρα τῆς αὐτοῦ παρέχων δυνάμεως, καὶ τῇ τῶν θαυμάτων ἐπιδείξει βεβαιῶν τὰ λεγόμενα· ἐπειδὴ γὰρ ἀρκούντως τοῖς ὄχλοις διείλεκται, τρέπεται πάλιν πρὸς τὴν συνήθη μεγαλουργίαν, καὶ διὰ τῶν ἁλιευτικῶν ἐπιτηδευμάτων ἁλιεύει τοὺς μαθητὰς· ἵν' εἰδεῖεν ὡς πανσθενὲς ἔχει τὸ θέλημα, καὶ τοῖς θεοπρεπεστάτοις αὐτοῦ νεύμασιν ἡ κτίσις ὑπηρετεῖ.

Καὶ γοῦν μετὰ τὴν αὐτάρκη διδασκαλίαν,

ἐπειδὴ καὶ ἔργον ἔδει θεῖον προσθεῖναι τοῖς λόγοις ἐπ' ὠφελείᾳ τῶν θεωμένων, προσέταξε τοῖς περὶ τὸν Σίμωνα, βραχὺ τῆς γῆς ἀποφέρεσθαι, καὶ καθεῖναι πρὸς ἄγραν τὸ δίκτυον· οἱ δὲ δι' ὅλης μὲν ἔφασκον κοπιάσαι νυκτὸς, λαβεῖν δὲ μηδὲν, πλὴν ἐν ὀνόματι τοῦ Χριστοῦ καθῆκαν τὸ λῖνον, καὶ μεστὸν εἶχον εὐθὺς τῶν τεθηρευμένων· ἵνα διὰ πράγματος ἐναργοῦς, καὶ ὡς ἐκ τύπου καὶ εἰκόνος, τοῦ παραδόξως τετελεσμένου, πληροφορηθῶσιν, ὡς οὐκ ἄμισθος ὁ πόνος αὐτῶν, οὔτε ἄκαρπος ἡ σπουδὴ ἣν ἂν ποιήσαιντο, τῆς εὐαγγελικῆς μυσταγωγίας τὸ λῖνον ἀπολώσαντες· ἀλλ' ἐν αὐτῷ πάντη τε καὶ πάντως, τὰς τῶν ἐθνῶν ἀγέλας συλλέξουσι· πλὴν ἐκεῖνο ἄθρει· οὐ γὰρ ἰσχύσαντες ἀνελκύσαι τὸ λῖνον Σίμων τε καὶ οἱ σὺν αὐτῷ, καὶ διὰ τοῦτο ἀπὸ τοῦ φόβου καὶ τῆς ἐκπλήξεως μὴ τολμῶντες λαλῆσαι, ἀπὸ γὰρ τοῦ θαυμάζειν, εἰς ἀφωνίαν περιέστησαν, κατένευσαν φησὶ τοῖς μετόχοις, δῆλον δὲ ὅτι τῶν ἁλιευτικῶν ἐπιτηδευμάτων· ὥστε συλλαβέσθαι αὐτοῖς, καὶ συνδιασῶσαι τὴν ἄγραν· πολλοὶ γὰρ τοῖς τῶν ἁγίων ἀποστόλων συνήραντο καὶ συναίρονται πόνοις, καὶ πρό γε τῶν ἄλλων, οἱ τὰς ἱερὰς ἡμῖν τῶν ἁγίων εὐαγγελίων ἀνερευνόντες γραφὰς, καὶ μετ' ἐκείνους ἕτεροι ποιμένες τε καὶ διδάσκαλοι, καὶ λαῶν ἡγούμενοι, καὶ τῶν τῆς ἀληθείας

v.

v. δογμάτων ἐπιστήμονες· ἀναφέρεται γὰρ ἔτι τὸ λῖνον, πληροῦντος αὐτὸ Χριστοῦ, καὶ καλοῦντος εἰς ἐπιστροφὴν τοὺς ἐν βυθοῖς θαλάσσης, κατὰ τὸ γεγραμμένον, τουτέστι τοὺς ἐν ζάλῃ καὶ κύμασιν ὄντας κοσμικοῖς.

v. 8. p. 83. a. Διὰ ταῦτα καὶ Πέτρος, ἐπειδὴ τῇ μνήμῃ τῶν πρότερων ἁμαρτημάτων προσέπεσε, τρέμει καὶ δέδοικε, καὶ ὡς ἄναγνος, τὸν καθαρὸν οὐ θαρρεῖ ὑποδέξασθαι, διὰ δειλίαν ἐπαινουμένην· ἔμαθε γὰρ κατὰ τὸν νόμον, ἀνὰ μέσον ἁγίου καὶ βεβήλου διαστέλλειν.

v. 12. p. 84. a. Πλὴν ἐπαίνου παντὸς ἀξία, τοῦ προσελθόντος ἡ πίστις· μεμαρτύρηκε γὰρ τὸ πάντα δύνασθαι κατορθοῦν τῷ Ἐμμανουὴλ, καὶ διὰ νευμάτων θεοπρεπῶν ἐλευθεροῦσθαι ζητεῖ, καί τοι τὸ πάθος οὐκ ἰάσιμον· οὐ γὰρ οἶδεν ἡ λέπρα ταῖς τῶν ἰατρῶν ἐμπειρίαις παραχωρεῖν· ἀλλὰ τεθέαμαι φησὶν ἐλαυνομένους ἐν ἐξουσίᾳ θεοπρεπεῖ τοὺς ἀκαθάρτους δαίμονας· νοσημάτων πολλῶν ἀπαλλαττομένους ἑτέρους· συνῆκα ὡς θείᾳ τινὶ καὶ ἀμάχῳ χειρὶ τὰ τοιαῦτα γίνεται· ὁρῶ δὲ πρὸς τούτῳ, χρηστὸν ὄντα καὶ ἑτοιμότατον, κατοικτείροντα τοὺς προσιόντας αὐτῷ· τί τοίνυν τὸ κωλύον ἐλεεῖσθαι κἀμὲ; καὶ τί πρὸς ταῦτα Χριστὸς; βεβαιοῖ ἐν αὐτῷ τὴν πίστιν, καὶ τὴν ἐπ' αὐτῷ· δὲ τούτῳ πληροφορίαν ἐργάζεται· δέχεται γὰρ τὴν αἴτησιν, καὶ ὁμολογεῖ

τὸ δύνασθαι, καὶ φησὶ· θέλω, καθαρίσθητι· χα- v.
ρίζεται δὲ αὐτῷ καὶ ἁφὴν τῆς ἁγίας αὐτοῦ καὶ
πανσθενεστάτης χειρὸς, καὶ εὐθέως ἀπῆλθεν ἀπ'
αὐτοῦ ἡ λέπρα, καὶ τὸ πάθος ἦν ἐκποδών.

Σὺ δέ μοι θαύμασον ἐν τούτοις, θεϊκῶς τε v. 13.
ἅμα καὶ σωματικῶς ἐνεργοῦντα Χριστόν· θεϊ- p. 84. b.
κὸν μὲν γὰρ τὸ θέλειν οὕτως, ὡς παρίστασθαι
αὐτῷ πάντα ὅσα ἠθέλησεν· ἀνθρώπινον δὲ τὸ
ἐκτεῖναι τὴν χεῖρα· εἰς οὖν ἐξ ἀμφοῖν νοεῖται
Χριστὸς, εἰ καὶ γέγονε σὰρξ ὁ λόγος.

Τί δήποτε; ἵνα μάθωσιν ἐντεῦθεν οἱ τὴν τῶν v. 14.
ἰαμάτων χάριν παρὰ θεοῦ δεχόμενοι, μὴ τὰς
παρὰ τῶν θεραπευομένων εὐφημίας αἰτεῖν· μήτε
μὴν τοὺς παρά τινων ἐπαίνους, ἵνα μὴ εἰς ὑπερ-
οψίαν ἐκπέσοιεν, τὸ πάντων τῶν κακῶν αἴσχι-
στον πάθος· καὶ καθ' ἕτερον δὲ τρόπον, καὶ
σιωπῶντος τοῦ λεπροῦ, ἥρκει καὶ αὐτὴ τοῦ θε-
ραπεύσαντος δύναμις.

Οἰκονομικῶς ἐφίησι προσάγειν τὸ δῶρον τῷ
λεπρῷ κατὰ τὸν Μωϋσέως νόμον τοῖς ἱερεῦσιν·
ἤθελε μὲν γὰρ ὁμολογουμένως μετασῆσαι τὴν
σκιὰν, καὶ μεταπλάσαι τοὺς τύπους, εἰς πνευ-
ματικὴν λατρείαν· ἀλλ' ἐπειδὴ μήπω πιστεύ-
σαντες εἰς αὐτὸν Ἰουδαῖοι προσέκειντο ταῖς Μωϋ-
σέως ἐντολαῖς, ὡς ἔτι τῶν ἀρχαίων ἐθῶν ἰσχυόν-
των, ἐπιτρέπει τῷ λεπρῷ τοῦτο ποιεῖν εἰς μαρ-
τύριον αὐτῶν· καὶ τί δὴ τοῦτό ἐστι; πρόφασιν

ν. ἀεὶ ποιούμενοι τὴν εἰς τὸν νόμον αἰδῶ, καὶ διάκονον τῆς ἄνωθεν ἐντολῆς γεγενῆσθαι λέγοντες τὸν ἱεροφάντην Μωϋσέα, μικρὰ φρονεῖν ἐσπούδαζον περὶ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ· καὶ γοῦν ἔφασκον ἐναργῶς, ἡμεῖς οἴδαμεν ὡς Μωϋσεῖ λελάληκεν ὁ Θεὸς· τοῦτον δὲ, οὐκ οἴδαμεν πόθεν ἐστὶν· ἔδει τοίνυν αὐτοὺς ἐξ αὐτῶν ἀναπείθεσθαι τῶν πραγμάτων· ὅτι τὸ Μωϋσέως μέτρον, κατόπιν ἔρχεται τῆς δόξης τοῦ Χριστοῦ· ὁ μὲν γὰρ ἦν ὡς θεράπων πιστὸς, ἐπὶ τὸν οἶκον αὐτοῦ· ὁ δὲ ὡς υἱὸς, ἐπὶ τὸν οἶκον τοῦ πατρὸς, καὶ ἐξ αὐτοῦ καὶ τοῦ θεραπεῦσαι τὸν λεπρὸν ἔξεστιν ἰδεῖν, καὶ μάλα σαφῶς ἐν ἀπαραβλήτοις ὑπεροχαῖς τῶν Μωϋσέως νόμων, ὄντα Χριστὸν· ἐλεπρώθη μὲν γὰρ ἡ Μαριὰμ, ἀδελφὴ δὲ Μωϋσέως αὕτη, καὶ ἐλάλησε γὰρ αὐτοῦ, καὶ καὶ ἐδάκνετο μὲν λίαν ἐπὶ τούτῳ Μωϋσῆς· ἐπειδὴ δὲ οὐκ ἦν ἱκανὸς ἀποστῆσαι τοῦ γυναίου τὴν νόσον, προσέπιπτε τῷ Θεῷ λέγων· ὁ θεὸς δέομαί σου· ἴασαι ταύτην· πρόσχες τοίνυν ἀκριβῶς· αἴτησις ἦν ἐκεῖ, διὰ προσευχῆς, τῆς ἄνωθεν ἡμερότητος ἠξίου τυχεῖν· ὁ δέ γε τῶν ὅλων σωτὴρ μετ' ἐξουσίας ἔφη τῆς θεοπρεποῦς, θέλω καθαρίσθητι· οὐκοῦν μαρτύριον τοῖς ἱερεῦσιν ἦν ἡ τῆς λέπρας ἀποβολὴ, καὶ ἦν ἐντεῦθεν εἰδέναι, τοὺς τὴν κρείττονα ψῆφον ἀπονέμοντας τῷ Μωϋσεῖ, ὅτι τῆς ἀληθείας ἔξω

βαδίζουσιν· ἔδει γὰρ ἔδει, Μωϋσέα μὲν θαυμά- v.
ζειν ὡς νόμου διάκονον, καὶ χάριτος ὑπουργὸν
λαληθείσης δι' ἀγγέλων, ὑπερθαυμάζειν δὲ τὸν
Ἐμμανουὴλ, καὶ δοξολογεῖν αὐτὸν ὡς υἱὸν ἀλη-
θινὸν τοῦ θεοῦ καὶ πατρός.

Ἴδοι δ' ἄν τις τὸ κατὰ Χριστὸν βαθὺ καὶ p. 85. a.
μέγα μυστήριον, ἐν τῷ λευϊτικῷ ἡμῖν γραφό-
μενον· μεμολυσμένον μὲν γὰρ ἀποφαίνει τὸν λε-
πρὸν ὁ διὰ Μωϋσέως νόμος· ἐκπέμπεσθαι δὲ
προστέταχε τῆς παρεμβολῆς, ὡς ἀκάθαρτον· ὅτε
δὲ συμβαίνοι καταλωφῆσαι τὸ πάθος, τότε δὴ
τότε παραδεκτὸν γενέσθαι κελεύει· εἶτα καὶ τίνα
τρόπον ἔσται καθαρὸς, διασαφεῖ λέγων· οὗτος
ὁ νόμος τοῦ λεπροῦ· ἢ ἂν ἡμέρᾳ καθαρισθῇ,
καὶ προσαχθήσεται πρὸς τὸν ἱερέα, καὶ ἐξε-
λεύσεται ὁ ἱερεὺς ἔξω τῆς παρεμβολῆς, καὶ
ὄψεται ὁ ἱερεὺς, καὶ ἰδοὺ ἴαται ἡ ἁφὴ τῆς λέ-
πρας ἀπὸ τοῦ λεπροῦ· καὶ προσάξει ὁ ἱερεὺς,
καὶ λήψονται τῷ κεκαθαρμένῳ δύο ὀρνίθια ζῶν-
τα καθαρὰ, καὶ προστάξει ὁ ἱερεὺς· καὶ σφά-
ξουσι τὸν ἕν, εἰς ἀγγεῖον ὀστράκινον ἐφ' ὕδα-
τι ζῶντι, καὶ τὸ ὀρνίθιον τὸ ζῶν λήψεται αὐ-
τὸ, καὶ βάψει εἰς τὸ αἷμα τοῦ ὀρνιθίου τοῦ
σφαγέντος ἐφ' ὕδατι ζῶντι, καὶ περιῤῥανεῖ ἐπὶ
τὸν καθαρισθέντα ἀπὸ τῆς λέπρας ἑπτάκις, καὶ
καθαρισθήσεται· καὶ ἐξαποστελεῖ τὸ ὀρνίθιον
τὸ ζῶν, εἰς τὸ πεδίον· δύο μὲν οὖν τὰ πτηνὰ

ν. καὶ ἀκίβδηλα, τουτέστι καθαρὰ, καὶ μηδὲ μίαν ἔχοντα διαβολὴν τὴν ἀπὸ τοῦ νόμου· καὶ τὸ μὲν ἓν, ἐσφάζετο ἐφ' ὕδατι ζῶντι· τό γε μὴν ἕτερον μένον ἔξω σφαγῆς, εἶτα βαπτισθὲν ἐν τῷ αἵματι τοῦ τεθελευκότος, ἐξεπέμπετο· ὑπεμφαίνει δ' ἂν ὁ τύπος ἡμῖν τὸ μέγα καὶ σεπτὸν τοῦ σωτῆρος ἡμῶν μυστήριον· ἦν μὲν γὰρ ἄνωθεν, τουτέστιν ἐκ τοῦ πατρὸς καὶ ἐξ οὐρανῶν, ὁ λόγος· ταύτῃ τοι, καὶ μάλα εἰκότως πτηνῷ παρεικάζεται· καταπεφοίτηκε δὲ οἰκονομικῶς, εἰς ὁμοίωσιν τὴν πρὸς ἡμᾶς, καὶ ἔλαβε δούλου μορφὴν· πλὴν καὶ οὕτως ἄνωθεν ἦν· καὶ δ' οὖν ἔφασκεν Ἰουδαίοις ἐναργῶς προσλαλῶν, ὑμεῖς ἐκ τῶν κάτω ἐστὲ· ἐγὼ ἐκ τῶν ἄνω εἰμὶ· ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου· καὶ πάλιν· οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ὁ υἱὸς τοῦ ἀνθρώπου· ὡς γὰρ ἔφην ἀρτίως καὶ σὰρξ γεγονὼς, ἤγουν τέλειος ἄνθρωπος, οὐ γήϊνος ἦν, οὐ χοϊκὸς καθ' ἡμᾶς, ἀλλ' οὐράνιος καὶ ὑπερκόσμιος καθὸ νοεῖται θεὸς· πλὴν ἔστιν ἰδεῖν ἐν τοῖς ὀρνιθίοις, σαρκὶ μὲν παθόντα κατὰ τὰς γραφὰς, μείναντα δὲ καὶ ἐπέκεινα τοῦ παθεῖν· καὶ ἀποθνήσκοντα μὲν ἀνθρωπίνως, ζῶντα δὲ θεϊκῶς· ζωὴ γὰρ ὁ λόγος· καὶ γοῦν ὁ πάνσοφος μαθητὴς, θανατωθῆναι μὲν αὐτὸν ἔφη σαρκὶ· ζωοποιηθῆναι δὲ πνεύματι· πλὴν εἰ καὶ τοῦ παθεῖν τὸν θάνατον

εἰς ἰδίαν φύσιν ἄμοιρος ἦν ὁ λόγος· ἀλλ' οὖν v.
οἰκειοῦται τὸ πάθος τῆς ἑαυτοῦ σαρκὸς· ἐβαπτίζετο γὰρ τὸ ὀρνίθιον τὸ ζῶν ἐν τῷ αἵματι· μόνον δὲ οὐχὶ καὶ κοινωνῆσαν τοῦ πάθους, εἰς τὴν ἔρημον ἐξεπέμπετο· ἀναπεφοίτηκε γὰρ ἐν τοῖς οὐρανοῖς ὁ μονογενὴς τοῦ θεοῦ λόγος, μετὰ τῆς ἐνωθείσης αὐτῷ σαρκὸς· καὶ ξένον ἦν ἐν οὐρανοῖς τὸ θέαμα· κατεπλήττετο γοῦν ἡ τῶν ἀγγέλων πληθὺς, ἐν εἴδει βλέπουσα τῷ καθ' ἡμᾶς, τὸν βασιλέα τῆς Γῆς, καὶ τῶν δυνάμεων κύριον· καὶ δὴ καὶ ἔφασκον· τίς οὗτος ὁ παραγινόμενος ἐξ Ἐδὼμ; τουτέστιν ἐκ γῆς· ἐρυθήμα ἱματίων αὐτοῦ ἐκ Βοσὸρ· διερμηνεύεται δὲ σὰρξ, ἤτοι συνοχὴ καὶ θλίψις· εἶτα τούτοις προσεπυνθάνοντο· τοιαῦται αἱ πληγαὶ αἱ ἀνὰ μέσον τῶν χειρῶν σου; ὁ δὲ πρὸς αὐτούς· ἃς ἐπλήγην ἐν τῷ οἴκῳ τοῦ ἀγαπητοῦ μου· ὥσπερ γὰρ ἀπιστήσαντι τῷ Θωμᾷ, οἰκονομικώτατα λίαν καὶ μετὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν ἐπιδεικνὺς τὰς χεῖρας, καὶ τοὺς ἐν αὐταῖς τῶν ἥλων τύπους ἐκέλευε ψηλαφᾶν καὶ τὰς ἐν τῇ πλευρᾷ διατρήσεις, οὕτω καὶ ἐν τῷ οὐρανῷ γεγονὼς, πεπληροφόρηκε τοὺς ἁγίους ἀγγέλους ὡς δικαίως τῆς πρὸς αὐτὸν οἰκειότητος ἐκβέβληται, καὶ ἀπώλισθεν ὁ Ἰσραὴλ· διὰ τοῦτο πεφυρμένον ἐν αἵματι τὸ ἄμφιον, καὶ τὰς ἐν χρεσὶν ἐπεδείκνυτο πληγὰς, οὐκ ἀναπεπτωκότους ἔχων

ν. αὐτὰς· ἐγηγερμένος γὰρ ἐκ νεκρῶν, ἀπεδύσατο τὴν φθορὰν, καὶ σὺν αὐτῇ πάντα τὰ ἐξ αὐτῆς· ἀλλ' ἵνα οἰκονομικῶς νῦν γνωρισθῇ ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ θεοῦ, ἣν ἐποίησεν ἐν τῷ Χριστῷ· ἀλλ' ἴσως ἐρεῖ τις, πῶς οὖν ἕνα καὶ τὸν αὐτὸν φῂς υἱὸν καὶ κύριον Ἰησοῦν Χριστὸν, καί τοι δύο παρεννηνεγμένων ὀρνιθίων; ἢ τάχα που καὶ δείξειεν ἂν οὐκ ἀσυμφανῶς ὁ νόμος, ὡς δύο πάντως εἰσὶν υἱοὶ καὶ Χριστοί; καὶ δυσσεβείας μὲν εἰς τοῦτο κατεβιβάσθησαν ἤδη τινὲς, ὡς οἴεσθαί τε καὶ λέγειν, ἕτερον μὲν εἶναι Χριστὸν ἰδικῶς τὸν ἐκ θεοῦ πατρὸς λόγον, ἕτερον δ' αὖ τὸν ἐκ σπέρματος Δαβὶδ ἡμεῖς δὲ φαμὲν τοῖς ὧδε ταῦτ' ἔχειν ἐξ ἀμαθίας ὑπειληφόσιν ὁ θεσπέσιος γράφει Παῦλος· εἷς κύριος, μία πίστις, ἓν βάπτισμα· οὐκοῦν εἰ δύο φασὶν υἱοὺς, δύο δὴ πάντως ἂν εἶεν οἱ κύριοι· δύο δὲ πίστεις, τοσαῦτα δὲ βαπτίσματα· ψευδομαθήσει οὖν ὁ Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα, καθά φησιν αὐτὸς· ἀλλ' οὐκ ἔστι ταῦτα, μὴ γένοιτο· οὐκοῦν ἕνα κύριον ἴσμεν, τουτέστι μονογενῆ τοῦ θεοῦ λόγον σεσαρκωμένον· οὐκ ἀνὰ μέρος τιθέντες ἄνθρωπον καὶ θεὸν, ἀλλ' αὐτὸν τὸν ἐκ θεοῦ πατρὸς λόγον, ἄνθρωπον γενέσθαι διαβεβαιούμενοι, μετὰ τοῦ μεῖναι θεὸν· ἐπειδὴ λεγέτωσαν οἱ δι' ἐναντίας· εἰ δύο φα-

σὶν υἱοὺς, ἕνα μὲν ἰδικῶς τὸν ἐκ σπέρματος Δα- v.
βὶδ, ἕτερον δ' αὖ ἀνὰ μέρος τὸν ἐκ θεοῦ πα-
τρὸς λόγον, ἆρ' οὐκ ἀμείνων κατὰ φύσιν ὁ ἐκ
θεοῦ πατρὸς λόγος τοῦ ἐκ σπέρματος Δαβὶδ;
εἶτα τί δράσομεν τὰ δύο ὁρῶντες πτηνὰ; οὐχ'
ἑτεροφυῆ ὄντα ἀλλήλων, ὁμοειδῆ δὲ μᾶλλον,
καὶ κατ' οὐδὲν ἀλλήλων διαφέροντα· κατά γε
τοῦ εἶναι τοῦθ' ὅπερ ἐστιν· οὐκοῦν συγχωρεί-
τωσαν διὰ τὸ τῶν πτηνῶν ὁμοειδὲς μηδὲν ἀν-
θρώπου διαφέρειν τὸν τοῦ θεοῦ λόγον, ἀλλ'
οὐκ αὔξονται, πολὺ γὰρ τὸ μεταξὺ θεότητος
καὶ ἀνθρωπότητος· πλὴν χρὴ τὰ παραδείγματα,
κατὰ τὸν αὐτῶν πρέποντα νοεῖσθαι λόγον· ἡτ-
τᾶται γὰρ τῶν ἀληθῶν, καὶ μερικὴν ἔσθ' ὅτε
ποιεῖται τῶν σημαινομένων τὴν ἔνδειξιν· φαμὲν
δὲ, ὡς σκιὰ καὶ τύπος, ὁ νόμος ἦν, καὶ οἷόν
τις γραφὴ παρατιθεῖσα πρὸς θέαν τοῖς ὁρῶσι
τὰ πράγματα· αἱ δὲ σκιαὶ τῆς τῶν γραφόντων
ἐν πίνακι τέχνης, τὰ πρῶτα τῶν χρωμάτων εἰ-
σὶν· αἷς, εἴπερ ἐπενεχθεῖεν τῶν χρωμάτων τὰ
ἄνθη, τότε δὴ τότε τῆς γραφῆς ἀπασπράψει τὸ
κάλλος· ἐπειδὴ οὖν ἔδει τὸν διὰ Μωϋσέως νό-
μον καταγράψαι σαφῶς τὸ Χριστοῦ μυστήριον,
οὐκ ἐν ἑνὶ τῶν ὀρνιθίων ἀποθνήσκοντά τε ὁμοῦ
καὶ ζῶντα καταδείκνυσιν αὐτὸν, ἵνα μὴ τερατο-
ποιΐα σκηνικὴ δόξῃ εἶναι τὸ δρώμενον· ἀλλ' ἐδέ-
χετο μὲν, ὡς ἐν ἑνὶ παθόντα τὴν σφαγὴν· κατ-

v. εδείκνυ δὲ τὸν αὐτὸν ἐν ἑτέρῳ ζῶντά τε καὶ ἀφειμένον· ἀποφῆναι δὲ τὸν ἐπὶ τῷδε λόγον οὐκ ἔξω βαίνοντα τοῦ εἰκότος, δι' ἑτέρας ἱστορίας πειράσομαι· εἰ γάρ τις τῶν καθ' ἡμᾶς ἐπεθύμησεν ἰδεῖν καταγεγραμμένην ὡς ἐν πίνακι τὴν ἐπὶ τῷ Ἀβραὰμ ἱστορίαν, ὡς ἂν αὐτὸν ἐχάραξε ζωγράφος; ἆρ' ἐν ἑνὶ πάντα δρῶντα, ἢ ἀνὰ μέρος καὶ ἑτεροίως, ἤγουν ἑτεροειδῶς πλειστάχου τὸν αὐτὸν· οἷον φημὶ, ποτὲ μὲν ἐφιζήσαντα τῇ ὄνῳ συμπαραληφθέντος τοῦ παιδὸς καὶ ἑπομένων τῶν οἰκετῶν· ποτὲ δὲ αὖ πάλιν ἀπομεινάσης τῆς ὄνου κάτω τοῖς οἰκέταις ὁμοῦ, καταφορτίσαντα μὲν τοῖς ξύλοις τὸν Ἰσαὰκ, ἔχοντα δὲ μετὰ χεῖρας τὴν μάχαιραν καὶ τὸ πῦρ· καὶ μὴν καὶ ἑτέρωθι τὸν αὐτὸν, ἐν εἴδει πάλιν ἑτέρῳ· συμποδίσαντα μὲν τὸ μειράκιον, καὶ τὰ ξύλα· ὁπλίσαντα δὲ τῇ μαχαίρᾳ τὴν δεξιὰν, ἵν' ἐπαγάγοι τὴν σφαγήν· ἀλλ' ἦν οὐχ' ἕτερος καὶ ἕτερος Ἀβραὰμ, πλειστάχου τῆς γραφῆς ὁρώμενος ἑτέρως, ἀλλ' ὁ αὐτὸς πανταχοῦ· ταῖς τῶν πραγμάτων χρείαις, συγκαθισταμένης ἀεὶ τῆς τοῦ γράφοντος τέχνης· οὐ γὰρ ἦν ἐνδεχόμενον ἐν ἑνὶ καιδεῖν αὐτὸν πάντα δρῶντα τὰ εἰρημένα· γραφὴ τοιγαροῦν καὶ τύπος ἦν ὁ νόμος, πραγμάτων ὠδινόντων ἀλήθειαν· ὥστε κἂν δυὰς ὀρνέων ἦν, ἀλλ' εἷς ἦν ὁ ἐν ἀμφοῖν· καὶ ὡς ἐν πάθει καὶ ἔξω πάθους, καὶ ἐν θανάτῳ, καὶ

ὑπὲρ θάνατον· καὶ ἀναβαίνων εἰς οὐρανοὺς ἀπαρ- v.
χή τις ὥσπερ δευτέρα τῆς ἀνθρωπότητος ἀνανεω-
θεῖσης εἰς ἀφθαρσίαν· αὐτὸς γὰρ ἡμῖν ἐνεκαί-
νισε τὴν εἰς τὸ ἄνω τρίβον, καὶ ἑψόμεθα κατὰ
καιροὺς αὐτῷ· τό γε μὴν τὸ ἓν τῶν ὀρνιθίων
σφάζεσθαι· ἐν δὲ τῷ τοῦ σφαγέντος αἵματι τὸ
ἕτερον βαπτίζεσθαι μὲν, ἀποπέμπεσθαι δὲ τῆς
σφαγῆς, ἀντίτυπον δ' ἂν εἴη τῶν ἀληθινῶν·
ἀπέθανε γὰρ ὑπὲρ ἡμῶν ὁ Χριστὸς, καὶ ἡμεῖς
εἰς τὸν αὐτοῦ θάνατον βεβαπτίσμεθα, καὶ σέ-
σωκεν ἡμᾶς αἵματι τῷ ἰδίῳ.

Περὶ αὐτὸν μὲν ἦν τῶν βασκάνων τὸ θέατρον· v. 17.
p. 87. a.
γραμματεῖς δὲ οὗτοι καὶ φαρισαῖοι, καὶ τῶν
παραδόξως ἐπιτελουμένων ἐγίνοντο θεωροὶ, καὶ
κατηκροῶντο διδάσκοντος, καὶ ἦν φησὶ δύναμις
θεοῦ εἰς τὸ ἰᾶσθαι αὐτὸν· ἆρα ὡς τοῦ θεοῦ δι-
δόντος αὐτῷ τὸ δύνασθαι κατορθοῦν τὰς θεο-
σημείας; ἆρα τὴν παρ' ἑτέρου δύναμιν ἐδανεί-
ζετο; καὶ τίς ὁ φάναι ταῦτα τολμῶν; αὐτὸς
γὰρ μᾶλλον ἦν ἐξ ἰδίας ἰσχύος ἐνεργῶν ὡς θεὸς
καὶ κύριος, καὶ οὐχ' ὡς θείας χάριτος μέτοχος·
ἄνθρωποι μὲν γὰρ ἀξιοῦνται πολλάκις χαρι-
σμάτων πνευματικῶν· ἀλλ' ἔστιν ἰδεῖν ἐνιαχοῦ,
καὶ ἀσθενοῦντας ἔσθ' ὅτε· καθ' ὃν οἶδε λόγον
αὐτὸς ὁ τῶν θείων χαρισμάτων διανομεὺς· ἐπὶ
δέ γε τοῦ πάντων ἡμῶν σωτῆρος τοιοῦτον οὐ-
δὲν· ἀλλ' ἦν εἰς τὸ ἰᾶσθαι αὐτὸν, οὐκ ἀνθρω-

v. πίνη μᾶλλον, ἀλλὰ καὶ θεία καὶ ἄμαχος ἰσχὺς· θεὸς γὰρ ἦν, καὶ υἱὸς θεοῦ.

v. 18. Ἐπειδὴ ἀναγκαῖον ἦν οὐκ εὐαριθμήτου πληθύος τῶν γραμματέων καὶ φαρισαίων συνειλεγμένης, γενέσθαί τι τῶν ὅτι μάλιστα θεοπρεπεστάτων εἰς ὄνησιν αὐτῶν, μικρὰ γὰρ ἐφρόνουν περὶ αὐτοῦ, ᾠκονομήθη τί πάλιν τῶν τεθαυμασμένων· ἔῤῥιπτο μὲν γὰρ ἐπὶ κλίνης παράλυτος ἀνὴρ, ἀνιάτῳ νόσῳ κεκρατημένος, ἐπειδὴ ἀσθενοῦσα πρὸς τὸ συμβὰν ἡ τῶν ἰατρῶν ἠλέγχετο τέχνη, πρὸς τὸν ἄνωθεν καὶ ἐξ οὐρανῶν ἰατρὸν, παρὰ τῶν οἰκείων ἀπεκομίζετο· ὡς δὲ ἦν ἐν ὄψει λοιπὸν τοῦ θεραπεύειν ἰσχύοντος, δεκτὴ μὲν αὐτοῦ γέγονεν ἡ πίστις· ὅτι δέ ἐστιν ἁμαρτίας ἀναιρετικὴ, δείκνυσιν εὐθὺς ὁ Χριστὸς· ἐπεφώνει γὰρ τῷ κειμένῳ· ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου· ἀλλ' ὡς γε οἶμαι, πρὸς τοῦτο ἐρεῖ τις, ἀπαλλαγῆναι τῆς νόσου ἐβούλετο· καὶ πῶς ἄφεσιν αὐτῷ τῆς ἁμαρτίας Χριστὸς ἐπηγγέλλετο; ἵνα μάθῃς ὅτι σεσιγημένως καὶ ἀφοφητὶ θεὸς κατασκέπτεται τὰ ἀνθρώπινα, καὶ ἐφορᾷ τῆς ἑκάστου ζωῆς τὴν ὁδὸν· οὕτω καὶ γέγραπται· ἐνώπιον γάρ εἰσι τῶν τοῦ θεοῦ ὀφθαλμῶν ὁδοὶ ἀνδρὸς, εἰς δὲ πάσας τὰς τροχιὰς αὐτοῦ σκοπεύει· ἐπειδὴ δέ ἐστιν ἀγαθὸς, καὶ πάντας ἀνθρώπους θέλει σωθῆναι, διασμήχει πολλάκις ἐξ ἁμαρτιῶν τοὺς ἐνειλημμένους, ἀῤ-

ῥωστίαν ἐμβάλλων τῷ σώματι· οὕτω γάρ ϖου φησὶ διὰ φωνῆς Ἱερεμίου· ϖόνῳ καὶ μάστιγι παιδευθήσῃ, Ἱερουσαλὴμ· ἔφη δέ ϖου καὶ ὁ παροιμιασ∫ὴς· υἱὲ μὴ ὀλι∫ώρει παιδείαν κυρίου, μὴ δὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλε∫χόμενος· ὃν γὰρ ἀ∫απᾷ κύριος, παιδεύει· μαστιγοῖ δὲ ϖάντα υἱὸν ὃν ϖαραδέχεται· καλῶς οὖν ἄρα Χριστὸς τὰς τοῦ νοσεῖν ἀφορμὰς, καὶ οἷον τοῦ πάθους τὴν ῥίζαν, τουτέστι τὴν ἁμαρτίαν, ϖροαϖοκείρειν ἐϖαγγέλλεται· ἐξαιρεθείσης γὰρ ταύτης, δι' ἣν καὶ τὸ πάθος, ἔδει ϖάντως συναναιρεθῆναι τὴν νόσον. v.

Ὁ μὲν οὖν, ὅϖερ εἴρηται, θεοϖρεπεστάτην ἔχων τὴν ἐξουσίαν, τὴν τῶν ἁμαρτιῶν ἄφεσιν ἐϖηγγέλλετο· θορυβεῖ δὲ ϖάλιν ὁ λόγος τὸ δυσμαθὲς καὶ βάσκανον τῶν φαρισαίων ἐργα∫ήριον· προσελάλουν γὰρ ἀλλήλοις, τίς οὗτος ἐστὶν ὃς λαλεῖ βλασφημίας· ἀλλ' οὐκ ἂν ἔφης ταῦτα ὦ φαρισαῖε περὶ αὐτοῦ, εἰ τὰς θείας ἠπί∫ασο γραφὰς, εἰ τῶν ϖροφη∫ικῶν ἐμέμνησο λόγων, εἰ τὸ σεϖτὸν καὶ μέγα τῆς ἐναν∂ρωϖήσεως συνῆκας μυσ∫ήριον· βλασφημίας δὲ ἐγκλήματι ϖεριβάλλουσι τὴν ἐσχάτην αὐτοῦ καθορί∫οντες δίκην, καὶ θάνα∫ον κα∫αψηφι∫όμενοι· τὸν γὰρ εἰϖόντα δυσφημίας κατὰ τοῦ θεοῦ, θάνατον ὑϖομένειν ὁ διὰ τοῦ Μωϋσέως ϖροσέταττε νόμος· ἐϖειδὴ δὲ ἅϖαξ τοῦτο τετολμήκασι, δεί- v. 21. p. 87. b.

v. κνυσιν εὐθὺς ὅτι θεός ἐστιν, ἵνα πάλιν οὐ φορητῶς δυσσεβοῦντας ἐλέγξῃ· τί γάρ φησι διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; οὐκοῦν, ὅταν λέγεις ὦ φαρισαῖε· τίς δύναται ἁμαρτίας ἀφιέναι, εἰ μὴ εἷς ὁ θεὸς; ἐρῶ σοι κἀγώ· τίς δύναται καρδίας εἰδέναι, καὶ τοὺς ἐν τῷ βάθει τῆς διανοίας λογισμοὺς καθορᾶν, εἰ μὴ μόνος ὁ θεὸς; αὐτὸς γάρ σου φησὶ διὰ φωνῆς τῶν προφητῶν, ὅτι ἐγὼ κύριος ἐτάζων καρδίας, καὶ δοκιμάζων νεφρούς· ἔφη δέ σου καὶ ὁ Δαβὶδ περί τε αὐτοῦ καὶ ἡμῶν· ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν· οὐκοῦν ὁ εἰδὼς καρδίας τὲ καὶ νεφροὺς ὡς θεὸς, οὗτος ἀφίησι καὶ ἁμαρτίας ὡς θεός.

v. 24. p. 88. a. Ἐν μὲν γὰρ τῷ εἰπεῖν ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, τόπος ἐστὶ πολλάκις ἀπιστίας εὐάφορμος· ἀφιεμένας γὰρ ἁμαρτίας ἄνθρωπος οὐχ' ὁρᾷ τοῖς τοῦ σώματος ὀφθαλμοῖς· τὸ δὲ ἀποβαλεῖν τὴν νόσον, καὶ ἀναστάντα περιπατεῖν τὸν παράλυτον, ἀπόδειξιν ἔχει σαφῆ τῆς θεοπρεποῦς ἰσχύος.

v. 25. Ὃ δὴ καὶ πέπρακται, ὑπενόστησε γὰρ εἰς τὴν οἰκίαν, τῆς οὕτω μακρᾶς ἀῤῥωστίας ἀπηλλαγμένος· δέδεικται τοίνυν δι' αὐτοῦ τοῦ πράγματος, ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ γῆς ἀφιέναι ἁμαρτίας· καὶ περὶ τίνος ἄρα τοῦτο φησὶν; ἆρα περὶ αὐτοῦ, ἢ καὶ περὶ ἡμῶν;

ἀληθὲς τοῦτο τὲ κἀκεῖνο· αὐτὸς μὲν γὰρ ὡς ἐνανθρωπήσας θεὸς, ὡς τοῦ νόμου κύριος, ἀφίησιν ἁμαρτίας· ἐλάβομεν δὲ καὶ ἡμεῖς παρ' αὐτοῦ τὴν οὕτω λαμπρὰν καὶ ἐξιοθαύμαστον χάριν· ἐστεφάνωσε γὰρ τὴν ἀνθρώπου φύσιν καὶ τῇ τοιᾷδε τιμῇ· καὶ γοῦν ἔφη τοῖς ἁγίοις ἀποστόλοις· ἀμὴν λέγω ὑμῖν, ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς· καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς οὐρανοῖς· καὶ πάλιν· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται· πότε δὲ ταῦτα πρὸς αὐτοὺς εὑρίσκεται λέγων; ὅτε παθήσας τοῦ θανάτου τὸ κράτος καὶ ἐγεγερμένος ἐκ νεκρῶν, ἐνεφύσησεν αὐτοῖς λέγων· λάβετε πνεῦμα ἅγιον· ἀποδείξας γὰρ αὐτοὺς τῆς αὐτοῦ φύσεως κοινωνοὺς, καὶ ἐνοικίσας αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον, τότε καὶ τῆς ἑαυτοῦ δόξης ἀπέφηνε κοινωνοὺς, δοὺς ἐξουσίαν ἀφιέναι τὲ καὶ κρατεῖν ἁμαρτίας· ὅτι τοίνυν ἡμεῖς αὐτὸ δὴ τοῦτο πληροῦν προστετάγμεθα, πῶς οὐ πολὺ μᾶλλον αὐτὸς ἀφίησιν ἁμαρτίας, ὁ δοὺς ἑτέροις τὴν ἐξουσίαν τοῦ δύνασθαι τοῦτο δρᾶν; v.

Τελώνης γὰρ ἦν ὁ Λευὶς, ἀνὴρ ἄπληστος εἰς φιλοκερδείας, ἀχάλινος εἰς πλεονεξίαν, τῶν οὐδὲν αὐτῷ προσηκόντων ἄδικος ἐραστὴς· τοῦτο γὰρ τοῖς τελώναις τὸ ἐπίπηδευμα· ἀλλ' ἐξ αὐ- v. 27. p. 88. b.

v. τῶν ἡρπάζετο τῶν τῆς ἀδικίας ἐργαστηρίων, καὶ σέσωσται παραδόξως, κεκληκότος αὐτὸν τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ· ἔφη γὰρ αὐτῷ, ἀκολούθει μοι· ὁ δὲ πάντα ἀφεὶς, ἠκολούθησεν αὐτῷ.

v. 29. p. 89. a. Ὁρᾷς ὡς ἀληθεύει λέγων ὁ σοφώτατος Παῦλος, ὡς Χριστὸς ἦλθεν ἁμαρτωλοὺς σῶσαι; ὁρᾷς ὡς σαρκωθεὶς ὁ μονογενὴς τοῦ θεοῦ λόγος, τὰ σκεύη τοῦ διαβόλου μετέστησεν εἰς ἑαυτόν; καὶ σέσωσται μὲν ὁ Λευὶς, ἡμῖν δὲ τὸ πρᾶγμα χρηστὰς ἐνεποίησε τὰς ἐλπίδας· ὡς γὰρ σώζει τὸ μετανοεῖν, ἐξ αὐτοῦ τοῦ γεγονότος δεδιδάγμεθα· πιστώσεται δὲ καὶ αὐτὸς ὁ τῶν ὅλων δεσπότης θεὸς διὰ φωνῆς προφήτου λέγων· ἐπιστράφητε πρός με, καὶ σωθήσεσθε οἱ ἀπ' ἐσχάτου τῆς γῆς· ἀλλ' οὐδὲν τούτων τοὺς φαρισαίους ἔνετρεψεν· ἀλλ' ἐγκαλοῦσι τοῖς μαθηταῖς, ἄκουε γὰρ· καὶ ἐγγόγγιζον κ. τ. λ.

v. 31. Ἀλλ' εἰσί τινες οἱ τῆς θείας γαληνότητος ἐπιχειροῦντες ἀποστερεῖν τοὺς ταῖς ἁμαρτίαις ἐνειλημμένους· οὐ γὰρ παραδέχονται τὴν μετάνοιαν, ἀλλ' οἷον ἐπιτιμῶσι τῷ σώζοντι, ζητοῦντι τὰ ἑαυτοῦ, καὶ πανταχόθεν συλλέγοντι τὸ ἐσκορπισμένον· πρὸς οὓς ἐροῦμεν· ἐγόγγυζον πρὸ ὑμῶν οἱ φαρισαῖοι, κεκλημένον ὁρῶντες τὸν Λευὶν, καὶ τελωνῶν ὄχλον συναγηγερμένων καὶ συνεστιωμένων τῷ πάντων ἡμῶν σωτῆρι Χριστῷ·

εἶτα προσιόντες τοῖς ἁγίοις ἀποστόλοις, κατη- v.
τιῶντο λέγοντες· διὰ τί μετὰ τῶν τελωνῶν ἐσθίε-
τε καὶ πίνετε; ἀλλ' ἤκουον, οὐ χρείαν ἔχουσιν
οἱ ὑγιαίνοντες ἰατροῦ· ὁ γὰρ τῶν ὅλων σωτὴρ,
ἅτε δὴ ἰατρὸς ὑπάρχων πνευμάτων, οὐκ ἀπο-
φοιτᾷ τῶν δεομένων αὐτοῦ, καὶ ὡς διασμῆξαι
δυνάμενος, τοῖς οὔπω κεκαθαρμένοις, οἰκονομι-
κῶς συνηυλίζετο· ἴδωμεν δὲ φαρισαῖε τοῦ σοῦ
φρονήματος τὴν ἐγερωχίαν· ὁποίων σοι γέγονεναι
αἰτιαμάτων πρόξενος, ἢ καὶ τῶν ἐν ἁμαρτίαις
ὀφρῦς· αὐτὸν λάβωμεν ἐξηγητὴν τὸν πάντα εἰ-
δότα Χριστόν· ἔφη γὰρ περὶ φαρισαίου μέγαλ-
αυχοῦντος ἐν τῷ προσεύχεσθαι, καὶ τελώνου
τινὸς ἑαυτοῦ κατηγοροῦντος· ἀμὴν λέγω ὑμῖν,
ὅτι κατέβη δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ,
παρ' ἐκεῖνον τὸν φαρισαῖον· ἆρ' οὖν δεδικαίω-
ται ὁ τελώνης, ὁμολογήσας τὴν ἁμαρτίαν ὑπὲρ
τὸν ὑπερόπτην φαρισαῖον.

Ὅρα δὲ τὴν ἐπιμονὴν τῆς κακουργίας αὐτῶν· p. 89. b.
ἐπειδὴ τοῦ πρώτου τὸν λόγον ἐδέξαντο, ἀπ'
ἄλλων εἰς ἄλλα μεταβαίνουσι, βουλόμενοι λα-
βὴν ποιήσασθαι καὶ ἀποφῆναι τοὺς ἁγίους μα-
θητὰς, καὶ αὐτὸν δὲ σὺν αὐτοῖς τὸν Ἰησοῦν,
ὀλίγῳ τοῦ νόμου πεφροντικότας· ναὶ γάρ φασι
συνεστιᾶσθε τελώναις καὶ ἁμαρτωλοῖς, καί τοι
τοῦ νόμου προστάττοντος μὴ συναναμίγεσθαι
τοῖς ἀκαθάρτοις τὸν καθαρὸν· καὶ πρόφασις ὑμῖν

τοῦ παραβαίνειν τὸν νόμον, ἡ φιλανθρωπία γέγονε· διὰ τί μὴ νηστεύετε κατά γε τὸ εἰωθὸς τοῖς ἐπιεικέσι καὶ ζῆν ἐθέλουσι νομικῶς; πρὸς δὴ τὰ τοιαῦτα, φαίη τίς ἂν· ὅλως γὰρ οἶδας ὦ ἰουδαῖε τοῦ νηστεύειν τὴν ὁδὸν· νενήστευκας ποτὲ κατὰ τὸ θέλημα τοῦ θεοῦ· ὡς γάρ φησιν ὁ ϖροφήτης Ἡσαΐας· ἐν ταῖς ἡμέραις τῶν νηστειῶν ὑμῶν, εὑρίσκεῖε τὰ θελήμαῖα ὑμῶν· καὶ πάνῖας τοὺς ὑποχειρίους ὑμῖν ὑπονύσσετε· εἰ εἰς κρίσεις καὶ μάχας νηστεύετε, καὶ τύπτετε πυγμαῖς ταπεινὸν, ἵνα τί μοι νηστεύετε; οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην, λέγει κύριος· εἶταϖῶς ὁ νηστεῦσαι μὴ εἰδὼς, αἰτιᾷ τοὺς ἁγίους ἀποσῖόλους ὅτι μὴ νησῖεύουσι καῖὰ σὲ; καὶ καθ' ἕτερον δὲ τρόϖον· οἱ διὰ τῆς νέας καὶ ἐν Χριστῷ διαθήκης σεσοφωμένοι, νηστεύουσι λογικῶς· τοῦτο μὲν, ταπεινοῦνῖες ἑαυῖοὺς ἐν ὀφθαλμοῖς τοῦ θεοῦ, καὶ αὐτόβλητον ὥσπερ ἐφ' ἑαυτοῖς ἄγοντες δίκην, τὴν ἀπό γε τοῦ πόνου καὶ τῆς ἀσιῖίας, ἵνα πλημμεληµάτων ἀμνηστίαν κομίσωνται, ἢ γοῦν ἕτερον χάρισμα κερδάνωσι ϖνευματικὸν, ἢ καὶ τὸν τῆς ἁμαρτίας κατανεκροῦντες νόμον τὸν ἐν τοῖς μέλεσι τῆς σαρκὸς· ταύτην δὲ οὐκ οἶσθα τὴν ὁδὸν ὦ φαρισαῖε· οὐ γὰρ παρεδέξω τὸν ἐξ οὐρανοῦ νυμφίον, τὸν ἁπάσης ἀρετῆς σϖορέα καὶ διδάσκαλον, δηλονότι Χρισῖὸν· ἔτι οἱ μὲν ἅγιοι διὰ τοῦτο νηστεύου-

σιν, ἵνα κατατήκονῖες τὸ σῶμα, κατευνάσωσι τὰ ἐν αὐτῷ πάθη· ὁ δὲ Χριστὸς οὐ χρείαν εἶχε νηστείας πρὸς κατόρθωσιν ἀρετῆς, παντὸς ὢν πάθους, ὡς θεὸς, ἐλεύθερος· πλὴν οὔτε οἱ σὺνόντες αὐτῷ, μεταλαμβάνοντες τῆς δι' αὐτοῦ χάριτος, καὶ ἰσχυροποιούμενοι, καὶ τὴν ἀρετὴν ἐργαζόμενοι καὶ δίχα νηστείας· εἰ δὲ καὶ ἐνήστευσε τὰς τεσσαράκοντα ἡμέρας, οὐχ ἵνα νεκρώσῃ ἐν ἑαυτῷ τὰ πάθη, ἀλλ' ἵνα τοῖς ἀνθρώποις τὴν τῆς ἐγκρατείας ἐν ἑαυτῷ διαγράψῃ νόμον· εἰκότως τοίνυν ἀποκλογεῖται λέγων ταῦτα ἅπερ ἐπάγει ὁ εὐαγγελιστής. v.

Ἄθρει δή μοι πάλιν, πῶς αὐτοὺς ἀποφαίνει Χριστὸς οὐ μετεσχηκότας τῆς ἑορτῆς, ἀλλ' ἡμοιρηκότας εἰσάπαν τῆς ἐπ' αὐτῷ θυμηδίας, ἔξω τὲ κειμένους πανηγύρεως οἰκουμενικῆς· πανήγυρις γὰρ, καὶ ἕτερον οὐδὲν, ἡ τοῦ σωτῆρος ἡμῶν εἰς τόνδε τὸν κόσμον ἀνάδειξις, καθάπέρ τινα νύμφην συνάπτουσα νοητῶς αὐτῷ τὴν ἀνθρώπου φύσιν· ἵν' ἡ πάλαι στεῖρα, εὔκαρπος γένηται καὶ γονιμωτάτη· οὐκοῦν τοῦ μὲν νυμφῶνος υἱοὶ πάντες, ὅσοι κέκληνται παρ' αὐτοῦ διὰ τοῦ νέου τὲ καὶ εὐαγγελικοῦ κηρυγμάτος· οὐκέτι δὲ καὶ οἱ γραμματεῖς καὶ φαρισαῖοι, μόνῃ προσέχοντες τῇ τοῦ νόμου σκιᾷ. v. 34. p. 90. a.

Ἐπειδὴ δὲ ἄπαξ τοῖς τοῦ νυμφῶνος υἱοῖς συγκεχώρηκε τὸ ὡς ἐν καιρῷ καὶ χρείᾳ μὴ χρῆ-

ναι πονεῖν, ὡς ἑορτὴν τελοῦντας πνευματικήν, ἵνα μὴ ἀπόβλητος ἡ νηστεία γένηται παρ' ἡμῖν εἰς ἅπαν, οἰκονομικώτατα λίαν ἐπιφέρει λέγων· ἐλεύσονται δὲ ἡμέραι κ. τ. λ.

Πάντα γὰρ καλὰ ἐν καιρῷ αὐτῶν· τί δέ ἐστι τὸ ἀρθῆναι ἀπ' αὐτῶν τὸν νυμφίον; τὸ ἀναληφθῆναι δηλονότι.

v. 36. p. 90. b. Ὅτι δὲ ἀπαράδεκτα τοῖς τὴν νομικὴν ἔχουσιν ἀγωγὴν τὰ διὰ Χριστοῦ θεσπίσματα, καὶ ἀχώρητά πως εἰσὶν ἀνθρώπων καρδίαις οὕπω λαχούσαις τὸν διὰ τοῦ ἁγίου πνεύματος ἀνακαινισμὸν, διαδείκνυσι λέγων ὁ κύριος· μὴ δύνασθαι ῥάκος ἱματίου καινῷ προσβάλλεσθαι· μήτε μὴν ἀσκοὺς παλαιοὺς οἶνον νέον δύνασθαι χωρεῖν· πεπαλαίωται μὲν γὰρ ἡ πρώτη διαθήκη, καὶ οὐκ ἦν ἄμεμπτος· οὐκοῦν οἱ ταύτῃ προσκαθήμενοι, καὶ τὴν γηράσασαν ἐντολὴν εἰς νοῦν ἔχοντες, ἀμέτοχοι μέν εἰσι τῆς ἐν Χριστῷ καινότητος· πάντα γὰρ γέγονεν ἐν αὐτῷ καινὰ· σεσαθρωμένην δὲ τὴν διάνοιαν ἔχοντες, ἀσύμβατοί τε καὶ ἀσυναφεῖς εἰσι τοῖς τῆς νέας διαθήκης ἱερουργοῖς· καὶ γοῦν δι' ἑνὸς τῶν ἁγίων προφητῶν ἔφη που περὶ αὐτῶν ὁ τῶν ὅλων θεὸς, ὅτι καρδίαν καινὴν, καὶ πνεῦμα καινὸν δώσω ἐν αὐτοῖς· ψάλλει δὲ καὶ Δαβὶδ· καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ θεὸς· καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου· προστετάγμεθα

δε καὶ ἀπoδύσασθαι μὲν τὸν παλαιὸν ἄνθρω- v.
πον, ἐνδύσασθαι δὲ τὸν νέον, τὸν ἀνακαινούμενον
κατ' εἰκόνα τοῦ κτίσαντος αὐτὸν· συμβουλεύει
δὲ καὶ Παῦλος λέγων· μὴ συσχηματίζεσθε τῷ
αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαι-
νώσει τοῦ νοὸς ὑμῶν, εἰς τὸ δοκιμάζειν ὑμᾶς
τί τὸ θέλημα τοῦ θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρε-
στον καὶ τέλειον· οὐκοῦν οἱ μήπω τὸν ἐν πνεύ-
ματι λαχόντες ἀνακαινισμὸν, οὐδὲ δοκιμάζειν
ἴσασι τὸ θέλημα τοῦ θεοῦ τὸ ἀγαθὸν καὶ εὐά-
ρεστον καὶ τέλειον· ἀσκὸς τοιγαροῦν παλαιὸς,
ἡ τῶν ἰουδαίων καρδία· καὶ οὐ κεχώρηκε διὰ
τοῦτο τὸν οἶνον τὸν νέον, τουτέστι τὸ εὐαγγε-
λικὸν καὶ σωτήριον θέσπισμα, τὸ καρδίαν εὐ-
φραῖνον ἀνθρώπου, ἡμᾶς δὲ μεσίτους τῶν τοιού-
των ἀγαθῶν ἀπέφηνεν ὁ Χριστός.

CAP. VI.

Ἔτι καινὴν διαθήκην ἡμῖν ὑπισχνεῖται θεὸς, VI.
ὡς παλαιωθείσης τῆς πρώτης, καὶ ἐγγὺς γενο- v. 2.
μένης ἀφανισμοῦ, κατὰ τὴν τοῦ θεσπεσίου Παύ- p. 91. b.
λου φωνήν· καί γε φησὶ δι' ἑνὸς τῶν ἁγίων προ-
φητῶν· ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ
συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ, καὶ ἐπὶ τὸν
οἶκον Ἰούδα, διαθήκην καινήν· οὐ κατὰ τὴν δια-
θήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν ἐν ἡμέ-

VI. ρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, τοῦ ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· οὐκοῦν εἰ ἑτέρα παρὰ τὴν πρώτην ἐστὶ καὶ δευτέρα ἡ καινὴ, πᾶσα πῶς ἀνάγκη τοὺς ἀποπεραίνειν αὐτὴν ἐθέλοντας οὐχὶ τοῖς ἀρχαίοις κεχρῆσθαι νόμοις, ἀλλὰ τοῖς εἰς καινότητα πολιτείας εὐαγγελικῆς ἀποφέρειν εἰδόσιν· ἀλλ' οὐδὲν τῶν τοιούτων εἰς νοῦν ἐσχηκότας ἔνεστιν ἰδεῖν τοὺς γραμματέας τὲ καὶ φαρισαίους· ἀνεπιστήμονες γὰρ παντελῶν τῶν ἱερῶν εἰσὶ γραμμάτων· εἷς δὲ γέγονεν αὐτοῖς ὁ σκοπὸς, τὸ διασύρειν ἀεὶ τὸ θεῖον τὲ καὶ οὐράνιον κήρυγμα· ἐφεδρεύουσι γοῦν τοῖς ἁγίοις ἀποστόλοις, ἑπομένοις ἀπερισπάστως τῷ πάντων ἡμῶν σωτῆρι Χριστῷ, καὶ φασὶν αὐτῷ περὶ αὐτῶν· ἰδοὺ τοῖς νομικοῖς ἐνταλμασιν ἐναντιουμένους ὁρῶμεν τοὺς ὑπὸ σοῦ παιδαγωγουμένους· δρῶσι γὰρ ὃ οὐκ ἔξεστι ποιεῖν τοῖς σάββασι· τοῦ γὰρ νόμου κωλύοντος ἀργεῖν ἐν σαββάτῳ, καὶ μηδενὸς παντάπασιν ἅπτεσθαι πόνου, περιπρίβουσι ταῖς χερσὶν ἀσταχυας οἱ μαθηταὶ· σὺ δὲ αὐτὸς, εἰπέ μοι, τὴν σαββατικὴν σαυτῷ τράπεζαν παραθεὶς, οὐ συνθραύεις τὸν ἄρτον; τί οὖν ἑτέρους αἰτιᾷ; ἵνα δέ σοι καὶ αὐτοὺς ἐπιτειχίσωμεν τοῦ σωτῆρος τοὺς λόγους, ἄκουε· καὶ ἀποκριθεὶς κ. τ. λ.

p. 92. a. Ἀλλὰ καί τοι ταῦτα πεπραχὼς, παρά γε τὸ τῷ νόμῳ δοκοῦν, τοῦ παντὸς παρ' ἡμῖν ἀξιοῦ-

ται θαύματος, ὀρθῶς καὶ δικαίως· καὶ γὰρ ἦν VI.
ἀληθῶς ἅγιος καὶ προφήτης· οὐκοῦν τοῦ διὰ
Μωϋσέως νόμου φάσκοντος ἐναργῶς, κρίμα δί-
καιον κρίνατε, καὶ οὐ λήψῃ πρόσωπον ἐν κρίσει,
πῶς τοὺς ἐμούς, φησι, κατεκρίνατε μαθητὰς;
καὶ εἰς δεῦρο θαυμάζοντες ὡς ἅγιον καὶ προ-
φήτην τὸν μακάριον Δαβὶδ, καί τοι τὴν Μωϋ-
σέως ἐντολὴν οὐ τετηρηκότα.

Διὰ μὲν οὖν τῶν ἄρτων, σαφῶς ὁ ἄρτος ἡμῖν
ὁ ἐξ οὐρανοῦ δείκνυται προκεισόμενος ἐν ἁγίαις
τραπέζαις ἐκκλησιῶν· ὅσα δὲ σκεύη τῆς τραπέ-
ζης δι' ὧν ἡ μυστικὴ χρεία πληροῦται, τῶν
θείων κειμηλίων τύπος ἂν εἴη σαφής.

Πνευματικῶς δὲ τοὺς δώδεκα ἀποστόλους· πε-
ρὶ ὧν ἑξῆς εἰρήσεται, ὅτε εἰς αὐτοὺς δὴ τοὺς
μαθητὰς ἡμῖν ὁ λόγος περιελεύσεται.

Ἐδίδασκε δὲ πάντως ποῦ τὰ ὑπὲρ νοῦν, καὶ v. 6.
ὅσα τῆς δι' αὐτοῦ σωτηρίας ἐμφανῆ καθίστη τὴν p. 92. b.
ὁδὸν τοῖς ἀκροωμένοις· εἶτα ταῖς μυσταγωγίαις
ἑπομένην εὐθὺς τῆς θεοπρεποῦς ἰσχύος ἐποιεῖ-
το τὴν ἐπίδειξιν· μονονουχὶ καταλεαίνων τῷ λό-
γῳ τὴν εἰς τὸ πιστεύεσθαι τρίβον· μεθίστησι
γὰρ ἔσθ' ὅτε τὸ θαῦμα πρὸς πίστιν, κἂν ἀπι-
στῆται λόγος· φαρισαῖοι δὲ παρετηροῦντο αὐ-
τὸν, εἰ ἐν σαββάτῳ θεραπεύσει· τοιοῦτος γάρ
ἐστι βάσκανος ἀνὴρ, τὰς ἑτέρων εὐφημίας τρο-
φὴν ποιεῖται τῇ νόσῳ, καὶ ταῖς ἑτέρων εὐκλείαις

VI. ἀδίκως ἐπιμαίνεται, καὶ τί πρὸς τοῦτο πάλιν ὁ πάντα εἰδὼς, ὁ τὰς καρδίας ἐτάζων καὶ γινώσκων τὰ ἐν αὐταῖς· τὸ γὰρ φῶς μεθ' αὐτοῦ ἐστὶ, κατὰ τὸ γεγραμμένον· εἶπε τῷ ξηρὰν ἔχοντι τὴν χεῖρα, στῆθι εἰς τὸ μέσον· καὶ τίς ὁ λόγος τοῦ πράγματος; τάχα ὅπως καλέσῃ πρὸς ἔλεον, τὸν ἀπηνῆ καὶ ἀφιλοικτίρμονα φαρισαῖον· τάχα δυσωπήσει τὸ πάθος αὐτοὺς, καὶ τὰς τοῦ φθόνου φλόγας ἠρεμεῖν ἀναπείσει.

v. 9. Σοφωτάτη δὲ λίαν ἡ πεῦσις, πρέπουσα ταῖς ἐκείνων ἀβελτηρίαις, ἡ πρότασις· εἰ μὲν γὰρ ἔξεστιν ἀγαθοποιεῖν ἐν σαββάτῳ, καὶ τὸ κωλύον οὐδὲν ἐλεεῖσθαι παρὰ θεοῦ τοὺς κάμνοντας, παῦσαι συλλέγων τῆς κατὰ Χριστοῦ συκοφαντίας τὰς ἀφορμὰς, καὶ τῆς σαυτοῦ κεφαλῆς καταχέων τὴν δίκην· ἣν ἐπήρτησεν ὁ πατὴρ τοῖς ἀτιμάζουσι τὸν υἱὸν· ἤκουσας λέγοντος περὶ αὐτοῦ, διὰ φωνῆς τοῦ Δαβὶδ, καὶ συγχόψω τοὺς ἐχθροὺς αὐτοῦ, ἀπὸ προσώπου αὐτοῦ· καὶ τοὺς μισοῦντας αὐτὸν, τροπώσομαι· εἰ δὲ οὐκ ἔξεστιν εὖ ποιεῖν ἐν σαββάτῳ, καὶ κεκώλυκεν ὁ νόμος σώζεσθαι ψυχὴν, γέγονας τοῦ νομοθέτου κατήγορος· διαβέβληκας ἐντολὴν, ἐφ' ᾗ καὶ τεθαύμασται ἡ διὰ Μωϋσέως διακονία· ἀλλ' οὐχ' ἑαυτῷ φησιν ὁ τῶν ὅλων θεὸς τὸν ἐπὶ τῷ σαββάτῳ τέθεικε νόμον, ἡμῖν δὲ μᾶλλον τοῖς ὑπέχουσιν αὐτῷ τὸν αὐχένα· καλῶς ἔφης· ἐπαινῶ

τοὺς λόγους· οὐκοῦν ἀνάγκης καὶ νόμου τὸ θεῖον VI.
ἐλεύθερον· πῶς οὖν αἰτιᾷ καὶ ἐν σαββάτῳ Χριστὸν, ἐλεεῖν ἐθέλοντα καὶ εὐεργετοῦντα ψυχὴν; ὅταν δὲ καὶ τὸν ἐπὶ τῷ σαββάτῳ τεθέντα νόμον πολυπραγμονεῖν ἐθέλωμεν, ἐλεημοσύνης ἕνεκα τῆς παρὰ θεοῦ διωρισμένον εὑρήσομεν· ἐκέλευσε γὰρ ἀργεῖν ἐν σαββάτῳ, καὶ μηδενὸς τὸ σύμπαν ἅπτεσθαι πόνου, ἀνίεσθαι δὲ μᾶλλον καὶ αὐτοῖς ὁμοῦ τοῖς ἀλόγοις τῶν ζώων· ἔφη γὰρ ὅτι ἵνα ἀναπαύσηται ὁ παῖς σου καὶ ἡ παιδίσκη σου, ὁ βοῦς σου, καὶ τὸ ὑποζύγιόν σου, καὶ πᾶν κτῆνος σου· ὁ δὲ καὶ βοῦν ἐλεῶν, καὶ τὰ ἕτερα τῶν κτηνῶν, πῶς οὐκ ἂν ἠλέησεν ἄνθρωπον ἐν σαββάτῳ, δεινῇ καὶ ἀφύκτῳ περιπεσόντα νόσῳ.

Οὐκ ἀρκεῖ σοι τὸ παράδοξον εἰς πίστιν; ὁρᾷς v. 10.
p. 93. a.
ἐνεργοῦντα θεοπρεπῶς, καὶ μετ' ἐξουσίας τῆς ἀνωτάτω θεραπεύοντα τοὺς ἐν ἀῤῥωστίαις, καὶ τὸν ἐκ φθόνου καὶ βασκανίας ὠδίνεις φόνον;

Πάντα πρὸς οἰκοδομὴν ἡμετέραν, καὶ εἰς ὄνη- v. 21.
σιν τῶν πιστευόντων εἰς αὐτὸν εἰργάζετο Χριστὸς, καὶ πνευματικῆς πολιτείας εἰκόνα τρόπον τινὰ τὰ καθ' ἑαυτὸν ἀναθεὶς, ἀληθινοὺς ἤθελεν ἀποφαίνειν προσκυνητάς· ἴδωμεν τοίνυν ὡς ἐν εἰκόνι καὶ τύπῳ πραγμάτων τῶν γεγενημένων διὰ Χριστοῦ, τίνα τρόπον ἡμᾶς ποιεῖσθαι προσήκει τὰς πρὸς θεὸν ἱκετείας· λάθρα καὶ

VI. κεκρυμμένως, καὶ οὐδενὸς ὁρῶντος, προσεύχεσθαι χρὴ· τοῦτο γὰρ ὑποδηλοῖ τὸ εἰς ὄρος κατὰ μόνας καὶ ὡς ἐν σχολῇ προσεύχεσθαι τὸν Ἰησοῦν, καὶ τοῦτο αὐτὸς ἡμᾶς ἐδίδαξεν εἰπών· σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμιεῖον σου· ἀφιλοδόξως γὰρ καὶ ὁσίους ἐπαίρονΐας χεῖρας προσεύχεσθαι δεῖ, καὶ ὥσπερ εἰς ὕψος εἰς τὸ τῆς θεωτίας ὕψος ἀναπηδῶντος τοῦ νοῦ, καὶ ἀποφοιτῶντος μὲν θορύβου παντὸς, ἀποτρέχοντος δὲ καὶ μερίμνης κοσμικῆς· δεῖ δὲ τοῦτο δρᾶν, οὔτε ἀψικόρως, οὔτε ἀδρανῆ ἔχονΐας ὀλιγοψυχίαν· ἐνΐόνως δὲ μᾶλλον, καὶ ἐν σπουδῇ, καὶ οὐκ ἀθαύμασΐον ἔχοντας τὴν ὑπομονήν· ἀκήκοας γὰρ ὅτι οὐχ' ἁπλῶς πύξατο Χριστὸς, ἀλλ' ὅτι καὶ διεκνυκτέρευσε τοῦτο δρῶν· οὐκ ἀνέξεΐαι δὲ ἴσως ὁ τῆς ἀληθείας ἐχθρὸς ταῦτα λεΐόντων ἡμῶν· φησὶ γὰρ· προσεύχεται καὶ ζητεῖ παρὰ τοῦ πατρὸς, ἅπερ οὐκ ἔχει· πῶς οὖν ἔτι φατὲ καὶ ὁμοούσιον αὐτῷ ἴσον τε κατὰ πάντα, καὶ κατ' οὐδένα τρόπον ἀπεοικότα; χωρὶς γὰρ πάσης ἀντιλογίας, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται· μείζων δὲ πάντως ὁ διδοὺς, τοῦ παρακαλοῦντος τί λαβεῖν· οὐκοῦν, ἐκεῖνο καὶ πρό γε τῶν ἄλλων διδασκέτωσαν ἡμᾶς οἱ τὰ ὀρθὰ διαστρέφοντες, τίνος εἶναι νομίζουσιν ἐπιδεᾶ τὸν υἱὸν; τί δὲ ὡς οὐκ ἔχων ἐζήτει λαβεῖν; φῶς ἐστὶ τὸ ἀληθινὸν, ζωὴ κατὰ φύ-

σιν, καὶ ζωοποιὸς, καὶ τῶν δυνάμεων κύριος, VI.
σοφία καὶ δικαιοσύνη, κτίστης καὶ δημιουργὸς
τῶν ὅλων, παντὸς ἐπέκεινα γενητοῦ, βασιλεὺς
τῶν ὅλων, ταμίας οὐρανοῦ καὶ γῆς, δοτὴρ ἀγα-
θοῦ παντὸς ὁμοῦ τῷ θεῷ καὶ πατρὶ· καὶ τοῦτο
μαθήσῃ γεγραφότος τισὶ τοῦ μακαρίου Παύλου,
χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν
καὶ κυρίου Ἰησοῦ Χριστοῦ· τοῖς ἀνωτάτω θρό-
νοις ἐμπρέπει, δοξολογεῖται παρὰ πάσης κτί-
σεως λογικῆς· οὐκοῦν ἁπάντων ἐστὶ τῶν τοῦ θεοῦ
καὶ πατρὸς θεοπρεπῶν ἀξιωμάτων οὐσιωδῶς κλη-
ρονόμος· καὶ γοῦν ἔφη πρὸς αὐτὸν· ὡς πάντα
τὰ ἐμὰ, σά ἐστι· καὶ τὰ σὰ, ἐμὰ· καὶ δεδόξα-
σμαι ἐν αὐτοῖς· ὁ δὲ πάντα ἔχων ἴδια τὰ τοῦ
θεοῦ καὶ πατρὸς, τίνος ἔτι λείπεται; εἰ δὲ ὅλως
λείπεταί τινος, καὶ τοῦτο εἶναι φασὶν ἀληθὲς,
οὐδέν ἐστι τὸ κωλύον εἰπεῖν, ὅτι καὶ αὐτὸς ὁ
πατὴρ ἐν χρείᾳ καθέστηκέ τινων· εἰ γὰρ πάντα
τὰ τοῦ υἱοῦ, τοῦ πατρός ἐστι, λείπεται δέ τινος
ὁ υἱὸς, τοιοῦτος ἄρα ἐστὶ καὶ ὁ πατὴρ· αὐτοῦ
γάρ ἐστι πάντα τὰ τοῦ υἱοῦ· ἀλλ' ἔστι παντέ-
λειος ὁ πατὴρ, δεῖται δὲ ὅλως οὐδενὸς τῶν θεο-
πρεπῶν ἀγαθῶν· οὐκοῦν παντέλειος ὁ υἱὸς, ὡς
πάντα ἔχων τὰ τοῦ πατρὸς, εἰκών ἐστι καὶ χα-
ρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ· ἐν δὲ τῷ χαρα-
κτῆρι φαίνεται πάντως τὸ πρωτότυπον, καὶ ἐν
τῷ πρωτοτύπῳ πάντα ὁ χαρακτὴρ· καὶ ταῦτα

VI. μὲν πρὸς ἐκείνους· φασὶ δὲ καὶ οἱ ταῖς Νεστορίου κενοφωνίαις συνηρπασμένοι, ὡς ἀνάρμοστον δὲ παντελῶς θεῷ κατὰ φύσιν ὄντι τῷ υἱῷ, προσεύχεσθαι· πρέπει δὲ μᾶλλον ἀνθρώπῳ τῷ κατὰ συνάφειαν αὐτῷ συναφθέντι· τουτέστι, τῷ ἐκ σπέρματος Δαβὶδ· αὐτὸς οὖν ἄρα ἦν, ὁ τὴν εὐχὴν ἀναπέμπων· τί οὖν πρὸς τοῦτο ἐροῦμεν; ἠγνοήσατε παντελῶς τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς τὸ μυστήριον· μνημονεύσατε λέγοντος τοῦ μακαρίου εὐαγγελιστοῦ Ἰωάννου· καὶ ὁ λόγος, σὰρξ ἐγένετο· καὶ τοῦτο ἡμῖν ὁ πάνσοφος Παῦλος ἐμφανὲς κατέστησε· λέγων περὶ αὐτοῦ· οὐ γὰρ δή που ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται· ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν θεὸν, εἰς τὸ ἱλάσκεσθαι ταῖς ἁμαρτίαις τοῦ λαοῦ· ἀνθότου δὴ οὖν τὸν γεννηθέντα μὲν θεϊκῶς, ὡς ὁ λόγον ἐκ τοῦ θεοῦ καὶ πατρὸς, ἑαυτὸν δὲ καθέντα πρὸς κένωσιν, καὶ πρὸς ἀδελφότητα τὴν πρὸς ἡμᾶς, διὰ τοῦ γενέσθαι καθ' ἡμᾶς, ὁμοιωθῆναί τε κατὰ πάντα τοῖς ἐπὶ τῆς γῆς, δίχα μόνης ἁμαρτίας, τῶν τῆς ἀνθρωπότητος ἐκπέμπεται μέτρων· ἐπειδὴ γὰρ γέγονε καθ' ἡμᾶς, ἐκ πολλῆς ἄγαν ἡμερότητος καὶ φιλανθρωπίας, οὐκ ἀπαξιοῖ τὰ ἀνθρώπινα· τύπους ἡμεῖς τῆς εἰς λῆξιν ἐπιεικείας ποιούμενος τὰ

καθ' ἑαυτὸν· ἵν', ὡς ἔφην, τοῖς ἴχνεσιν αὐτοῦ VI.
κατακολουθεῖν σπουδάσωμεν.

Διανυκτερεύσας εἰς προσευχὴν ὁ κύριος ἡμῶν v. 13. p. 93. b.
Ἰησοῦς Χριστὸς, καὶ ἀῤῥήτως τε καὶ ἀπερινοήτως, καὶ ὡς μόνος οἶδεν αὐτὸς, τὰς πρός γε τὸν ἐν οὐρανοῖς πατέρα καὶ θεὸν διαλέξεις ποιησάμενος, καὶ τύπον ἡμῖν σωτηριώδους πράγματος ἑαυτὸν παραθεὶς· ἐδίδαξε γὰρ τίνα τρόπον ὀρθῶς τὲ καὶ ἀμωμήτως χρὴ ποιεῖσθαι τὰς προσευχὰς, κάτεισιν ἐκ τοῦ ὄρους, καὶ τοὺς τῆς οἰκουμένης μυσταγωγοὺς ἀναδείκνυσιν· ἔφη γὰρ πρὸς αὐτοὺς· ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου· ταύτης δὲ τῆς τῶν ἁγίων ἀποστόλων προβολῆς μνημονεύει λέγων καὶ ὁ μακάριος Δαβὶδ, ὡς πρὸς Χριστὸν· καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν, μνησθήσονται τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ· ἔτι μὲν γὰρ ὄντες ἐν σωμάτι, ἐμνημόνευον τῆς δόξης Χριστοῦ, πόλεσί τε καὶ χώραις τὸ αὐτοῦ λαλοῦντες μυστήριον· ἐπειδὴ δὲ πρὸς τὰς ἄνω κέκληται μονὰς, οὐδὲν ἧττον ἡμῖν καὶ οὕτω διαλέγονται περὶ αὐτοῦ, διὰ τῆς πανσόφου συγγραφῆς ἧς πεποίηνται περὶ αὐτοῦ· καὶ οἱ μὲν κατὰ τὸν Μωϋσέως νόμον χειροτονηθέντες ἱερουργοὶ, Ἀαρὼν δηλονότι καὶ οἱ σὺν αὐτῷ, ἱεροπρεπέσιν ἐσθήμασιν αἰσθητῶς κατεκαλλύνοντο· οἱ δέ γε θεσπέσιοι μαθηταὶ, χαρίσμασι τοῖς πνευματικοῖς

VI. διαπρέποντες, τῶν εὐαγγελικῶν θεσπισμάτων τὴν διακονίαν ἐνεχειρίζοντο· εἴρηται γὰρ πρὸς αὐτοὺς· ἀσθενοῦντας θεραπεύετε, δαιμόνια ἐκβάλλετε, λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε· καὶ γοῦν, τὴν Χριστοῦ φοροῦντες δύναμιν, κατέπληττον πᾶσαν τὴν οἰκουμένην· πλὴν ὅρα τὴν εἰς ἄκρον νῆψιν τοῦ εὐαγγελιστοῦ· οὐ γὰρ ἁπλῶς ἀναδειχθῆναι τοὺς ἁγίους ἀποστόλους φησὶν, ὀνομαστὶ δὲ μᾶλλον ἐπενηνεγμένης αὐτοῖς καὶ τῆς τῶν προτέρων μνήμης· ἵνα μή τις ἑαυτὸν ἐγγράψαι τολμήσῃ τῷ χορῷ τῶν ἐξειλεγμένων· ὡς γὰρ ὁ Παῦλος φησὶν· οὐχ' ἑαυτῷ τίς λαμβάνει τὴν τιμὴν, ἀλλ' ὁ καλούμενος ὑπὸ τοῦ θεοῦ· καὶ γοῦν ὀνομαστὶ τῶν ἁγίων ἀποστόλων κεκλημένων εἰς τὸ μέγα τοῦτο καὶ λαμπρὸν ἀξίωμα· πρὸς τοῦτο· τινὲς καθίκοντο κατὰ καιροὺς ἀπονοίας καὶ θράσους, ὡς ἀποστόλους ἑαυτοὺς ὀνομάσαι Χριστοῦ, καὶ τιμὴν ἁρπάσαι τὴν οὐκ ἐκνεμηθεῖσαν αὐτοῖς· τούτων οἱ θεσπέσιοι μαθηταὶ, πεποίηνται μνήμην· φασὶ γὰρ· οἱ τοιοῦτοι ψευδαπόστολοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀγγέλους δικαιοσύνης· καὶ οὐ θαῦμα· αὐτὸς γὰρ ὁ σατανᾶς, μετασχηματίζεται εἰς ἄγγελον φωτὸς· οὐ μέγα οὖν, εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται εἰς ἀγγέλους δικαιοσύνης· οὐδένα τοίνυν ἴσμεν ἡμεῖς ἢ παραδεξόμεθα, πλὴν ὅτι μόνους τοὺς διὰ τῶν

εὐαγγελικῶν γραμμάτων ὠνομασμένους, καὶ τὸν VI.
μετ' ἐκείνους ἀναδεδειγμένον, τὸν σοφώτατον
Παῦλον· ᾧ καὶ αὐτὸς ὁ σωτὴρ μεμαρτύρηκε λέ-
γων, ὅτι σκεῦος ἐκλογῆς ἐστί μοι οὗτος τοῦ
βαστάσαι τὸ ὄνομά μου ἐνώπιον πάντων τῶν
ἐθνῶν.

Ἄθρει δή μοι τῆς χειροτονίας τὸν τρόπον, v. 17. p. 94. b.
οὐ γὰρ ἐν παραβύστῳ, καὶ λελησμένως πεπρά-
χθαι φησὶν αὐτὸς ὁ σοφώτατος εὐαγγελιστὴς,
συναγηγερμένων δὲ μᾶλλον πολλῶν μαθητῶν,
ὄχλου τε πολλοῦ ἐξ ἁπάσης τῆς Ἰουδαίων χώ-
ρας, καὶ ἐκ τῆς παραλίου Τύρου καὶ Σιδῶνος·
οὗτοι δὲ ἦσαν εἰδωλολάτραι, ἤγουν ἐπ' ἀμφο-
τέραις ταῖς ἰγνύαις χωλεύοντες, καὶ τιμῶντες
μὲν ἐκ μέρους τὰ τῶν Ἰουδαίων ἔθη, τῶν γε
μὴν τῆς εἰδωλολατρίας αἰτιαμάτων, οὐκ εἰσ-
άπαν ἀποφοιτήσαντες· πέπρακται τοίνυν ἡ χει-
ροτονία, τούτων πάντων παρόντων· καὶ ἐφ' ἅπα-
σαν τὴν ὑπ' οὐρανὸν, τέθεινται μυσταγωγοὶ· ὃ
δὴ καὶ πεπράχασι, καλοῦντες μὲν Ἰουδαίους ἐκ
νομικῆς λατρείας, τοὺς δέ γε τῶν δαιμονίων
θεραπευτὰς ἐκ πλάνης ἑλληνικῆς, εἰς τὴν τῆς
ἀληθείας ἐπίγνωσιν· ἀναδείξας δὲ τοὺς ἁγίους
ἀποστόλους, πλείστων ὅσων καὶ ἀξιαγάστων
σημείων γέγονεν ἀποτελεστὴς, δαιμονίοις ἐπι-
πλήττων, ἀνιάτων ἀῤῥωστημάτων ἐλευθερῶν τοὺς
προσιόντας αὐτῷ, καὶ θεοπρεπεστάτην ἀποφαί-

VI. νων τὴν ἑαυτοῦ δύναμιν· ἵν' εἰδεῖεν οἱ ἐπ' αὐτῷ συνδεδραμηκότες Ἰουδαῖοι τὲ καὶ οἱ ἐκ τῆς ἑλλήνων χώρας, ὅτι τετίμηνται τῷ τῆς ἀποστολῆς ἀξιώματι παρὰ Χριστοῦ, καὶ οὐχ' ἑνὸς ὄντος τῶν καθ' ἡμᾶς ἀνθρώπου κοινοῦ, θεοῦ δὲ μᾶλλον ὡς ἐνανθρωπήσαντος λόγου, καὶ τὴν ἰδίαν σώζοντος δόξαν· δύναμις γὰρ παρ' αὐτοῦ ἐξήρχετο, καὶ ἰᾶτο πάντας· οὐ γὰρ ἰσχὺν ἐδανείζετο τὴν παρ' ἑτέρου Χριστὸς, ἀλλ' αὐτὸς ὢν φύσει θεὸς, εἰ καὶ γέγονε σὰρξ, τὴν ἐπὶ τοῖς κάμνουσιν ἐκπέμπων δύναμιν, ἰᾶτο πάντας· εἰ δὲ βούλει καὶ τὴν ἑρμηνείαν τῶν ἀποστολικῶν μαθεῖν ὀνομάτων, ἴσθι ὅτι Πέτρος μὲν ἑρμηνεύεται, ἐπιλύων ἢ ἐπιγνούς· Ἀνδρέας δὲ, δύναμις εὐπρεπὴς, ἢ ἀποκρινόμενος· Ἰάκωβος, πτερνισμὸς πόνου· Ἰωάννης, κυρίου χάρις· Ματθαῖος, δεδωρημένος· Φίλιππος, στόμα χειρῶν, ἢ στόμα λαμπάδος· Βαρθολομαῖος, υἱὸς χρεμάσας ὕδατα· Θωμᾶς, ἄβυσσος, ἢ δίδυμος· Ἰάκωβος Ἁλφαίου, πτερνισμὸς βαδίσεως ζωῆς· Ἰούδας, ἐξομολόγησις· καὶ Σίμων, ὑπακοή.

v. 20. p. 95. b. Εἰς καινότητα μὲν οὖν ζωῆς εὐαγγελικῆς μετὰ τὴν χειροτονίαν καταῤῥυθμίζων τοὺς ἑαυτοῦ μαθητὰς ὁ σωτὴρ, ταῦτα φησὶ· περὶ ποίων δὲ ἄρα πτωχῶν ταῦτα ἔλεγεν, ἀναγκαῖον ἰδεῖν· ἐν μὲν γὰρ τῷ κατὰ Ματθαῖον, μακαρίους ἔσεσθαι φησὶ τοὺς πτωχοὺς τῷ πνεύματι, καὶ αὖ-

τῶν εἶναι τὴν βασιλείαν τῶν οὐρανῶν· ἵνα νοῶ- VI.
μεν πτωχὸν τῷ πνεύματι, τὸν μετριόφρονα καὶ
καὶ συνεσταλμένον ὥσπερ ἔχοντα νοῦν· ἀξιοζή-
λωτος δὲ ὁ τοιοῦτος καὶ θεῷ γνώριμος· καὶ
γοῦν ἔφη δι' ἑνὸς τῶν ἁγίων προφητῶν, ἐπὶ
τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν καὶ ἡ-
σύχιον καὶ τρέμοντά μου τοὺς λόγους; ἔφη δὲ
καὶ ὁ προφήτης Δαβὶδ· ὅτι καρδίαν συντετριμ-
μένην καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουδενώ-
σει· ναὶ μὲν καὶ αὐτὸς ὁ σωτὴρ, μάθετε ἀπ'
ἐμοῦ φησιν ὅτι πραΰς εἰμὶ καὶ ταπεινὸς τῇ καρ-
δίᾳ· ἐν δέ γε τοῖς προκειμένοις ἡμῖν ἀναγνώ-
σμασι, μακαρίους ἔσεσθαι φησὶ τοὺς πτωχοὺς·
οὐ προσκειμένου τοῦ, πνεύματι· οὕτω δέ φασιν
οἱ εὐαγγελισταὶ, οὐκ ἀλλήλοις ἐναντιούμενοι,
ἀλλὰ μεριζόμενοι πολλάκις τὰ διηγήματα· καὶ
ποτὲ μὲν διὰ τῶν αὐτῶν βαδίζουσι κεφαλαίων,
ποτὲ δὲ τὸ τῷ ἑνὶ παραλειφθὲν, ἕτερος ταῖς
ἰδίαις ἐνθήσει συγγραφαῖς· ἵνα μηδὲν τῶν ἀναγ-
καίων εἰς ὄνησιν λαθεῖν δυνηθῇ τοὺς πιστεύον-
τας εἰς Χριστόν· ἔοικε τοίνυν πτωχοὺς ὀνομά-
ζειν ἐν τούτοις, τοὺς φιλοκερδείας κρείττονας,
καὶ τὸν τρόπον ἔχοντας ἀφιλάργυρον· καὶ γοῦν
ὁ σοφώτατος Παῦλος, ἀρίστων ἡμῖν μαθημάτων
εἰσηγητὴς ἀναδείκνυται, λέγων· ἀφιλάργυρος ὁ
τρόπος, ἀρκούμενος τοῖς παροῦσι· προστίθει δὲ
τούτοις, ὡς ἔχοντες δὲ διατροφὰς καὶ σκεπά-

VI. σματα, τούτοις ἀρκεσθησόμεθα· ἔδει γὰρ ἔδει τὸ σωτήριον καὶ εὐαγγελικὸν μέλλοντας αὐτοὺς διαγγέλλειν κήρυγμα, ἀφιλόπλουτον ἔχειν τὸ φρόνημα, καὶ εὔσχολον ἐπὶ τὰ κρείττω τὴν ἐπιθυμίαν.

v. 21. p. 98. b. Μακαρίζει τοὺς κλαίοντας, καὶ φησὶν ὅτι γελάσουσι· κλαίειν δὲ φαμὲν, οὐ τοὺς ἁπλῶς τὸ ἐξ ὀμμάτων καθιέντας δάκρυον, κοινὸν γὰρ τοῦτο καὶ πᾶσι συμβαῖνον πιστοῖς καὶ ἀπίστοις, εἴπερ τι γένοιτο τῶν εἰωθότων καταλυπεῖν, ἐκείνους δὲ μᾶλλον τοὺς τὸν ἱλαρὸν καὶ ἐξίτηλον, καὶ ἐν τρυφαῖς ὄντα ταῖς σαρκικαῖς φεύγοντας βίον· ἐκείνους μὲν γὰρ ἐν τῷ τέρπεσθαι καὶ γελᾷν εἶναι φαμὲν· τοὺς δέ γε τὸ τρυφᾷν καὶ ἀνίεσθαι σαρκικῶν παραιτουμένους, καὶ μονονουχὶ κλαίοντας διὰ τοῦ μισεῖν τὰ ἐν κόσμῳ, μακαρίους εἶναι φησὶν ὁ σωτὴρ· οὐκοῦν πτωχεῦσαι κελεύσας, καὶ τὰ ἑπόμενα τῇ πτωχείᾳ τιμαῖς στεφανοῖ· ταῦτα δέ ἐστι, τῶν εἰς τρυφὰς ἐπιτηδείων ἡ σπάνις, καὶ τὸ κατηφὲς διὰ τὴν θλῖψιν· γέγραπται γὰρ ὡς πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ κύριος.

v. 22. p. 99. b. Ἤδη μέν τοι ὁ κύριος τὸν διωγμὸν ἀπήγγειλε, πρὶν ἀποσταλῆναι τοὺς ἀποστόλους· προέλαβε τὸ εὐαγγέλιον τὴν ἔκβασιν· ἐχρῆν γὰρ πάντως αὐτοὺς τὸ εὐαγγελικὸν διαγγέλλοντας κή-

ρυγμα, καὶ ἰουδαίους μὲν ἀφιστῶντας τῆς κα- VI.
τὰ νόμον λατρείας, ἕως τῆς εὐαγγελικῆς εὐ-
ζωΐας εἰδεῖεν τὴν ὁδὸν, τοὺς δέ γε εἰδωλολά-
τρας εἰς τὴν τῆς ἀληθείας ἐπίγνωσιν σαγηνεύον-
τας, προσκροῦσαι πολλοῖς ἀφιλοθέοις τὲ καὶ
ἀνοσίοις ἀνδράσιν· οὗτοι γὰρ πολέμους καὶ διω-
μοὺς τοῖς τὸν Ἰησοῦν καταγγέλλουσιν ἐπαγεί-
ρουσι· διώκοντες τὴν εὐσέβειαν· ἢ τοίνυν ἐνστάν-
τος τοῦ καιροῦ, καθ' ὃν ἔμελλεν ἔσεσθαι ταῦ-
τα παρά τινων, μὴ εἰς ἀνοήτους ἐμπίπτωσιν ἀκη-
δίας, προαπαγγέλλει χρησίμως, ὡς καὶ τῶν
σκυθρωπῶν ἡ ἔφοδος, ἔμμισθος ἔσται καὶ ἐπο-
φελὴς αὐτοῖς· ὀνειδίσουσι γάρ φησιν ὑμᾶς ὡς
πλάνους καὶ ἀπαταιῶνας· ἀφορίσουσιν ἑαυτῶν,
τουτέστι τῆς πρὸς ἑαυτοὺς φιλίας καὶ κοινω-
νίας· ἀλλὰ μηδεὶς ἔστω παρ' ὑμῖν φησι τῶν
τοιούτων ὁ λόγος· τί γὰρ ἀδικήσει τῆς ἐκείνων
γλώττης τὸ ἄτακτον, τὸν εὖ βεβηκότα νοῦν;
τοῖς γὰρ εὐσεβῶς εἰδόσι φιλοσοφεῖν, οὐκ ἄκαρ-
πον ἔσεσθαι φησὶ τὴν ἐπὶ τούτων ὑπομονὴν, ἀλλ'
εὐθυμίας τῆς ἀνωτάτω πρόξενον· διαδείκνυσι δὲ
πρὸς τούτῳ χρησίμως, ὡς ξένον αὐτῶν οὐδὲν
συμβήσεται καὶ ταῦτα παθοῦσιν· ἔσονται δὲ μᾶλ-
λον καθ' ἐκείνους, οἳ καὶ πρὸ αὐτῶν τοὺς θείους
καὶ ἄνωθεν τῶν ἐξ Ἰσραὴλ διαπορθμεύοντες λό-
γους· ἐδιώχθησαν, ἐπρίσθησαν, ἐν φόνῳ μαχαί-
ρας ἀπέθανον, λοιδοριῶν ἠνέσχοντο, ἀδίκως αὐ-

VI. τοῖς ἐπεννενεγμένων· οὐκοῦν δίδωσιν ἐκεῖνο νοεῖν, ὡς ὧν ἂν γένοιντο μιμηταὶ, τούτων ἔσονται καὶ κοινωνοὶ· καὶ προφητικῶν στεφάνων οὐκ ἀμοιρήσουσι, τὴν ἐκείνων ἐν τριβῇ βαδίσαντες ὁδόν.

v. 24. p. 100. b. Προαναφωνήσας αἰτίαν παντὸς ἀγαθοῦ τὴν διὰ θεὸν πτωχείαν, καὶ τὸ πεινῆν καὶ κλαίειν οὐκ ἄμισθον ἔσεσθαι τοῖς ἁγίοις εἰπὼν, μεθίστησι τὸν λόγον ἐπὶ τὰ ἐναντίως ἔχοντα τούτων· καὶ διαδείκνυσιν αὐτὰ κολάσεως ὄντα καὶ δίκης ἐμποιητικὰ, ὡς τῇ μὲν τῶν στεφάνων ἐπιθυμίᾳ, καὶ τῇ τοῦ μακαρισμοῦ ἐφέσει, σαγηνεύωνται πρὸς τοὺς πόνους, καὶ τὴν διὰ θεὸν αἱρεῖσθαι πτωχείαν πεισθῶσι· τῷ δὲ φόβῳ τῆς ἐπηρτημένης κολάσεως, φεύγωσι τὸ πλουτεῖν, καὶ τὸ ἐν τρυφαῖς εἶναι καὶ γέλωτι, τουτέστιν ἐν τέρψεσι κοσμικαῖς· καὶ τοὺς μὲν κληρονόμους ἔσεσθαι τῆς τῶν τῶν οὐρανῶν βασιλείας φησὶ, τοὺς δὲ ἐσχάταις περιπεσεῖσθαι συμφοραῖς· ἀπέχετε γάρ φησι τὴν παράκλησιν ὑμῶν· ἔξεστι δὲ τοῦτο ἰδεῖν, ὡς ἐν πίνακι καλῶς γεγραμμένον, ἐν τῇ περὶ τοῦ πλουσίου καὶ Λαζάρου παραβολῇ· ἀπέλαβες γάρ, φησι πρὸς τὸν πλούσιον, τὰ ἀγαθά σου ἐπὶ ζωῇ σου· καὶ Λάζαρος, τὰ κακὰ· νῦν δὲ αὐτὸς ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι· ἀλλὰ φέρε καθ' ἑαυτοὺς ἐκεῖνο γυμνάσωμεν· ἆρα εἴ τις ἐστὶ πλούσιος ἐν κόσμῳ, οὗτος ἀπώλισθε πάντως τοῦ προσδοκᾶν

ἐλεεῖσθαι παρὰ θεοῦ; οὐ τοῦτο φαμὲν· ἐκεῖνο VI.
δὲ μᾶλλον, ἐξῆν τῷ πλουσίῳ κατελεῆσαι τὸν
Λάζαρον, ὡς καὶ τῆς αὐτοῦ παρακλήσεως γένη-
ται κοινωνὸς· καὶ γοῦν ὁ σωτὴρ τοῖς τὸν ἐπί-
γειον ἔχουσι πλοῦτον, ὁδὸν ὑπέδειξε σωτηρίας,
εἰπών· ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ ἀδίκου
μαμωνᾶ, ὡς ὑποδέξωνται ὑμᾶς εἰς τὰς ἑαυτῶν
σκηνάς.

Ἀληθεύει λέγων ὁ μακάριος Παῦλος· ὅτι εἴ v. 27.
τις ἐν Χριστῷ καινὴ κτίσις, πάντα γὰρ γέγο- p. 101. b.
νεν ἐν αὐτῷ τε καὶ δι' αὐτοῦ καινὰ, καὶ δια-
θήκη, καὶ νόμος, καὶ πολιτεία· ἄθρει δὲ ὅπως
πρεπωδεστάτη λίαν ἐστὶ τοῖς ἁγίοις μυσταγω-
γοῖς, ἡ τοιάδε πολιτεία τε καὶ ζωὴ· οἳ ἔμελ-
λον τοῖς ἁπανταχόσε γῆς, τὸ σωτήριον ἐξαγ-
γέλλειν κήρυγμα· καὶ ἦν ἐντεῦθεν προσδοκᾶν,
οὐκ εὐαριθμήτους ἔσεσθαι τοὺς διώκοντας αὐ-
τοὺς καὶ πολυτρόπως ἐπιβουλεύοντας, ἀλλ' εἰ
συνέβη ταῖς τοιαύταις λύπαις ἀχθεσθῆναι τοὺς
μαθητὰς, εἶτα θέλειν ἀμύνεσθαι τοὺς λελυπη-
κότας, εἰσίσησαν ἂν καὶ παρέδραμον αὐτούς· οὐκ-
έτι τὸ θεῖον αὐτοῖς παρατιθέντες κήρυγμα, οὐ
καλοῦνται εἰς ἐπίγνωσιν ἀληθείας· ἔδει τοίνυν
ταῖς οὕτω σεπταῖς ἀνεξικακίαις, τὸν τῶν ἁγίων
μυσταγωγῶν ἀναχαιτίσαι νοῦν, ἵνα πάντα γεν-
ναίως φέρωσι τὰ συμβαίνοντα, κἂν ὑβρίζωσί τι-
νες, κἂν ἀνοσίως ἐπιβουλεύωσι· πέπραχε δὲ τοῦ-

VI. το καὶ πρό γε τῶν ἄλλων αὐτὸς εἰς ὑποτύπωσιν ἡμέτεραν· ἔτι γὰρ ἀπηρτημένοι τοῦ τιμίου σταυροῦ, καί τοι τῆς Ἰουδαίων πληθύος ἐπιγελώσης αὐτῷ, τὰς πρὸς τὸν θεὸν καὶ πατέρα λιτὰς ὑπὲρ αὐτῶν ἐποιεῖτο, λέγων· ἄφες αὐτοῖς ὡς οὐκ οἴδασι τί ποιοῦσι· ναὶ μὲν καὶ ὁ μακάριος Στέφανος, καί τοι βαλλόμενος λίθοις, θεὶς τὰ γόνατα, προσηύξατο λέγων· κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· καὶ ὁ θεῖος δὲ Παῦλος φησὶ· λοιδορούμενοι, εὐλογοῦμεν· δυσφημούμενοι, παρακαλοῦμεν· οὐκοῦν ἀναγκαία μὲν ἡ τοιάδε παραίνεσις τῶν ἁγίων ἀποστόλων· χρησιμωτάτη δὲ καὶ ἡμῖν αὐτοῖς, εἴς γε τὸ χρῆναι βιοῦν ὀρθῶς καὶ τεθαυμασμένως· μεσὴ γάρ ἐστι πάσης φιλοσοφίας· δυσκατόρθωτον δὲ ἀποτελοῦσιν αὐτὴν ταῖς ἡμετέραις διανοίαις προλήψεις οὐκ ἀγαθαὶ, καὶ τῶν ἐν ἡμῖν ὄντων παθῶν ἡ δυσκαταγώνιστος τυραννὶς· διόπερ εἰδὼς ὡς ψυχικὸς ἄνθρωπος ταῦτα οὐ δέχεται, μωρίαν ἡγούμενος τὰ τοῦ πνεύματος λόγια καὶ ἀδύνατα εἰς κατόρθωσιν, διαιρῶν τοὺς τοιούτους ἀπὸ τῶν ἀκούειν δυναμένων, ὑμῖν λέγω φησὶ τοῖς ἀκούουσιν, καὶ ποιεῖν ἑτοίμως τὰ λεγόμενα προαιρουμένοις· τὸ γὰρ εὐδόκιμον εἰς ἀνδρείαν τὴν πνευματικὴν, ἐν τοῖς πειρασμοῖς καὶ πόνοις διαφαίνεται· μίμησαι οὖν ἐν τούτοις Χριστὸν, ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει,

πάσχων οὐκ ἠπείλει· παρεδίδου τῷ κρίνοντι δι- VI.
καίως· ἀλλ' ἴσως καὶ τὰ σαυτὸν, ἐκεῖνο ἐρεῖς· θεὸς
ἦν ὁ Χριστὸς, ἐγὼ δὲ ἄνθρωπος ἀσθενὴς, ἔχων
τὴν διάνοιαν ἀσθενῆ, καὶ ἀνικάνως ἔχουσαν πρὸς
τὸ δύνασθαι καὶ πλεονεξίας καὶ λύπης κατευ-
μεγεθῆσαι· ὀρθῶς ἐρεῖς· εὐόλισθος γὰρ ὁ ἀν-
θρώπινος νοῦς εἰς τὸ πλημμελεῖν· πλὴν ἐκεῖνο
φημὶ· οὐκ ἀφῆκε σε γυμνὸν τῆς παρ' αὐτοῦ φει-
δοῦς καὶ ἀγάπης ὁ κύριος· ἔχεις αὐτὸν ἐν σεαυ-
τῷ, ἤτοι ἐντὸς, διὰ τοῦ ἁγίου πνεύματος· οἶ-
κος γάρ ἐσμεν αὐτοῦ, καὶ ταῖς τῶν ἀγαπώντων
αὐτὸν ψυχαῖς, ἐναυλίζεται· αὐτός σε νευροῖ πρὸς
τὸ φέρειν γενναίως τὰ παρεμπίπτοντα, καὶ ταῖς
τῶν πειρασμῶν ἐμβολαῖς ἀνταγωνίστασθαι νεανι-
κῶς· μὴ νικῶ τοίνυν ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα
ἐν τῷ ἀγαθῷ τὸ κακόν.

Τέλος νόμου καὶ προφητῶν γενέσθαι Χρι- v. 29. p. 103. a.
στὸν, ὁ σοφώτατος ἔφη Παῦλος· παιδαγωγεῖ
γὰρ ὁ νόμος ἐπὶ τὸ αὐτοῦ μυστήριον· ἀλλ' ὡς
αὐτὸν ἔφη πάλιν ὁ μακάριος Παῦλος, ἐλθούσης
τῆς πίστεως, οὐκέτι ὑπὸ διαγωγὸν ἐσμὲν· οὐ
γὰρ ἔτι τὰς φρένας νηπιάζομεν, ηὐξήθη μὲν δὲ
μᾶλλον εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας
τοῦ πληρώματος τοῦ Χριστοῦ· ἔδει τοίνυν ἡμῖν
οὐ γάλακτος, τροφῆς δὲ μᾶλλον τῆς στερεωτέ-
ρας· τοῦτο ἡμῖν χαρίζεται Χριστὸς, τῆς ὑπὲρ
νόμον δικαιοσύνης ἐμφανίζων τὴν ὁδὸν· ἔφη γὰρ

VI. αὐτὸς τοῖς ἁγίοις ἀποστόλοις· ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· εἶτα, τί τὸ περιττὸν ἐν δικαιοσύνῃ τῇ κατά γε φημὶ τὸ εὐαγγελικὸν καὶ σωτήριον κήρυγμα, διειπεῖν ἀναγκαῖον· ὁ νόμος ὁ διὰ Μωϋσέως τοῖς ἀρχαιοτέροις τεθεσπισμένος διὰ τῶν ἴσων ἔρχεσθαι πραγμάτων ἐκέλευε· κεκώλυκε δὲ τὸ ἀδικεῖν, καὶ οὐχὶ δὴ μᾶλλον προηδικημένους ἀνεξικακεῖν, ὅπερ ὁ τοῦ εὐαγγελίου βούλεται νόμος· οὐ γὰρ φονεύσεις φησὶ, οὐ κλέψεις, οὐκ ἐπιορκήσεις· ἔτι τε πρὸς τούτοις, ὀφθαλμὸν ἐπὶ ὀφθαλμοῦ, χεῖρα ἐπὶ χειρὸς, πόδα ἐπὶ ποδὸς, τραῦμα ἐπὶ τραύματος, μώλωπα ἐπὶ μώλωπος· ταυτὶ δὲ κελεύοντος ἦν μὴ ἀδικεῖν ἑτέρους, ἢ γοῦν προηδικημένους, μὴ πέρα τῶν ἴσων τὰς κατὰ τὸν ἀδικήσαντα ἐκτείνειν ὀργὰς· ἀλλ' ἦν οὐ πάντως ἀρέσκουσα τῷ θεῷ τῆς κατὰ νόμον πολιτείας ἡ δυνάμις· γέγονε δὲ τοῖς ἀρχαιοτέροις ἐν τάξει παιδαγωγοῦ καταβραχὺ προσεθίζοντος εἰς δικαιοσύνην σύμμετρον, καὶ ἀναβιβάζοντος εὐφυῶς ἐπὶ τὸ τελέως ἔχειν ἀγαθὸν· γέγραπται γὰρ· ἀρχὴ ὁδοῦ ἀγαθῆς, τὸ ποιεῖν τὰ δίκαια· πᾶσα δὲ λοιπὸν τελειότης ἐν Χριστῷ καὶ τοῖς αὐτοῦ θεσπίσμασι· τῷ γὰρ τύπτοντί σε, φησὶν, ἐπὶ τὴν σιαγόνα, πάρεχε καὶ

τὴν ἄλλην· τῆς εἰς λῆξιν ἀνεξικακίας ἐν τού- VI.
τοις, ὁδὸς ἡμῖν ὑποδείκνυται· βούλεται δὲ πρὸς
τούτῳ, καὶ χρημάτων εἶναι καταφρονητὴν, ὥστε
κἂν εἰ μόνον ἱμάτιον ἔχοι, μὴ ἀφόρητον ἡγεῖ-
σθαι τὸ συναποβαλεῖν αὐτῷ καὶ τὸν χιτῶνα τυ-
χὸν· ἀρετὴ δὲ αὕτη ψυχῆς ὁλοτρόπως ἀπεστραμ-
μένης τὸ φιλόπλουτον πάθος· μὴ γὰρ ἀπαίτει,
φησὶ, τὸν αἴροντά τι τῶν σῶν· ἀλλὰ καὶ παντὶ
τῷ αἰτοῦντι σε, δίδου· ὅπερ ἀγάπης καὶ φιλο-
πτωχίας τεκμήριον· τὸν δὲ φιλοικτίρμονα, χρὴ
πάντως εἶναι καὶ ἀμνησίκακον· ὥστε καὶ τὰ φί-
λων, εἰς ἐχθροὺς ἐργάζεσθαι.

Ἀλλ' ἦν εἰκὸς οἰηθῆναι τοὺς ἁγίους ἀπο- v. 31.
στόλους τάχά που δυσκατόρθωτα εἶναι ταῦτὶ· ὁ p. 106. a.
τοίνυν πάντα εἰδὼς, τὸν τῆς ἐν ἡμῖν φιλαυτίας
δέχεται νόμον βραβευτὴν ὧν ἂν βούλοιτό τις
παρ' ἑτέρου τυχεῖν· γενοῦ τοιοῦτος, φησὶν εἰς
ἑτέρους αὐτὸς, οἱοίους περ ἂν εἶναι θέλῃς περὶ
σὲ· εἰ μὲν σκληροὺς καὶ ἀσυμβαθεῖς, θρασεῖς
καὶ ὀργίλους, μνησικάκους καὶ πονηροὺς, ἔσο
καὶ αὐτὸς τοιοῦτος· εἰ δὲ τοὐναντίον, χρηστοὺς
καὶ ἀμνησικάκους, μὴ ἀφόρητον ἡγοῦ τὸ εἶναι
τοιοῦτος· καὶ τάχα που τοῖς οὕτω διακειμένοις,
περιττὸς ὁ νόμος, ἐγγράφοντος θεοῦ ταῖς καρ-
δίαις ἡμῶν τὴν τοῦ ἰδίου θελήματος γνῶσιν· ἐν
γὰρ ταῖς ἡμέραις ἐκείναις, φησὶ κύριος, διδοὺς

VI. νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ τὴν καρδίαν αὐτῶν ἐπιγράψω αὐτούς.

p. 109. b. Μέγα τῆς ἐλεημοσύνης τὸ καύχημα· καὶ γοῦν γέγραπται, ὡς μέγα ἄνθρωπος, καὶ τίμιον ἀνὴρ ἐλεήμων· μορφοῖ γὰρ ἡμᾶς πρὸς θεὸν ἡ ἀρετὴ, καὶ τῆς ἀνωτάτω φύσεως οἱονεί τινας χαρακτῆρας ταῖς ἡμετέραις ψυχαῖς ἐνεργάζεται.

p. 110. a. Παγχάλεπον ἀποκείρει πάθος τῶν ἡμετέρων διανοιῶν, ὑπεροψίας ἀρχὴν καὶ γενέσιν· καί τοι γὰρ δέον τινὰς ἑαυτοὺς καταγινώσκεσθαι καὶ κατὰ θεὸν πολιτεύεσθαι, τοῦτο μὲν οὐ δρῶσιν, πολυπραγμονοῦσι δὲ τὰ ἑτέρων· κἂν ἀσθενοῦντας ἴδωσί τινας, ὥσπερ εἰς λήθην ἐρχόμενοι τῶν ἰδίων ἀῤῥωστημάτων, φιλοσοφίας ὑπόθεσιν ποιοῦνται τὸ χρῆμα, καὶ καταλαλιᾶς ἀφορμήν· καταψηφίζονται γὰρ αὐτῶν, οὐκ εἰδότες ὡς νοσοῦντες τὰ ἴσα τοῖς παρ' αὐτῶν διαβεβλημένοις, ἑαυτοὺς κατακρίνουσι· οὕτω που καὶ ὁ σοφώτατος γράφει Παῦλος· ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις· τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων· καί τοι μᾶλλον ἐχρῆν, ἀσθενοῦντας ἐλεεῖν, ὡς ταῖς τῶν παθῶν ἐφόδων ὑπεσπρωμένους, καὶ τοῖς τῆς ἁμαρτίας βρόχοις ἀφύκτως ἐνειλημμένους, καὶ ὑπερεύχεσθαι τῶν τούτων, καὶ παρακαλεῖν αὐτοὺς καὶ διεγείρειν εἰς νῆψιν, καὶ πειρᾶσθαι μὴ τοῖς ἴσοις περιπεσεῖν αἰτίαμασιν· ὁ γὰρ κρίνων τὸν ἀδελφὸν, καθὰ

φησὶν ὁ τοῦ Χριστοῦ μαθητὴς, καταλαλεῖ νό- VI.
μου, καὶ κρίνει νόμον· εἷς ἐστὶν ὁ νομοθέτης καὶ
κριτὴς· ἄνω γὰρ δεῖ τῆς ἁμαρτανούσης ψυχῆς
εἶναι τὸν ταύτης κριτήν· σὺ δὲ μὴ τοιοῦτος ὢν,
τί κρίνεις τὸν πλησίον; ἀπολογήσεται τῷ κριτῇ
ὁ ἁμαρτάνων· εἰ δὲ τολμᾷς κατακρίνειν, καί τοι
τούτου μὴ ἔχων τὴν ἐξουσίαν, καταικριθήσῃ μᾶλ-
λον αὐτὸς, ὡς οὐκ ἐῶντος τοῦ νόμου τὸ κρίνειν
ἑτέρους· ὅ γε μὴν συνέσει κυβερνώμενος, οὐκ εἰς
τὰς ἑτέρων ἁμαρτίας ὁρᾷ, οὐδὲ τί ἐστι τὸ φαῦ-
λον ἐν τῷ πέλας περιεργάζεται· ἄλλον τοῖς ἰδίοις
ἐνατενίζει κακοῖς· τοιοῦτο ἦν ὁ μακάριος ψαλ-
μῳδὸς, προσπίπτων θεῷ καὶ λέγων ὑπὲρ τῶν
ἰδίων ἁμαρτημάτων, ἐὰν ἀνομίας παρατήρησῃ
κύριε κύριε, τίς ὑποστήσεται; ποτὲ δὲ πάλιν τῆς
ἀνθρωπείας φύσεως τὴν ἀσθένειαν προϊσχόμενος
εὔλογον ἀπῄτει συγγνώμην, λέγων· μνήσθητι
ὡς χοῦς ἐσμέν.

Γείτονα ὥσπερ ταῖς εἰρημέναις ἐπεικείαις τὸν v. 36.
περὶ τῆς ἐλεημοσύνης ποιεῖται λόγον· ἄριστον p. 111. a.
γὰρ τὸ χρῆμα καὶ θεῷ θυμηρέστατον, καὶ ὁ-
σίαις ψυχαῖς ὅτι μάλιστα πρέπον· γίνεσθαι γάρ
φησιν οἰκτίρμονες, καθὼς ὁ πατὴρ ὑμῶν· ὡς δὲ
πλουσιωτέρᾳ χειρὶ ληψόμεθα τὴν ἀνταπόδοσιν
παρὰ τοῦ πάντα πλουσίως νέμοντος θεοῦ τοῖς
ἀγαπῶσιν αὐτὸν, αὐτὸς πεπληροφόρηκεν εἰπὼν·
μέτρον καλὸν κ. τ. λ.

VI. v. 38. Καὶ δοκεῖ μέν πως εἰσφέρεσθαι τῷ πρώτῳ τὸ δεύτερον· εἰ γὰρ μέτρον ὑπερεκχυνόμενον λη-ψόμεθα, πῶς ᾧ μέτρῳ μετροῦμεν ἀντιμετρηθή-σεται ἡμῖν; ἔοικε γὰρ ἐν τούτοις ἰσότης μᾶλ-λον οὐ πλεονασμὸς εἶναί τις τῆς δοθεισομένης ἡμῖν ἀμοιβῆς· τί οὖν ἄρα φαμὲν; ἀπαλλάξει πραγμάτων ἡμᾶς ὁ σοφώτατος Παῦλος, τῶν ζη-τουμένων τὴν λύσιν ἐπενέγκων· ἔφη γὰρ, ὡς ὁ σπείρων φειδομένως ἀντὶ τοῦ, συμμέτρως καὶ συνεσταλμένῃ χειρὶ, φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θε-ρίσει· τουτέστι, εἰ δέ τις μὴ ἔχοι, οὐχ' ἥμαρ-τε τοῦτο μὴ δρῶν· καθὸ γὰρ ἂν ἔχοι, εὐπρόσ-δεκτος, οὐ καθὸ οὐκ ἔχει· τοῦτο καὶ ὁ διὰ Μωϋ-σέως ὑπετύπου νόμος· προσεκόμιζον γὰρ εἰς θυ-σίαν τῷ θεῷ, τὸ καλὰ χεῖρα τὲ καὶ ἰσχὺν, ἕκα-στος τῶν ὑπὸ τὸν νόμον· οἱ μὲν μόσχους, οἱ δὲ κριοὺς, ἢ ἀμνοὺς, ἢ τρυγόνας, ἢ περιστερὰς, ἢ σεμίδαλιν ἐλαιοβρεχῆ· πλὴν ὁ καὶ τοῦτο προσ-άγων τὸ οὕτω μικρὸν καὶ εὐπόριστον, διὰ τὸ μό-σχον μὴ ἔχειν, ἴσος ἦν ἐκείνῳ κατὰ προθεσιν.

v. 39. Ἀναγκαιοτάτην ταύτην τῶν εἰρημένων προσ-έθηκε τὴν παραβολὴν· ἔμελλον ἔσεσθαι μυστα-γωγοὶ καὶ διδάσκαλοι τῆς ὑπὸ οὐρανὸν οἱ μα-κάριοι μαθηταὶ· ἔδει τοίνυν αὐτοὺς, ἀρτίως ἔχον-τας εἰς εὐσέβειαν ἀναφαίνεσθαι τῶν ἁπάντων, ἐχρῆν εἰδέναι τῆς εὐαγγελικῆς πολιτείας τὴν ὁ-

δὸν, καὶ τεχνίτας εἶναι πρὸς πᾶν ἔργον ἀγα- VI.
θὸν, καὶ τὸν ἀκριβῆ καὶ σωτήριον καὶ ἀποξε-
σμένον εἰς ἀλήθειαν ἐνιέναι λόγον τοῖς πεπαι-
δευμένοις· ὡς ἤδη προεβλέψαντας, καὶ τῷ θείῳ
φωτὶ καταλαμπομένην τὴν διάνοιαν ἔχοντας· ἕως
μὴ τυφλοὶ τυφλῶν εἶεν ὁδηγοὶ, κἂν εἰ γένοιτο
προελθεῖν εἰς τοῦτό τινας ὥστε καὶ ἰσάμιλλον
τοῖς παιδεύουσι κατακτήσασθαι τὴν ἀρετὴν, ἐκ-
τὸς τῶν διδασκόντων στήσονται μέτρων, ἐκείνων
ἔσονται μιμηταὶ· καὶ πιστώσει πάλιν ὁ Παῦ-
λος, λέγων· μιμηταὶ γίνεσθε καθὼς κἀγὼ Χρι-
στοῦ· τοῦ τοίνυν διδασκάλου μήπω κρίνοντος,
τί κρίνεις αὐτὸν; οὐ γὰρ ἦλθε κρῖναι τὸν κό-
σμον, ἀλλ' ἐλεῆσαι.

Κατὰ δέ γε τὴν προτέραν διάνοιαν, εἰ ἐγώ
φησιν οὐ κρίνω, μὴ δὲ σὺ ὁ μαθητὴς· εἰ δὲ καὶ
μείζοσιν ἐνέχῃ ἐφ' οἷς ἕτερον κρίνεις, πῶς οὐκ
ἂν αἰσχυνθείης εἰς αἴσθησιν ἐλθὼν; τοῦτο διὰ
παραβολῆς ἑτέρας ὁ κύριος παρίστη λέγων· τί
δὲ βλέπεις τὸ κάρφος κ. τ. λ.

Ἐξ ἀναγκαίων ἡμᾶς ἀναπείθει συλλογισμῶν, v. 41.
ἀποσχέσθαι μὲν τοῦ βούλεσθαι κρίνειν ἑτέρους,
τὰς ἑαυτῶν δὲ μᾶλλον καρδίας περιεργάζεσθαι,
καὶ τῶν ἐνόντων αὐταῖς παθῶν ἀπαλλάττεσθαι
ζητεῖν, αἰτοῦντας τοῦτο παρὰ θεοῦ· αὐτὸς γάρ
ἐστιν ὁ ἰώμενος τοὺς συντετριμμένους τὴν καρ-
δίαν, καὶ ψυχικῶν ἡμᾶς νοσημάτων ἐλευθερῶν·

VI. τί γὰρ εἰ νοσῶν αὐτὸς τὰ ἔτι μείζω καὶ χαλεπώτερα τῶν ὄντων ἐν ἑτέροις, ἀφεὶς τὰ κατὰ σαυτὸν ἐκείνοις ἐπιτιμᾶς; οὐκοῦν ἅπασι μὲν τοῖς ἐθέλουσιν εὐσεβεῖν, ἀναγκαία εἰς ὄνησιν ἡ ἐντολή, μάλιστα δὲ τοῖς τὸ διδάσκειν ἑτέρους ἐγχειρισμένοις· εἰ μὲν γὰρ εἶεν ἀγαθοὶ καὶ νηφάλιοι, καθάπερ εἰκόνα ζωῆς εὐαγγελικῆς τὰ καθ' ἑαυτοὺς ἐνστήσαντες, τοῖς μὴ τὰ ἴσα δρᾶν ἑλομένοις εὐπροσώπως ἐπιτιμήσουσι, ὡς μὴ τοὺς ἐνούσης αὐτοῖς ἐπεικείας ἀνεμάξαντας τρόπους· εἰ δὲ ῥάθυμοί τινες εἶεν, καὶ ταῖς εἰς τὸ φαῦλον ἡδοναῖς εὐάλωτοι, πῶς ἂν ἑτέροις τὰ ἴσα νοσοῦσιν ἐπιτιμήσειαν; διὰ τοῦτο σοφῶς οἱ μακάριοι μαθηταὶ γεγράφασί τε καὶ λέγουσι· μὴ πολλοὶ διδάσκαλοι γίνεσθαι ἀδελφοί μοι, εἰδότες ὡς μεῖζον κρῖμα ληψόμεθα, ὡς ἔφη Χριστὸς, ὁ τῶν στεφάνων διανομεὺς καὶ τοῖς πλημμελοῦσι τὰς δίκας ἐπάγων· ὃς ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὁ δὲ μὴ ποιήσας καὶ διδάξας, ἐλάχιστος· ἐπεὶ, πῶς ὁ πολλαῖς καὶ μεγάλαις ἐσθ' ὅτε καταπνιγόμενος ἁμαρτίαις κατακρίνεις τὸν ὀλίγοις ἔνοχον πταίσμασι; πῶς ἐρεῖς τῷ ἀδελφῷ σου, ἄφες ἀναβάλω τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ σου, αὐτὸς τὴν δοκὸν ἔχων ἐν σεαυτῷ, ὁ μεγάλαις ἁμαρτίαις ἔνοχος; τοῦτο γὰρ ἡ δοκὸς σημαίνει· πῶς κατακρίνεις τὸν

ὀλίγα παντελῶς ἢ καὶ ἔσθ' ὅτε μηδὲν ἡμαρτη- VI.
κότα;

Τουτέστι, σαυτὸν ἐπίδειξον καθαρὸν τῶν με- v. 42.
γάλων ἁμαρτημάτων, καὶ τότε σύμβουλος ἔσῃ
τῷ πλαίοντι μικρά· οὐκοῦν ἑαυτῷ μὲν ἔσται δι-
δάσκαλος ὁ σοφὸς, ἑτέρου δὲ οὐ κατακρινεῖ·
τοῦτο γὰρ καὶ ὁ νόμος ὁ διὰ Μωϋσέως παραγ-
γέλλει, λέγων· πρόσεχε φησὶ σεαυτῷ, οὐχ' ἑτέ-
ρῳ· τὸ δὲ πρόσεχε, ἀντὶ τοῦ περιβλέπου τὰ κα-
τὰ σαυτόν.

Ἀλλ' ὦ δέσποτα, φαίη ἂν οἶμαί τις, πῶς p. 111. b.
ἄρα διαγνωσόμεθα τὸν ἔχοντα μὲν ἐν ὀφθαλ-
μῷ τὴν δοκὸν, ἐπιπλήττοντα δὲ τοῖς κάρφον
ἔχουσι καὶ ἀσθενοῦσιν ἐκ μέρους; χαλεπὸν οὐ-
δὲν ἐν τούτῳ φησὶ, πρόκειται γὰρ τοῖς ἐθέλου-
σιν εὐκόλως ἰδεῖν.

Οὐκοῦν ὁ ἑκάστου βίος τῶν αὐτοῦ τρόπων v. 43.
ἔσται παραδεικτικὸς· οὐ γὰρ τοῖς ἔξωθεν ὡραϊ-
σμοῖς, καὶ πεπλασμέναις ἐπιεικείαις τὸ τῆς ἀλη-
θοῦς εὐζωΐας χαρακτηρίζεται κάλλος, ἀλλ' ἐξ
ὧν ἂν ἐργάσαιτό τις· τοῦτο πάλιν ἔφη που ὁ
Χριστὸς, προσέχετε ἀπὸ τῶν ἐρχομένων πρὸς
ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι
λύκοι ἅρπαγες· ἰδοὺ δὴ πάλιν οὐκ ἐκ τῶν ἐν-
δυμάτων, ἀλλ' ἐξ ὧν εἰσι κατὰ ἀλήθειαν οἱ
πρὸς ἡμᾶς ἐρχόμενοι, διαγινώσκεσθαι δεῖν αὐ-

VI. τοὺς ἐπιτάττει Χριστὸς· ἀπὸ γὰρ τοῦ καρποῦ, φησὶ, τὸ δένδρον γινώσκεται.

v. 44. Ὥσπερ ἐστὶν ἀμαθὲς τὸ ἐν ἀκάνθαις ζητεῖν τὰ τῶν ὡρίμων ἐξαίρετα, σταφυλήν τε φημὶ καὶ σύκον, οὕτω καταγέλαστον ἐννοεῖν ἐν ὑποκρίταις καὶ βεβήλοις εὑρεῖν δύνασθαί τι τῶν τεθαυμασμένων, ἤγουν ἀρετῆς εὐγένειαν· τούτους καὶ τριβόλους καὶ βάτους φαίη τίς ἂν· παρὰ τοῖς τοιούτοις, γλυκὺ μὲν οὐδὲν, πικρὰ δὲ πάντα καὶ δυσγενῆ· οὐ γὰρ ἐν ἀκάνθαις φύεται σύκον, οὐδὲ ἐν βάτῳ τίκτεται σταφυλὴ· οὐκοῦν οὐκ ἀπό γε τῶν σχημάτων, ἀλλ' ἐξ αὐτῶν τῶν ἑκάστῳ βεβιωμένων, διαγνωστέον τὸν διδάσκαλον.

v. 45. p. 112. a. Ἀποδείξας ἐν τοῖς προλαβοῦσι, πόθεν ἂν διαγνωσθείη ὁ ἀγαθὸς καὶ ὁ πονηρὸς, ὡς ἐπὶ τῶν ἔργων, ὡς τὸ δένδρον ἐξ τοῦ καρποῦ, νῦν καὶ δι' ἑτέρου σημείου τοῦτο κατασκευάζει· ὁ μὲν γὰρ ἀγαθός, φησιν, ὡς ἐξ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας, πηγάζει τὰ ἀγαθὰ· ὁ δὲ μὴ οὕτως ἔχων, φαυλότητι δὲ καὶ πονηρίᾳ κεκρατημένον ἔχων τὸν νοῦν, ἐνδώσει πάντως τὰ ἐν τῷ βάθει κεκρυμμένα· τὰ γὰρ εἰς νοῦν καὶ καρδίαν ἐπιπηδᾷ, διὰ τοῦ πρὸς τὰ ἄνω τρέχοντος λόγου.

Οὐκοῦν ὁ χρηστὸς τοὺς τρόπους, τὰ αὐτῷ πρέποντα λαλεῖ· ὁ δὲ φαῦλος τὲ καὶ πονηρὸς, τὴν ἐν τῷ βάθει κειμένην ἀκαθαρσίαν ἐρεύξεται.

Μόνῃ μέν τοι πρέπει τῇ πάντων ἐπέκεινα καὶ ἀνωτάτω φύσει τὸ τῆς κυριότητος ὄνομά τε καὶ πράγματα· κρατεῖ γὰρ καὶ κατεξουσιάζει τῶν ὅλων· εἷς γὰρ κύριος, μία πίστις, ἓν βάπτισμα· καὶ αὖθις, εἴ περ εἰσὶ θεοὶ πολλοὶ καὶ κύριοι πολλοὶ ἔν τε οὐρανῷ καὶ ἐπὶ γῆς, ἀλλ' ἡμῖν εἷς θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα· καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα· μόνον οὖν εἰδότες τὸν φύσει τε καὶ ἀληθῶς κύριον, τὸν συμβασιλεύοντα τῷ θεῷ καὶ παῖδα θεοῦ λόγον, οὕτως αὐτὸν ὀνομάζομεν· ἀλλὰ τί δῆτα φησὶ καλεῖτε κύριον, οὐ ποιεῖτε δὲ ἃ λέγω; ἀληθὲς γὰρ τὸ δι' ἑνὸς τῶν ἁγίων προφητῶν εἰρημένον· εἰ πατὴρ εἰμὶ ἐγὼ, ποῦ ἦν ἡ δόξα μου; καὶ εἰ κύριος εἰμὶ ἐγὼ, ποῦ ἐστιν ὁ φόβος; υἱὸς δοξάζει πατέρα, καὶ δοῦλος τὸν κύριον αὐτοῦ, λέγει κύριος παντοκράτωρ· ἐπισφαλὲς οὖν ἄρα καὶ τῆς ἐσχάτης ἄξιον δίκης, τὸ μὴ ὑποκεῖσθαι θέλειν τῷ τῶν ὅλων κρατοῦντι Χριστῷ· κατίδῃ δ' ἄν τις ἐκ πολλῶν μὲν καὶ ἄλλων, κἀκ τῶνδε μέν τοι· τὸν μὲν γὰρ γνήσιον οἰκέτην, ἐξαιρέτοις τιμαῖς στεφανούμενον, τὸν δὲ ἀπειθῆ καὶ ῥάθυμον, εἰς τὸ σκότος δραμόντα τὸ ἐξώτερον· οἱ γὰρ λαβόντες τὰ τάλαντα, καὶ διπλασιάσαντες τῷ δεσπότῃ τὸ δοθὲν, ἐπαίνοις τετίμηνται· τόν γε μὴν εἰς γῆν καταχώσαντα τὸ δοθὲν ὡς ῥάθυμον, σκληρᾷ καὶ ἀφύ- VI. v. 46.

VI. κτῳ περιβέβληκε δίκῃ· κἀκεῖνο δὲ οἶμαι τῶν εἰρημένων προσεπενεχθῆναι δεῖ· ἐν γὰρ τῷ βούλεσθαι τοῖς τοῦ σωτῆρος ἡμῶν ὑποκεῖσθαι λόγοις, καὶ δουλεύειν αὐτῷ, τὸ τῆς ἐλευθερίας ἀξίωμα διὰ τῶν αὐτοῦ πάλιν νευμάτων καταπλουτήσομεν· ἔφη γοῦν τοῖς πιστεύσασιν εἰς αὐτὸν· ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μου ἐστὲ, καὶ γνώσεσθε τὴν ἀλήθειαν· καὶ ἡ ἀλήθεια ἐλευθεροῖ ὑμᾶς· οὐκοῦν τῆς ἐλευθερίας τὴν δόσιν διὰ τῆς ὑπακοῆς κερδαίνομεν· τοῦτο δέ ἐστιν ἡ ὑπ' αὐτῷ δουλεία· τοῦτο καὶ υἱοὺς ἡμᾶς ἀποτελεῖ καὶ κληρονόμους θεοῦ, καὶ συγκληρονόμους αὐτοῦ τοῦ Χριστοῦ· καὶ αὐτός σε πάλιν πιστώσεται λέγων· πᾶς ὁ ποιῶν ἁμαρτίαν, δοῦλος ἐστὶν τῆς ἁμαρτίας· ὁ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα· ὁ υἱὸς μένει εἰς τὸν αἰῶνα· ἐὰν οὖν ὁ υἱὸς ὑμᾶς ἐλευθερώσῃ, ὄντως ἐλεύθεροι ἐστὲ· οὐκοῦν εἰ δεσπότην ὀνομάζομεν τὸν τῶν ὅλων σωτῆρα Χριστὸν, ποιῶμεν ἃ λέγει· οὐ πᾶς γάρ φησιν ὁ λέγων μοι κύριε κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς.

Ὁποία γε μὴν ἡ ὄνησις ἐν τῷ βούλεσθαι τηρεῖν τὰ προστεταγμένα, τί δ' ἂν γένοιτο βλάβος ἐν τῷ μὴ ὑποτάττεσθαι θέλειν, αὐτὸν ἐδί-

δαξεν ὁ σωτὴρ εἰπὼν· πᾶς ὁ ἐρχόμενος πρός με VI.
κ. τ. λ.

Ὁ γὰρ εὐπειθὴς καὶ εὐάγωγος, οὐκ ἀκροατὴς νόμου γενόμενος μᾶλλον, ἀλλὰ ποιητὴς ἔργων, ἑδραιοτάτην ἕξει τὴν στάσιν, τὴν ἐν παντὶ πράγματι καλῷ τε καὶ ἀγαθῷ· ἔσται δὲ οἰκία παραπλήσιος ἱδρυμένῃ καλῶς, καὶ ἀκατάσειστον ἐχούσῃ τὸν θεμέλιον· ὥστε κἂν χειμάρρου δίκην ἅ τοι πλημμύρας ὕδατων προσβάλωσιν οἱ πειρασμοὶ, καὶ ἡ τῶν ἐν ἡμῖν παθῶν ἀγριότης, πείσεται τῶν ἀπευκτῶν οὐδέν· ὁ δὲ μόνην ὑπέχων τὴν ἀκοὴν οἷς ἂν λέξοι Χριστὸς, ἀπόθετον δὲ εἰς νοῦν ἔχων οὐδέν, οὔτε μὴν καλ-
ορθώσας τί τῶν κεκελευσμένων, ἔσται πάλιν οἰκίᾳ προσεοικὼς ἑτοιμοτάτῃ πρὸς πτῶσιν· καταενεχ-
θήσεται γὰρ ἐφ' ἃ μὴ θέμις, κατερεθιζούσης ἡδονῆς, καὶ εἰς τοὺς τῆς ἁμαρτίας ἐκφερούσης βόθρους. v. 48. p. 112. b.

Ἀθλίους δὲ ποιεῖ τοὺς ἀνθρώπους ἡ περὶ τοὺς πόνους ὀλιγωρία, καὶ τὸ τῆς κρίσεως σαθρὸν καὶ ἀβέβαιον· οὗτοι εἰσὶν οἱ τοῖς μωροῖς ὁμοιωθέντες, οἱ ἐπὶ τῆς ψάμμου τῆς κατὰ τὴν γνώμην ἀβεβαιότητος, τὸν θεμέλιον τῆς πνευματικῆς τιθέντες οἰκοδομῆς· ὃν ὀλίγαι ψεκάδες πειρασμῶν, καὶ βραχὺς χειμάρρους τῶν τοῦ πονηροῦ προσπαιγμάτων ὑφελκύσας, τὴν ὑποβάθραν διέλυσέ τε καὶ διεσκόρπισε, μὴ

VI. δὲ ὀλίγον ἐπισχόντα πρὸς τὴν βροχὴν καὶ τὰ πνεύματα.

CAP. VII.

VII. v. 10. p. 114. a. Ὁσία δὴ οὖν ψήφῳ θεοῦ, τῆς μὲν πρὸς αὐτὸν οἰκειότητος ἀπώλισθεν ὁ Ἰσραὴλ· ἀνῳσθεὶς δὲ καὶ προσελήφθη τὰ ἔθνη· ἑτοιμοτέραν ἔχοντα τὴν καρδίαν εἰς τὸ πιστεύειν εἰς αὐτόν· καὶ πιστώσεται πάλιν ἡμᾶς τοῦτο λέγων ὁ θεσπέσιος μελῳδὸς περὶ αὐτῶν· ποτὲ μὲν, ὡς τὴν ἑτοιμασίαν τῆς καρδίας αὐτῶν, προσέσχε τὸ οὖς σου· ποτὲ δὲ, ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν· μετὰ ταῦτα, ἐτάχυναν· εἰ γὰρ καὶ πολλαῖς ἁμαρτίαις ἦσαν βεβαρημένοι, ἀλλ' ὅμως ἐτάχυναν πρὸς παροδοχὴν τῶν Χριστοῦ παιδευμάτων· περὶ δέ γε τοῦ Ἰσραὴλ προφητικός φησι λόγος· ἀπώσεται αὐτοὺς ὁ θεὸς ὡς οὐκ εἰσήκουσαν αὐτοῦ, καὶ ἔσονται πλανῆται ἐν τοῖς ἔθνεσιν.

v. 11. p. 115. b. Ὅρα δὲ πῶς παραδόξοις συνείρει παράδοξα· καὶ ἐκεῖ μὲν καλούμενος, ἁπαντᾷ· ἐνταῦθα μὴ καλούμενος, παραγίνεται· οὐδεὶς γὰρ αὐτὸν ἐκάλει ἐπὶ νεκροῦ ἀνάστασιν, ἀλλ' αὐτόκλητος ἐπὶ ταύτην ἀφικνεῖται· οἰκονομικώτατα δέ μοι δοκεῖ, τῷ πρώτῳ συνάψαι καὶ τοῦτο· οὐδὲν γὰρ ἦν τὸ ἀπεικὸς ἐννοεῖν, ὡς ἐνστήσεταί τις ἔσθ'

ὅτε τῇ τοῦ σωτῆρος δόξῃ μαχόμενος· εἶτα λέ- VII.
γων, τί τὸ θαῦμα ἐπί γε τῷ παιδὶ τοῦ ἑκατον-
τάρχου τετελεσμένον· ἄῤῥωστος ἦν, οὐ πάντως
ἔμελλε τελευτᾶν, καὶ τοῦτο γέγραφεν ὁ εὐαγ-
γελιστὴς, τὰ πρὸς χάριν μᾶλλον ἢ τὰ πρὸς ἀλή-
θειαν ἀφηγούμενος· ἕως τοίνυν τὴν ἀκόλαστον
τῶν τοιούτων ἀποφράξῃ γλῶσσαν, τεθνεῶτι τῷ
νεανίσκῳ Χριστὸν ὑπανστῆσαι φησὶ· μονογενεῖ υἱῷ
χήρας, ἐλεεινὸν το πάθος καὶ θρῆνον κινῆσαι
δυνάμενον, καὶ δακρύων ἀφορμὰς· εἵπετο δὲ τῷ
πάθει μεθύουσα καὶ παρειμένη λοιπὸν ἡ γυνὴ,
καὶ πολλοὶ σὺν αὐτῇ.

Διὰ τί δὲ οὐ λόγῳ μόνον ἐπλήρου τὸ θαῦ- v. 14.
μα, ἀλλὰ καὶ ἥψατο τῆς σοροῦ; ἵνα γνοίης ὡς
ἔστιν ἐνεργὲς πρὸς σωτηρίαν ἀνθρώπου τὸ ἅγιον
σῶμα Χριστοῦ· σῶμα γάρ ἐστι ζωῆς, καὶ σὰρξ
τοῦ πάντα ἰσχύοντος λόγου καὶ τὴν αὐτοῦ πε-
φόρηκε δύναμιν· ὥσπερ γὰρ σίδηρος ὁμιλήσας
πυρὶ, τὰ πυρὸς ἐνεργεῖ, καὶ τὴν αὐτοῦ χρείαν
πληροῖ, οὕτως ἐπειδήπερ ἰδία γέγονε τοῦ λό-
γου ἡ σὰρξ τοῦ τὰ πάντα ζωογονοῦντος, ταύτῃ
τοι ζωοποιός τι καὶ αὐτὴ, καὶ θανάτου καὶ
φθορᾶς ἀναιρετικὴ· ζωοποιὸν γὰρ τὸ σῶμα Χρι-
στοῦ εἶναι πιστεύομεν· ἐπείπερ ἐστὶ τοῦ ζῶντος
λόγου ναός τε καὶ ἐνδιαίτημα, πᾶσαν ἔχον αὐ-
τοῦ τὴν ἐνέργειαν· οὐκ ἠρκέσθη τοίνυν μόνῳ τῷ
προστάξαι, καί τοι λόγῳ κατορθοῦν εἰθισμέ-

VII. νος ὅσα περ ἂν βούλοιτο, ἀλλ' ἐπεῖθει τῇ σορῷ καὶ τὰς χεῖρας, δεικνὺς ὡς καὶ τὸ σῶμα αὐτοῦ, τὴν ζωοποιὸν ἐνέργειαν ἔχει.

v. 16. Μέγα καὶ τοῦτο παρά γε ἀναισθήτῳ εὐχαρίστῳ λαῷ, μικρὸν γὰρ ὕστερον οὐδὲ προφήτην οὐδὲ εἰς ἀγαθὸν τοῦ λαοῦ πεφηνότα νομίζουσιν αὐτὸν· ἀλλὰ τὸν θανάτου καταλύτην, θανάτῳ παραδίδωσιν, οὐκ εἰδότες ὅτι τότε δὴ τότε κατέλυε θάνατον, ἡνίκα ἐφ' ἑαυτοῦ τὴν ἀνάστασιν ἐποιήσατο.

v. 17. p. 116. a. Ἔλαθε τὸ παράδοξον τοῦ θαύματος οὐδένα τῶν ἐν ὅλῃ τῇ Ἰουδαίᾳ· ἀπαγγέλλουσι δὲ τοῦτο καὶ αὐτῷ τῷ ἁγίῳ Βαπτιστῇ τῶν ἐπιτηδείων τινὲς ἤτοι τῶν μαθητῶν αὐτοῦ· ὁ δὲ δύο τινὰς ἀπολέγδην ἀποκρίνας τῶν ἄλλων, πέμπει πρὸς τὸν Ἰησοῦν, ἐρομένους αὐτὸν, εἰ αὐτός ἐστιν ὁ ἐρχόμενος, ἢ γοῦν ἕτερον προσδοκᾶσθαι χρή· οὐκ ἠγνόησε γε μὴν ὁ μακάριος Βαπτιστὴς τὸν ἐνανθρωπήσαντα τοῦ πατρὸς λόγον· μὴ τοῦτο ὑπολάβῃς· ἤδει γὰρ καὶ μάλα σαφῶς, ὅτι αὐτός ἐστιν ὁ ἐρχόμενος· εἰργάζετο δέ τι σοφὸν καὶ εὐμήχανον, καὶ ὅπερ ἦν εἰκὸς οὐ μετρίως ὀνήσειν τοὺς ὑπ' αὐτοῦ μαθητευομένους· οἱ μὲν γὰρ οὔπω Χριστὸν ἰδόντες, ἤτοι τὴν δύναμιν αὐτοῦ, καὶ τὴν κατὰ πάντων ὑπεροχὴν, ἠρέμα πῶς καὶ ὑποδάκνοντο, θαυματουργοῦντος αὐτοῦ καὶ ταῖς τῶν δρωμένων ὑπερβολαῖς νικῶντος τὸν Βα-

πτιστὴν· καὶ δὲ προσῆεσάν ποτε, φθόνῳ τὲ καὶ VII.
λύπῃ κατατετηγμένοι, καὶ νοσημάτων ἰουδαϊκῶν οὐκ ἀμοιροῦσαν ἔχοντες τὴν καρδίαν· ἔφασκόν τε τῷ μακαρίῳ Βαπτιστῇ· ῥαββὶ, ὃς ἦν μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτὸν· οὐ γὰρ ἤθελον ἕτερόν τινα βαπτίζειν ὅλως, καὶ τῆς Ἰωάννου κατεπαίρεσθαι τιμῆς· ἐδιδάσκοντο δὲ παρ' αὐτοῦ τῆς Χριστοῦ δόξης τὸ ὑπερκείμενον, καὶ τὴν ἀπαράβλητον ὑπερβολὴν· ἤκουον γὰρ λέγοντος αὐτοῦ, αὐτοὶ ὑμεῖς μαρτυρεῖτε ὡς εἶπον· ἐγὼ οὐκ εἰμὶ ὁ Χριστὸς, ἀλλ' ὅτι ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου· ὁ ἔχων τὴν νύμφην, νυμφίος ἐστὶν· ὁ δὲ φίλος τοῦ νυμφίου, ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ τῆς φωνῆς, χαρᾷ χαίρει διὰ τὴν χαρὰν τοῦ νυμφίου· αὕτη οὖν ἡ ἐμὴ χαρὰ πεπλήρωται· ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι· καὶ οὐ δή που φαμὲν ὡς ἐλάττων ἑαυτοῦ γέγονε· κατά τι γοῦν ὅλως ὁ μακάριος Βαπτιστὴς, προσθήκην ἀεὶ δεχομένης τῆς δόξης τοῦ Χριστοῦ, παρά γε τοῖς πιστευούσιν εἰς αὐτὸν· ἐπειδὴ δὲ ἐν τοῖς τῆς ἀνθρώποτητος μέτροις μεμένηκεν ὁ μακάριος Ἰωάννης, οὐ γὰρ ἦν ἑτέρωσέ ποι προελθεῖν αὐτὸν δύνασθαί ποτε· θεὸς δὲ ὢν φύσει, καὶ ἐκ θεοῦ πατρὸς ἀπορρήτως γεγεννημένος ὁ ἐνανθρωπήσας λόγος, εἰς δύναμιν ἀεὶ τὴν αὐτῷ

VII. πρέπουσαν ἐνφοιτῶν, παρὰ πάντων ἐθαυμάζετο· ταύτῃ τοι φησὶ· ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι· τοῦ γὰρ ἀεὶ προκόπτοντος, ὁ ἐν ταυτότητι μένων, ἐλαττοῦσθαι δοκεῖ, ἕως τοίνυν βεβαίαν ἐργάσηται πίστιν, εἰς αὐτὸν δηλονότι τοῖς ἔτι ὁ κλάζουσι, καὶ οὔπω πεπληροφορημένοις ὡς αὐτὸς εἴη Χριστὸς, προσποιεῖται τὴν ἄγνοιαν· εἶτα πέμπει πρὸς αὐτὸν ἐρομένους καὶ λέγοντας· σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; ἐρχόμενος δὲ ποῦ; φαῖεν ἂν ἴσως τινες· καὶ δοκεῖ μέν τισι, τοιοῦτόν τι νοεῖν· ἐπειδὴ γὰρ ἔμελλέ φησι πρὸ τοῦ τιμίου σταυροῦ τὸν ἐκ τῆς Ἡρώδου σκαιότητος θάνατον ὑπομένειν ὁ Βαπτιστὴς, προαποδημεῖν δὲ ὥσπερ Χριστοῦ, καὶ τῆς εἰς τὸν ᾅδην ἀφίξεως προβαδίζειν ὡς πρόδρομος, ἐρωτᾷ φησὶ, εἰ αὐτὸς ἔξει κἀκεῖσε, λυτρωσάμενος τοὺς ἐν σκότῳ καὶ σκιᾷ θανάτου; ἔκβλητος δὲ παντελῶς, ἡ τοιάδε δόξα· οὐδαμοῦ γὰρ εὑρήσομεν τὴν θεόπνευστον γραφὴν, ἀπαγγείλασαν· ὡς καὶ τοῖς ἐν ᾅδῃ πνεύμασι προκατήγγειλε τοῦ σωτῆρος τὴν ἄφιξιν ὁ μακάριος Βαπτιστὴς· ἀληθὲς δὲ κἀκεῖνο εἰπεῖν· ὅλην γὰρ ἅπαξ οὐκ ἠγνοηκὼς τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ μονογενοῦς τὴν δύναμιν, ᾔδει πάντως που ἐστὶ τῶν ἄλλων, ὡς καὶ τοὺς ἐν ᾅδῃ λυτρώσηται, καὶ αὐτοῖς ἐπιλάμψει· χάριτι θεοῦ ὑπὲρ παντὸς γενόμενος θανάτου, ἕως, ὡς Παῦ-

λος φησὶ, καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ· τί VII.
οὖν ἄρα βούλεται νοεῖν, ἐρωτῶν καὶ λέγων, σὺ
εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; ἔφην,
ὡς πλάττεται τὴν ἄγνοιαν οἰκονομικῶς, οὐχ ἵνα
μάθοι μᾶλλον αὐτὸς, ᾔδει γὰρ ὡς πρόδρομος
τὸ μυστήριον, ἀλλ' ἵνα πληροφορηθεῖεν οἱ αὐ-
τοῦ μαθηταὶ, ὅση τίς ἐστιν ἡ τοῦ σωτῆρος ὑπερ-
οχὴ, καὶ ὡς τῆς θεοπνεύστου γραφῆς ὁ λόγος,
τὸν μὲν ὡς θεὸν καὶ κύριον ἥξοντα, προμεμήνυ-
κεν· οἱ δὲ ἄλλοι πάντες ἦσαν οἰκέται, προαπε-
σταλμένοι δεσπότου, ἑτοιμάζοντες τὴν ὁδὸν κυ-
ρίου, καθὰ γέγραπται· ἐκλήθη τοίνυν διὰ τῶν
προφητῶν ὁ ἐρχόμενος, ὁ τῶν ὅλων σωτὴρ καὶ
κύριος· ψάλλει γοῦν ὁ προφήτης Δαβὶδ, καὶ
φησὶν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυ-
ρίου, τουτέστιν ἐν δόξῃ θεοπρεπεῖ, καὶ ἐν κυ-
ριότητι καὶ ὑπεροχῇ τῇ πάντων ἐπέκεινα· καὶ
τοῦτο πάλιν αὐτὸς καταμεμήνυκεν ἑφεξῆς, εἰ-
πών· θεὸς κύριος, καὶ ἐπέφανεν ἡμῖν· ἦλθε μὲν
γὰρ Μωϋσῆς, καὶ μετ' αὐτὸν ἐστρατήγησε τῶν
ἐξ Ἰσραὴλ Ἰησοῦς ὁ τοῦ Ναυῆ· καὶ καθεξῆς,
οἱ μακάριοι προφῆται, καὶ οὐδεὶς ἐκείνων ἐν
ὀνόματι κυρίου τοῖς ἐπὶ γῆς ἐπιλάμψαι λέγε-
ται· θεὸς δὲ κύριος ὢν φύσει καὶ ἀληθῶς ὁ μο-
νογενὴς τοῦ θεοῦ λόγος, ἐπέφανεν ἡμῖν· οὕτως
αὐτὸν ὁ θεὸς καὶ πατὴρ ὠνόμαζε, λέγων Ἀβ-
βακοὺμ τῷ προφήτῃ· ἔτι μικρὸν ὁ ἐρχόμενος,

VII. ἥξει καὶ οὐ χρονιεῖ· ναὶ μὴν καὶ δι' ἑτέρου προφήτου πάλιν ὧδε φησὶν ὁ μονογενὴς τοῦ θεοῦ λόγος· χαῖρε καὶ εὐφραίνου θύγατερ Σιὼν, ὅτι ἰδοὺ ἐγὼ ἔρχομαι, καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει κύριος· καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν κύριον, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· καὶ ἔσομαι αὐτῶν θεὸς, καὶ αὐτοὶ, ἔσονταί μοι λαός· ὃ δὴ καὶ εἰς πέρας ἐκβεβηκὸς, δι' αὐτῶν ἐστὶν ἰδεῖν τῶν πραγμάτων· οὐκοῦν ὡς ἔκ γε τῆς θεοπνεύστου γραφῆς τὸ ὄνομα λαβὼν ὁ θεσπέσιος Βαπτιστὴς, ἐρομένους ἀπέστειλεν τῶν αὐτοῦ γνωρίμων τινὰς, εἰ αὐτός ἐστιν ὁ ἐρχόμενος.

v. 21. p. 116. b. Εἰδὼς τοίνυν ἅτε θεὸς ὢν τὴν διάνοιαν, μεθ' ἧς αὐτοὺς ἔπεμψεν ὁ Ἰωάννης, καὶ τὴν οἰκονομίαν τοῦ πράγματος, καὶ τὴν αἰτίαν τῆς ἐκείνων ἀφίξεως, κατ' ἐκεῖνο δὴ μάλιστα τοῦ καιροῦ, πολλαπλασίως τῶν ἤδη γεγενημένων εἰργάζετο τὰς θεοσημείας, καὶ πολλοὺς ἐθεράπευσεν· οὐκ ἐκεῖνον διδάσκων, πῶς γὰρ τὸν πεπεισμένον; ἀλλὰ τούτους τοὺς ἀμφιβάλλοντας· γεγονότες οὖν ἄρα τῆς ἐνούσης μεγαλοπρεπείας ἐπόπται καὶ θεωροὶ, καὶ πολὺ τὸ θαῦμα τῆς ἐνούσης αὐτῷ δυνάμεώς τε καὶ ἐνεργείας ἐν ἑαυτοῖς συλλέξαντες, προσάγουσι τὴν ἐρώτησιν, ὡς ἐξ Ἰωάννου λέγοντες, εἰ αὐτός ἐστιν ὁ ἐρχόμενος; ἐνταῦθά μοι βλέπε τῆς τοῦ σωτῆρος οἰκονομίας τὸ εὐτεχνὲς· οὐ γὰρ ἁπλῶς ἔφη τὸ ἐγὼ

εἰμι, ἀλλ' ἀποφέρει μᾶλλον αὐτοὺς εἰς τὴν δι' VII.
αὐτῶν τῶν πραγμάτων πληροφορίαν, ἵνα εὐαφόρμως τὴν εἰς αὐτὸν πίστιν παραδεξάμενοι, ὑπονοστήσωσι πρὸς τὸν ἀποστείλαντα αὐτούς· ὅθεν οὐδὲ πρὸς τὰ ῥήματα, ἀλλὰ πρὸς τὴν γνώμην τοῦ πέμψαντος ἀπεκρίνατο· πορευθέντες γάρ φησι, ἀπαγγείλατε Ἰωάννῃ ἅπερ ἠκούσατε μὲν διὰ τῶν προφητῶν, εἴδετε δὲ πληρωθέντα δι' ἐμοῦ· ἐκεῖνα γὰρ οἰκονομικῶς εἰργάζετο κατ' ἐκεῖνο μάλιστα καιροῦ, ἅπερ αὐτὸν ἐπιτελέσειν, ὅταν ἥκοι πρὸς ἡμᾶς, οἱ προφῆται διήγγελλον· τίνα δὲ ταῦτα; τυφλῶν διόρθωσις, λεπρῶν κάθαρσις, κωφῶν ἀκοή, νεκρῶν ἔγερσις, καὶ τὰ ἑξῆς· ἐφ' οἷς ἐπάγει θεοπρεπῶς, καὶ μακάριος ἐστὶν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί· τί τοῦτο λέγων, ἢ δεῖξαι βουλόμενος ὡς καὶ αὐτοῦ τὰ βλέφαρα, ᾗ φησιν ὁ θεῖος Δαβὶδ, ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων, καὶ τὰ ἐν καρδίᾳ αὐτοῖς στρεφόμενα, τοὺς ὀφθαλμοὺς ἐκείνου διέφυγεν οὐδαμῶς· αὐτοὶ γὰρ ἄντικρυς οἱ σκανδαλιζόμενοι.

Ὅρα δὲ πάλιν ἐν τούτοις ὅσην ἐποιήσατο τὴν v. 28.
οἰκονομίαν ὁ σωτὴρ· πολὺς αὐτῷ καὶ μακρὸς περὶ τοῦ ἁγίου Βαπτιστοῦ κεκίνηται λόγος· τὴν μὲν γὰρ, ὅθεν ἦν εἰκὸς ἀδικηθήσεσθαί πως αὐτὸν, ἀπεκρούσατο δόξαν· προφήτου δέ τι πλέον ἔχειν εἰπὼν, ἐξιοθαύμαστον ἤδη διὰ ἀξιέραστον

VII. τοῖς ἀκροώμενοις ἐδείκνυεν· εἶτα εἰκόνα ὥσπερ αὐτὸν ἀναθεὶς τῆς ἐνούσης ἀρετῆς, ἐν γεννητοῖς γυναικῶν ἔχουσαν τὸ ἀκρότατον, ἀντιπαρατίθησι τὸ μειζόνως ἀγαθὸν, τὸν ἄρτι τῆς βασιλείας ἁψάμενον, καὶ εἰς υἱὸν ἀναγεννηθέντα θεοῦ διὰ τοῦ πνεύματος· βασιλείαν γὰρ οὐρανῶν τὴν τοῦ πνεύματος δόσιν εἶναι φαμὲν, κατὰ τὸ, ἡ βασιλεία τῶν οὐρανῶν, ἐντὸς ὑμῶν ἐστι· μείζων οὖν ἄρα παντὸς γεννητοῦ γυναικὸς, ὁ τῇ τοῦ πνεύματος ἀναγεννήσει τετιμημένος· οἱ μὲν γὰρ ἔτι τέκνα καλοῦνται σαρκὸς, οἱ δὲ πατέρα τὸν τῶν ὅλων θεὸν ἐπιγράφονται, οὐκέτι χρηματίζοντες γεννητοὶ γυναικῶν, ὡς Ἰωάννης καὶ οἱ πρὸ αὐτοῦ, ἀλλ' ἐκ θεοῦ γεννηθέντες, καὶ θείας κοινωνοὶ γενόμενοι φύσεως· οὐκοῦν κἂν ἐλάττονες ὦμεν τῶν τὴν ἐν νόμῳ δικαιοσύνην κατωρθωκότων, καΐά γε τὴν τῆς ζωῆς ἀξιότητα φημὶ, ἀλλ' ἐν μείζοσι γεγόναμεν διὰ Χριστὸν· μεμνῆσθαι δὲ ἀναγκαῖον, ὅτι καί τοι τοιοῦτος ὑπάρχων εἰς ἀρετὴν ὁ Βαπτιστὴς, ὁμολογεῖ σαφῶς ἐν χρείᾳ καθεστηκέναι τοῦ ἁγίου βαπτίσματος· ἐγὼ γάρ φησι χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι· οὐκ ἂν δὲ ἐδεήθη, εἰ μή τι πλέον ἦν ἐν αὐτῷ, καὶ τῆς ἐν νόμῳ δικαιοσύνης ὑπερκείμενον· κἀκεῖνο δὲ τὸ, ἐκ τῶν Ἰωάννου ἡμερῶν τὴν τῶν οὐρανῶν βασιλείαν ἁρπάζεσθαι, οὐκ εἴρηται ὡς οὐδενὸς πρὸ αὐτοῦ ταύτην ἁρπάσαντος· ποῖ γάρ ποτε τῶν

προφητῶν ἡ ἐλπὶς οἰχήσεται; τί δὲ ὁ τοσοῦτος VII.
τῶν ἁγίων πράξει χορὸς, εἴπερ ἔξω τῆς τῶν
οὐρανῶν βασιλείας κείσεται; ἀλλ' ὡς κατὰ τὸν
Ἰωάννου καιρὸν, καὶ λοιπὸν ἐφεξῆς ἡ τοῦ πνεύ-
ματος δόσις, καὶ ἡ διὰ τοῦ ἁγίου βαπτίσματος
εἰς θεὸν ἀναγέννησις, διὰ πίστεως ἁρπάζεται.

Ἦν τάχα που παιγνίου τίς τρόπος παρὰ τῶν v. 31.
p. 118. b.
ἰουδαίων παισὶν οὕτως ἔχων· εἰς μέρη δύο πλη-
θὺς παιδίων ἐτέμνετο, ἃ καὶ τὴν τοῦ βίου γε-
λῶντα τύρβην, καὶ τῶν ἐν αὐτῷ πραγμάτων τὸ
ἀνώμαλον, καὶ τῶν ἑτέρων τὴν εἰς ἕτερα δει-
νὴν καὶ ἀθρόαν μεταβολήν· τὰ μὲν ηὔλουν, τὰ
δὲ ἐθρήνουν· ἀλλ' οὔτε τοῖς αὐλοῦσι καὶ χαί-
ρουσιν οἱ θρηνοῦντες συνήδοντο, οὔτε μὴν τοῖς
κλαίουσιν οἱ τὸν αὐλὸν ἔχοντες, συνεπλάττον-
το· εἶτα ἀλλήλοις ἐνεκάλουν τρόπον τίνα, τὸ
ἀσυμπαθὲς ἤγουν ἀδιάθετον· τοιοῦτόν τι πε-
πονθέναι τοὺς τῶν ἰουδαίων δήμους ὁμοῦ τοῖς
προεστηκόσιν, ἰσχυρίζετο Χριστός.

Διὰ ποίου πράγματος σαγηνευθήσῃ πρὸς πί- v. 33.
στιν, ἀσύνετε φαρισαῖε, πάντα διασύρων ἀδια-
κρίτως, καὶ οὐδὲν ἀξιῶν ἐπαινεῖν; προεβάδισε
τοῦ σωτῆρος ὁ μακάριος Βαπτιστὴς, μετανοεῖτε
λέγων, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν·
ἐξιόχρεως ἦν εἰς τὸ δύνασθαι πείθειν, καὶ ἐξ
αὐτῆς τῆς οὕτω λαμπρᾶς καὶ ἀξιαγάστου ζωῆς
μαρτυρούμενος· εἶτα κακίζειν τὸν τοιοῦτον ἀπο-

VII. τολμᾷς, ὃν ἔδει μᾶλλον τοῦ παντὸς ἀξιοῦσθαι θαύματος; δαιμονᾷν ἔφης τὸν καταγελῶντα ταῖς ἀσιτίαις τῆς ἁμαρτίας τὸν νόμον, τὸν ἐμφωλεύοντα τοῖς μέλεσι τῆς σαρκὸς, καὶ ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοὸς ἡμῶν; ὁδὸς ἦν ὁ μακάριος Βαπτιστὴς τῆς εἰς Χριστὸν εὐσεβείας· ἴδωμεν δὲ καὶ τὸν ἕτερον, ὃς δοκεῖ πῶς τὴν ἐναντίαν ἰέναι τρίβον τῆς τοῦ ἁγίου Βαπτιστοῦ πολιτείας· οὐκ ἦν ἐν ἐρήμῳ Χριστὸς, ἐν ἄστει δὲ μᾶλλον ἐποιεῖτο τὴν διατριβὴν ὁμοῦ τοῖς ἁγίοις ἀποστόλοις· καὶ ἡ δίαιτα δὲ οὐ σκληραγωγίαν εἶχε τοιαύτην, ὁποία τίς ἦν ἡ τοῦ ἁγίου Βαπτιστοῦ· ἆρ' οὖν ἐπαινεῖς κἀν τοῦτον; οὐδαμῶς· γέγονας δὲ φιλαίτιος καὶ ἐπ' αὐτῷ τῷ Χριστῷ· ἔφης γὰρ· ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, ποῦ δὲ τοῦτο δεικνύειν ἔχεις; καί τοι Μαρίας καὶ Μάρθας ὑποδεξαμένων ἐν Βηθανίᾳ ποτὲ, εἶτα μιᾶς τῶν ὠνομασμένων περὶ πολλὴν διακονίαν περισπωμένης, ἀνακόπτων ὁρᾶται Χριστὸς τὸ πέρα μέτρου, καὶ καταῤῥυθμίζων ἡμᾶς εἰς αὐτάρκειαν, ἔφη γὰρ· μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά· ὀλίγων δέ ἐστι χρεία, ἢ ἑνός· ἦν δὲ τοιοῦτος ἀεί τε καὶ παντάχοῦ· τελώναις δὲ συνηυλίζετο, ἀνάλωτος ὢν αὐτὸς ἁμαρτίας παντελῶς· ἔφη γὰρ· τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; οὐκοῦν οὐδὲν ἂν ἠδικήθη καὶ συνὼν ἁμαρτωλοῖς, τοὐναντίον δὲ πάσης αὐτοῖς ὠφε-

λείας καὶ σωτήριας ἐγίνετο πρόξενος· ἔλεγε γὰρ· VII.
οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες· ὑμᾶς μὲν γὰρ ὁ διὰ Μωϋσέως νόμος· μὴ συνδιαιτᾶσθαι πονηροῖς ἐκέλευσεν, ἵνα μὴ ὡς ἀσθενεῖς καὶ πρὸς ἁμαρτίαν εὔκολοι, ῥᾳδίως εἰς τὸν αὐτὸν τῆς ἀσεβείας ἐμπέσητε βυθὸν· εἰ γὰρ ἑδραῖοι ἦτε πρὸς ἀρετὴν, καὶ πρὸς εὐσέβειαν εἴχετε βεβηκότα τὸν νοῦν, οὐκ ἂν κεκώλυκε· Χριστὸς δὲ τί ἂν πάθοι τῶν ἀδικεῖν πεφυκότων; ἀλλ' ἠγνόησας παντελῶς τὸ περὶ αὐτοῦ μυστήριον· θεὸς γὰρ ὢν λόγος, γέγονε μεθ' ἡμῶν, τουτέστιν ἐσαρκώθη δι' ἡμᾶς, οὐκ ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ· τοῦ δὲ καταικρίνοντος ἦν, τὸ μὴ συνεῖναι θέλειν τοῖς οὖσιν ἐν ἁμαρτίαις· τοῦ δὲ σώζειν ἐθέλοντος, τὸ καὶ συνιεῖναι καὶ νουθετεῖν, καὶ τῶν αἰσχιόνων ἀναπείθειν ἀποφοιτᾶν· καὶ τῆς εἰς τὸ φαῦλον ὁδοῦ, τὴν τῆς εἰς αἰῶνα ζωῆς ἀνθελέσθαι τρίβον· οὐκ ἦλθε καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν· οὐ μωλύνεται ἥλιος πᾶσαν φωτίζων τὴν ὑπ' οὐρανὸν, καὶ ἀκαθάρτοις πολλοῖς σώμασιν ὁμιλῶν· οὐδὲ ὁ τῆς δικαιοσύνης ἥλιος ἀδικηθείη ἂν καθ' οὐδένα τρόπον, πονηροῖς ἀνθρώποις συνασθρεφόμενος· μηδεὶς δὲ τὸ ἑαυτοῦ μέτρον δεσποτικοῖς ἀξιώμασιν ἁμιλλᾶσθαι ζητείτω· ἀλλὰ τὴν ἑαυτοῦ ἀσθένειαν ἕκαστος λογιζόμενος, τὴν τῶν τοιού-

VII. των φευϛέτω συνήθειαν· φθείρουσι γὰρ ἤθη χρησϛὰ ὁμιλίαι κακαὶ· νουθετεῖν δὲ τοὺς τοιούτους, τὸ κωλύον οὐδέν.

v. 36. p. 119. b. Κέκληται μὲν οὖν παρ' ἑνὸς τῶν φαρισαίων ὁ κύριος· ἐπειδὴ δὲ χρησϛός ἐϛι καὶ φιλάνθρωπος, καὶ πάνϛας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, κατένευσεν αἰτοῦντι τὴν χάριν· καὶ εἰσελθὼν, κατεκλίθη· εἶτα γύναιον ἐπεισιτρέχει, ἀκόλαστον μὲν ἐν τῷ βίῳ γενόμενον, πιστὴν δὲ προαίρεσιν ἐπιδεικνύμενον, καὶ τὸν ἐπὶ τοῖς φθάσασι μῶμον οὐκ ἀγνοήσασα, παρεκάλει Χριϛὸν ὡς ἀποσμῆξαι δυνάμενον καὶ ἀπαλλάξαι πανϛὸς αἰτιάμαϛος, καὶ τῶν ἡμαρτημένων δωρήσασθαι ἄφεσιν· ἔδρα δὲ τοῦτο στᾶσα ὀπίσω· ἔμπροσθεν γὰρ ἑστάναι, οὔπω ἠδύνατο πρὸ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν.

CAP. VIII.

VIII. v. 4. p. 121. a. Οἱ μακάριοι προφῆται, πολυτρόπως τοὺς περὶ Χριστοῦ πεποίηνται λόγους· οἱ μὲν γὰρ ὡς φῶς ἥξονϛα προαπήγϛελλον, οἱ δὲ καὶ ἐν τάξει καὶ ὑπεροχῇ τῇ βασιλικῇ· καὶ ϛοῦν ἔφη τίς αὐτοῖς· μακάριος ὃς ἔχει ἐν Σιὼν σπέρμα, καὶ οἰκείους ἐν Ἱερουσαλὴμ· ἰδοὺ καὶ βασιλεὺς δίκαιος βασιλεύσει, καὶ ἄρχοντες μετὰ κρίσεως ἄρξουσι, καὶ ἔσται ὁ ἄνθρωπος κρύπτων τοὺς

λόγους αὐτοῦ, καὶ κρυβήσεται ὡς ἀφ' ὕδατος VIII.
φερομένου.

Ὅτι δὲ κεκρυμμένος ἀεί πως τοῦ σωτῆρος ὁ λόγος, δῆλον· οὕτως ἡμῖν αὐτὸν καὶ ὁ μακάριος ψαλμῳδὸς εἰσκεκόμικε λέγοντα, ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου· ἄθρει δὲ οὖν εἰς πέρας ἐκβεβηκὸς τὸ ϖαρ' αὐτοῦ διηγορευμένον, πλείστη μὲν γὰρ πληθὺς συναγήγερτο περὶ αὐτὸν, τοῖς ἐξ ἁπάσης τῆς Ἰουδαίας· προσελάλει δὲ αὐτοῖς ἐν παραβολαῖς· ἀλλ' ἐκείνοις μὲν οὐκ οὖσιν ἀξίοις μαθεῖν τὰ μυστήρια τῆς τῶν οὐρανῶν βασιλείας, ἀσυμφανὴς ἦν ὁ λόγος· λόγου γὰρ ἠξίουν οὐδενὸς, τὸ τὴν εἰς αὐτὸν πίστιν προσήκασθαι· ἀνῆπραττον δὲ ἀνοσίως, καὶ τοῖς δι' αὐτοῦ κηρύγμασι, καὶ γοῦν ἐπετίμων τοῖς ἐθέλουσι προσεδρεύειν αὐτῷ, καὶ τὴν παρ' αὐτοῖς διψῶσι μυσταγωγίαν, δυσσεβοῦντές τε καὶ λέγοντες· δαιμόνιον ἔχει καὶ μαίνεται, τί ἀκούεῖε αὐτοῦ; οὐκοῦν οὐκ ἐκείνοις δέδοῖαι γνῶναι τὰ μυστήρια τῆς βασίλειας τῶν οὐρανῶν, ἡμῖν δὲ μᾶλλον τοῖς ἑτοιμοτέροις εἰς ϖίστιν· δέδωκε γὰρ ἡμῖν αὐτὸς τὸ δύνασθαι νοεῖν παραβολὴν καὶ σκοτεινὸν λόγον, ῥήσεις τὲ σοφῶν καὶ αἰνίγματα.

Ῥητέον δὲ καὶ ἔτι, ὅτι εἰκόνες εἰσὶν ὥσπερ p. 122. a.
αἱ ϖαραβολαὶ ϖραγμάτων οὐχ' ὁρατῶν, νοητῶν δὲ μᾶλλον καὶ ϖνευματικῶν· ὃ γὰρ ἰδεῖν

VIII. οὐκ ἔνεστι τοῖς τοῦ σώματος ὀφθαλμοῖς, τοῦτο δείκνυσιν ἡ παραβολὴ τοῖς τῆς διανοίας ὄμμασι, διὰ τῶν ἐν αἰσθήσει καὶ οἷον ἁπτῶν πραγμάτων διαμορφοῦσα καλῶς τὴν τῶν νοητῶν ἰσχνότητα· ἴδωμεν τοίνυν ὁποίαν ἡμῖν ἐξυφαίνει τὴν νόησιν, τοῦ σωτῆρος ὁ λόγος.

v. 5. p. 122. b. Τίς δὲ ἄρα ἐστὶ τῆς παραβολῆς ὁ σκοπὸς, καὶ ὅποι ποτὲ βλέπει τῆς παραβολῆς τὸ βάθος, παρ' αὐτοῦ μάθωμεν τοῦ συνθέντος αὐτὴν· ἠγνόησαν ταῦτα πρὸ ἡμῶν οἱ μακάριοι μαθηταὶ, καὶ προσῆλθον τῷ σωτῆρι, παρακαλοῦντες καὶ λέγοντες, τί ἐστι αὕτη ἡ παραβολή;

p. 123. a. Ἀλλ' ἴδωμεν ποία τίς ἐστιν ἡ πρόφασις, δι' ἣν ἁρπάζεται τὰ ἐν ταῖς ὁδοῖς· σκληρὰ καὶ ἀνήροτος ἐστὶ πᾶσα πῶς ὁδὸς, διὰ τὸ τοῖς ἁπάντων ὑποκεῖσθαι ποσὶ, καὶ οὐδὲν αὐταῖς ἐγχώννυται τῶν σπερμάτων· οὐκοῦν ὅσοι τὸν νοῦν ἔχουσι σκληρὸν, οὐκ εἰσδύεται ἐν αὐτοῖς θεῖόν τι καὶ ἱερὸν νουθέτημα, δι' οὗ δύναται καρποφορεῖν τὰ εἰς ἀρετὴν αὐχήματα· οὗτοι τοῖς ἀκαθάρτοις πνεύμασι, καὶ αὐτῷ δὴ τῷ σατανᾷ, πεπατημένη γέγονασιν ὁδὸς, οὓς οὐκ ἔστι ποτὲ καρπῶν ἁγίων γενέσθαι τροφοὺς, στεῖραν καὶ ἄγονον ἔχοντας τὴν καρδίαν· πάλιν εἰσὶ τινὲς ἀπεριεργάστως ἔχοντες τὴν πίστιν ἐν ἑαυτοῖς, ὡς ἐν ἁπλότητι λόγων· οὗτοι ἄρριζον ἔχουσι τὴν εὐσέβειαν, εἰσιόντες γὰρ ἐν ἐκκλησίαις, ἐπιλάν-

νυσται μὲν τῷ πλήθει τῶν συναγηγερμένων, καὶ VIII.
ἁσμένως προσίενται τὰς μυσταγωγίας· πλὴν οὐ
κεκριμένως, ἀλλ' ἐξ ἐλαφρῶν θελημάτων· ἀπο-
φοιτήσαντες δὲ τῶν ἐκκλησιῶν, εἰς λήθην εὐθὺς
ἀποφέρονται τῶν ἱερῶν μαθημάτων· κἂν μὲν μὴ
χειμάζηται τὰ χριστιανῶν, σώζουσιν ἐκεῖνοι τὴν
πίστιν· διωγμοῦ δὲ θορυβήσαντος, φυγάδα τὸν
νοῦν ἔχουσι· πρὸς οὓς ὁ προφήτης Ἱερεμίας,
φησὶν· ἀναλάβετε ὅπλα καὶ ἀσπίδας· μάλιστα
μὲν γὰρ ἄμαχον ἔχει τὴν χεῖρα ὁ διασώζων
θεὸς, καὶ καθά φησιν ὁ πάνσοφος Παῦλος, πι-
στὸς ὁ Θεὸς, ὃς οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι
ὑπὲρ ὃ δυνάμεθα· ἀλλὰ ποιήσει σὺν τῷ πειρα-
σμῷ, καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν·
πλὴν εἰ γένοιτό πως καὶ τῆς εἰς Χριστὸν εὐσε-
βείας ὑπεραθλοῦντας παθεῖν, τότε πάντη τε καὶ
πάντως ἐσόμεθα ζηλωτοὶ· καὶ γοῦν τοῖς ἁγίοις
ἀποστόλοις ἔφασκεν ὁ σωτὴρ· μὴ φοβηθῆτε ἀπὸ
τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ
δυναμένων ἀποκτεῖναι, καὶ τὰ ἑξῆς· οὐ μόνοις
δὲ λόγοις ταῦτα ἡμᾶς ἐξεπαίδευεν, ἀλλὰ καὶ
ἔργοις· τέθεικε γὰρ ὑπὲρ ἡμῶν τὴν ἑαυτοῦ ψυ-
χὴν, καὶ αἵματι τῷ ἰδίῳ κατεκτήσατο τὴν ὑπ'
οὐρανόν· ἐσμὲν τοιγαροῦν οὐχ' ἑαυτῶν, τοῦ πρια-
μένου δὲ μᾶλλον καὶ διασώσαντος, καὶ αὐτῷ
τὴν ἑαυτῶν ὀφείλομεν ζωὴν· ὡς γάρ φησιν ὁ θε-
σπέσιος Παῦλος· διὰ τοῦτο Χριστὸς ἀπέθανε

XIII. καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ· ἴδωμεν δὲ καὶ τὰς ἀκάνθας αἷς ὁ θεῖος ἀποπνίγεται σπόρος, τί πάλιν φησὶν ὁ σωτὴρ· ἐνίησι μὲν οὖν αὐτὸς τὸν σπόρον, ὁ δὲ καί τοι ταῖς τῶν δεξαμένων ἐναπομείνας ψυχαῖς, καὶ οἷον ἀνασχὼν ἤδη καὶ ἐν ἀργαῖς τοῦ φαίνεσθαι διελάσας, ὑπὸ μεριμνῶν συμπνίγεται κοσμικῶν, καὶ καθά φησιν Ἱερεμίας, γίνεται δράγμα μὴ ἔχον ἰσχὺν τοῦ ποιῆσαι ἄλευρον· νεώσατε τοίνυν ἑαυτοῖς νεώματα, ἕτερος προφήτης φησὶ, καὶ μὴ σπείρητε ἐν ἀκάνθαις· οὐκοῦν ἵνα ὁ θεῖος ἡμῖν ἐξανθήσῃ σπόρος, προαποβάλωμεν τῆς ἑαυτῶν διανοίας μερίμνας κοσμικάς.

v. 8. p. 123. b. Εἴη δ' ἂν γῆ πίων καὶ εὔτοκος, ποιοῦσα καρπὸν ἑκατονταπλασίονα, ψυχαὶ καλαί τε καὶ ἀγαθαὶ, εἰς βάθος δεχόμεναι τὰ τοῦ λόγου σπέρματα, καὶ κατέχουσαι, καὶ γενναίως τρέφουσαι· περὶ τῶν τοιούτων ἂν λέγοιτο καὶ μάλα δικαίως, τὸ δι' ἑνὸς τῶν ἁγίων προφητῶν εἰρημένον παρὰ θεοῦ· καὶ μακαριοῦσιν ὑμᾶς πάντα τὰ ἔθνη, διότι ἐγένεσθε ὑμεῖς γῆ θελητή· ὅταν γὰρ εἰς νοῦν καθαρὸν τῶν παρενοχλεῖν εἰωθότων θεῖος ποτὲ λόγος κατενεχθῇ, τότε δίδωσι ῥίζαν εἰς βάθος· καὶ ἀστάχυος δίκην ἐπιπηδᾷ, καὶ τελεσφορεῖται καλῶς· πλὴν ἐκεῖνο χρήσιμον οἶμαι χρησθομαθεῖν ἑλομένοις εἰπεῖν· ὁ γάρ τοι Ματθαῖος αὐτὸ δὲ τουτὶ τὸ κεφά-

λαιον ἡμῖν ἐξηγούμενος, τὴν ἀγαθὴν ἔφη γῆν VIII.
ἐκδοῦναι καρποὺς ἐν τρισὶ διαφοραῖς· ἡ μὲν γάρ
φησιν, ἐποίησεν ἑκατὸν, ἡ δὲ ἑξήκοντα, ἡ δὲ
τριάκοντα· ἄθρει δὴ οὖν ὅπως τρεῖς ἔφη Χρι-
στὸς εἶναι τὰς βλάβας, καὶ ὁμοίως ἰσαρίθμους
αὐταῖς τὰς εὐδοκιμήσεις· τὰ μὲν γὰρ εἰς τὴν ὁδὸν
πίπτοντα τῶν σπερμάτων, ὑπὸ πτηνῶν διαρπά-
ζεται, τὰ δὲ ἐν τοῖς πετρώδεσιν ἐξανθήσαντα
μόνον οὐκ εἰς μακρὰν ξηραίνεται· τὰ δὲ ταῖς
ἀκάνθαις ἐναποπνίγεται· γῆ δὲ ἡ θελητὴ καρ-
ποὺς ἀποτίκτει, τοὺς ἐν τρισὶν ὡς ἔφην διαφο-
ραῖς, ἑκατὸν καὶ ἑξήκοντα καὶ τριάκοντα· ὡς
γὰρ ὁ πάνσοφος γράφει Παῦλος, ἕκαστος ἡμῶν
ἴδιον ἔχει χάρισμα ἐκ θεοῦ, ὁ μὲν οὕτως, ὁ δὲ
οὕτως· οὐ γὰρ ἐν ἴσῳ μέτρῳ πάντη τε καὶ πάν-
τως τὰς τῶν ἁγίων εὐδοκιμήσεις γεγενημένας
εὑρίσκομεν· πλὴν ζηλοῦν ἀναγκαῖον τὰ μείζονά
τε καὶ ὑπερκείμενα τῶν χθαμαλωτέρων.

Διέπλει μὲν ὁμοῦ τοῖς ἁγίοις ἀποστόλοις v. 22.
Χριστὸς τὴν Τιβεριάδα θάλασσαν ἤτοι λίμνην· p. 125. b.
ἐγήγερται δὲ καλὰ τοῦ σκάφους ἀδόκητός τε καὶ
ἀπηνὴς χειμὼν, καὶ ταῖς τῶν ἀνέμων ἐμβολαῖς
ὑψοῦτο κῦμα κυρτούμενον, τὸ τοῦ θανάτου δέος
ἐνετίθει τοῖς μαθηταῖς· τεθορύβηνται γὰρ οὐ
μετρίως, καί τοι τὸ θαλασσουργεῖν εἰδότες, καὶ
κλύδωνος οὐκ ὄντες ἀπείρατοι· ἐπειδὴ δὲ λοι-
πὸν τοῦ κινδύνου τὸ μέγεθος πρὸς ἀφόρητον

VIII. αὐτοὺς ἐκάλει δειλίαν, ὡς ἑτέραν οὐκ ἔχοντες τοῦ σώζεσθαι τὴν ἐλπίδα, πλὴν ὡς μόνον αὐτὸν τὸν τῶν δυνάμεων κύριον· δῆλον δὲ ὅτι Χριστὸν διανιστῶσι λέγοντες· ἐπιστάτα, σῶσον, ἀπολλύμεθα· καθευδῆσαι γὰρ αὐτὸν ὁ εὐαγγελιστὴς φησὶ· ὁ δὲ Μάρκος προσπίθησιν ὡς καὶ ἐν προσκεφαλαίῳ, δεικνὺς τὲ τὸ ἄτυφον, καὶ πολλὴν ἐνπεῦθεν ἡμᾶς παιδεύων φιλοσοφίαν· οἰκονομικώτατα δέ μοι καὶ τοῦτο λίαν πεπράχθαι δοκεῖ, ἵνα μὴ εὐθὺς ἀρξαμένου τοῦ κλύδωνος ἐπιπηδᾷν τῷ σκάφει, τὴν παρ' αὐτοῦ ζητῶσιν ἐπικουρίαν· ἀλλ' οἷον ἀκμάσαντος ἤδη τοῦ κακοῦ, ἐμφανεστέρα γένηται τῆς θεοπρεποῦς ἐξουσίας ἡ δύναμις, μαινομένην καθιστῶσα θάλασσαν, καὶ μεθιστῶσα πρὸς γαλήνην μεγάλην, ὡς μὴ δὲ ἴχνος ἐπιμεῖναι τῆς ταραχῆς· εἰ γὰρ ἐγρηγορότος ἐγένετο, ἢ οὐκ ἂν ἐφοβήθησαν, ἢ οὐκ ἂν παρεκάλεσαν, ἢ οὐδ' ἂν ἐνόμισαν αὐτὸν δύνασθαί τι τοιοῦτον εἰπεῖν· διὰ τοῦτο καθεύδει, διδοὺς καιρὸν τῇ δειλίᾳ, τρανοτέραν αὐτοῖς ποιῶν τῶν γινομένων τὴν αἴσθησιν· οὐ γὰρ ὁμοίως τίς ὁρᾷ τὰ ἐν τοῖς ἀλλοτρίοις σώμασι γινόμενα, καὶ τὰ ἐν ἑαυτῷ· ἐπεὶ οὖν πάντας εὐεργετηθέντας εἶδον, ἑαυτοὺς δὲ οὐδενὸς ἀπολελαυκότας, ὕπτιοί τε ἦσαν, ἔδει δὲ αὐτοὺς διὰ τῆς οἰκείας αἰσθήσεως ἀπολαῦσαι τῶν εὐεργεσιῶν, συγχωρεῖ τὸν χειμῶνα γυμνασίας ἕνεκεν, καὶ τὸ θορυβηθῆ-

ναι συμφερόντως ἐγίνετο, ὥστε μεῖζον φανῆναι VIII.
τὸ θαῦμα, καὶ διηνεκῆ γενέσθαι τοῦ συμβάντος τὴν μνήμην· προσδοκήσαντων γὰρ ἀπόλλυσθαι πρότερον, τότε ἐσώθησαν· ἵνα ὁμολογήσαντες τὸν κίνδυνον, μάθωσι τοῦ θαύματος τὸ μέγεθος· πλὴν ὡς ἔφην διανιστῶσι λέγοντες, σῶσον, ἀπολλύμεθα· οὐ γὰρ ἦν ἐφικτὸν ἀπολέσθαί ποτε, συνόντος αὐτοῖς τοῦ πάντα ἰσχύοντος· ἀλλ' ἐγέρται παραχρῆμα Χριστὸς, ὁ πάντων ἔχων τὸν ἐξουσίαν, καὶ καθίστησι μὲν εὐθὺς τὸν κλύδωνα, συνέστειλε δὲ τὰς τῶν πνευμάτων ὁρμὰς, καὶ τὸν θόρυβον ἔπαυσε, καὶ δι' αὐτῶν ἔδειξε τῶν πραγμάτων ὅτι θεός ἐστι· λεγέσθω τοίνυν παρ' ἡμῶν τὸ ἐν βίβλῳ ψαλμῶν· σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης, καὶ τὸν σάλον τῶν κυμάτων αὐτῆς σὺ καταπραΰνεις· κατασήσας δὲ τὸν κλύδωνα τῆς θαλάσσης, καὶ χειμαζομένην ἅμα τῷ σκάφει τῶν ἁγίων μαθητῶν τὴν πίστιν, μεθίστησι πρὸς τὸ ἀραρὸς, καὶ οἱονεὶ γαλήνην αὐτοῖς ἐνεργάζεται, τὰ τῆς ὀλιγοπιστίας περιστείλας κύματα· καὶ μετὰ τοῦ χειμῶνος τῶν ὑδάτων, τὸν χειμῶνα τῆς ψυχῆς αὐτῶν λύει, ἐπιτιμῶν καὶ παιδεύων ὁμοῦ, ὡς τὸν φόβον οὐχ' ἡ τῶν πειρασμῶν ἐράζεται ἐπαγωγὴ, ἀλλὰ τὸ τῆς διανοίας ἀσθενὲς· ἔφη γοῦν, ποῦ ἡ πίστις ὑμῶν; ὅ γε μὴν ἕτερος τῶν εὐαγγελιστῶν, εἰπεῖν αὐτὸν διατείνεται· τί δειλοὶ

VIII. ἐστὲ, ὀλιγόπιστοι; θορυβεῖ γὰρ ἔσθ' ὅτι καὶ τὸν εὖ βεβηκότα νοῦν, ἐπισκήψας ἀδοκήτως φόβος θανάτου· διὰ τοῦτο προσῆεσάν ποτε λέγοντες τῷ Χριστῷ· πρόσθες ἡμῖν πίστιν· λείπεται τοῦ τελείου πρὸς πίστιν, ὁ τοῖς τῆς ὀλιγοπιστίας ἐγκλήμασιν ὑπενηνεγμένος· ὥσπερ γὰρ ὁ χρυσὸς ἐν πυρὶ δοκιμάζεται, οὕτως καὶ πίστις ἐν πειρασμοῖς· πλὴν ἀσθενὴς ὁ ἀνθρώπου νοῦς· δεῖται δὲ πάντως τῆς ἄνωθεν χειρὸς, εἰς τὸ δύνασθαι διενεγκεῖν ἀνδρείως τὰ παρεμπίπτοντα· καὶ τοῦτο ἡμᾶς ὁ σωτὴρ ἐδίδασκεν εἰπὼν· χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν· ὁμολογεῖ δὲ τοῦτο καὶ ὁ σοφώτατος Παῦλος, γράφων· πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντι με Χριστῷ· παυσαμένου δὲ τοῦ χειμῶνος, καὶ εἰς γαλήνην καὶ εὐδίαν, νεύματι Χριστοῦ, τῆς θαλάσσης μεταβληθείσης, καταπεπληγμένοι τὴν θεοσημείαν οἱ μαθηταὶ, παρεψιθύριζον ἀλλήλοις λέγοντες· τίς ἄρα οὗτος ἐστὶν, ὅτι καὶ τοῖς ἀνέμοις ἐπιτάσσει, καὶ τῷ ὕδατι, καὶ ὑπακούουσιν αὐτῷ; ἆρ' οὖν ὡς οὐκ εἰδότες αὐτὸν, τὸ τίς οὗτος ἐστὶ παρηγόρευον ἀλλήλων; εἶτα, πῶς οὐκ ἀπίθανον παντελῶς τὸ χρῆμα ἐστὶν; ἤδεσαν γὰρ ὄντα θεὸν καὶ υἱὸν θεοῦ, τὸν Ἰησοῦν, καταπλησσόμενοι δὲ τῆς ἐνούσης αὐτῷ δυνάμεως τὴν ὑπερβολὴν, καὶ τὴν τῆς θεότητος δόξαν· καί τοι καθ' ἡμᾶς ὄντι τε καὶ ὁρωμένῳ κατὰ τὴν σάρκα, λέ-

γουσι τὸ, τίς οὗτος ἐστὶν, ἀντὶ τοῦ πόσος καὶ VIII.
οἷος, καὶ ἐν ὅσῃ δυνάμει καὶ ἐξουσίᾳ· ὅτι καὶ
αὐτοῖς ἐπιτάσσει τοῖς ὕδασι καὶ τῷ ἀνέμῳ, καὶ
ὑπακούουσιν αὐτῷ· ἐπιτακτικὸν γάρ ἐστι τὸ ἔρ-
γον· δεσποτικὴ πρόσταξις, καὶ οὐκ ἀξίωσις οἰ-
κετικὴ· μέγα καὶ τοῦτο πρὸς θαῦμα καὶ ὄνησιν
τοῖς ἀκροώμενοις· ὑπακούει γὰρ ἡ κτίσις οἷς ἂν
ἐπιτάττειν βούλεται Χριστὸς· ἀμέλει καὶ τὸν
τῆς ἐπιτιμήσεως τρόπον ἐν ἐξουσίᾳ θεοπρεπεῖ
γενέσθαι φησὶν ὁ Ματθαῖος· ἔφη γὰρ εἰπεῖν τῇ
θαλάσσῃ τὸν κύριον, σιώπα, πεφίμωσο· καὶ ἅμα
τῷ λόγῳ, ἠκολούθησε τὸ πρόσταγμα· καὶ ἡ θά-
λασσα ἐπαφρίζουσα τοῖς κύμασι, ἤκουσε τοῦ
σαρκωθέντος λόγου, καὶ πέπαυται τοῦ χειμῶ-
νος, καὶ γινώσκει τὸν ἀπ' ἀρχῆς αὐτὴν συναγα-
γόντα προστάγματι, τὸν θεμένον ἄμμον ὅριον
αὐτῇ, ὃ οὐχ' ὑπερβήσεται.

Καὶ τύπος τοῦ περὶ τοὺς μαθητὰς συμβάν- p. 126. a.
τος ὕστερον· λύμνη γὰρ ἡ Ἰουδαία, περὶ ἣν κατ-
έβη λαίλαψ πολλὴ τῆς κατὰ τοῦ Χριστοῦ μα-
νίας τῶν Ἰουδαίων· ἐταράχθησαν δὲ οἱ μαθηταὶ,
ὥστε καὶ φυγεῖν· ἀλλ' ὥσπερ ἐξ ὕπνου ἀνέστη
ὁ σωτὴρ, καὶ πάλιν οἱ μαθηταὶ ἐν γαλήνῃ· ἐπι-
στὰς γὰρ αὐτοῖς, εἶπεν· εἰρήνη ὑμῖν.

Ἑτέρως δὲ, ἐν σχήματι θαλάσσης τοῦδε τοῦ
καθ' ἡμᾶς νοουμένου κόσμου, σκάφος ἡ ἐκκλη-
σία νοηθήσεται, σωτῆρας ἔχουσα τοὺς ἡγια-

VIII. σμένους, οἳ καὶ διὰ τοῦ καταδέξασθαι τὴν πίστιν, συνόντα διὰ παντὸς ἔχουσι τὸν Χριστὸν· ἀλλὰ καὶ δεινὸς ἔσθ' ὅτε χειμὼν καταῤῥήγνυται, καὶ μυρία περιστάσεων τοῦ ἁλίου σκάφους κατεξανίσταται κύματα· ἀναρίθμητοι δὲ ὥσπερ παφλάζουσι πειρασμοὶ, καὶ μὴν καὶ πνευμάτων πονηρῶν ἀγριότης ἐγκατασκήψασα, πρὸς αὐτὸ καταφέρει τοῦ θανάτου τὸ δεῖμα· καὶ σύνεστι μὲν τοῖς ἑαυτοῦ γνωρίμοις, Χριστὸς· διὰ δὲ τὸ πολλὰς ἐφεῖναι παθεῖν οἰκονομικῶς, ἀπομιμεῖσθαί πως δοκεῖ τὸν νυστάζοντα· ὅταν τοίνυν ὑπέρμετρος ἀληθῶς, καὶ οὐκέτι τοῖς πλωτῆρσι φορητὸς ὁ θόρυβος ᾖ, καὶ πρὸς ἄκρον ἤδη τοῦ κακοῦ τὰ πρόβατα βλέπῃ, τότε προσήκει βοᾶν μονονουχὶ λέγοντας, ἐξεγέρθητι, ἵνα τί ὑπνοῖς κύριε; ἀμελητὶ γὰρ διαναστήσεται, καὶ πάντα μὲν ἐκποδὼν ποιήσει φόβον· ἐπιτιμήσει δὲ τοῖς πειράζουσι, καὶ μεταστήσει τὸ πένθος εἰς εὐθυμίαν, εὐδίαν ἁπλώσας τὴν ἀπαλὴν καὶ ἀκύμονα· περιόψεται γὰρ οὐδαμῶς τοὺς ἐπ' αὐτῷ πεποιθότας.

v. 26. p. 127. a. Προσωρμίσθη ὁ σωτὴρ τῇ Γεργεσηνῶν, ὁμοῦ τοῖς ἁγίοις μαθηταῖς· εἶτά τις ὑπήντησεν ἀνὴρ, ὃς ἦν ἐνδιαίτημα πολλῶν καὶ ἀκαθάρτων πνευμάτων, ἔξω καὶ νοῦ καὶ φρενὸς ὑπάρχων, καὶ οὐδὲν ἀπεοικὼς τῶν τεθνεώτων. ἤδη καὶ ἐν γῇ κειμένων· μᾶλλον δὲ τάχά που καὶ ἐν τοῖς ἔτι

χείροσι· γυμνὸς γὰρ τὰ τῶν τεθνεώτων μνήμα- VIII.
τα περιφοιτῶν, τῆς τῶν δαιμονίων ἀπανθρωπίας
ἀποδειξις ἦν· ἐφίησι γάρ τινας οἰκονομικῶς ὁ
τῶν ὅλων θεὸς ὑπ' αὐτοῖς γίνεσθαι, οὐχ' ἵνα
πάθωσι μᾶλλον, ἀλλ' ἵν' ἡμεῖς δι' αὐτῶν μά-
θωμεν ὁποῖοί τινες εἰσὶν ἐκεῖνοι περὶ ἡμᾶς, οὕτω
τε παραιτώμεθα τὸ ὑποκεῖσθαι θέλειν αὐτοῖς·
ἑνὸς γοῦν πεπονθότος, οἰκοδομοῦνται πολλοί.

Ὁ γεργεσηνὸς, ἤγουν ἡ ἐν αὐτῷ λανθάνου- v. 28.
σα τῶν δαιμονίων ἀγέλη, προσέπιπτε τῷ Χρι-
στῷ, καὶ ταῦτα ἐβόα.

Καί μοι ἐνταῦθα βλέπε, θράσει πολλῷ καὶ
ἀπονοίᾳ συμπεπλεγμένην δειλίαν· δεῖγμα μὲν
γὰρ ἀπονοίας διαβολικῆς, τὸ τολμῆσαι λέγειν
τί ἐμοὶ καὶ σοὶ υἱὲ τοῦ θεοῦ· δειλίας δὲ, τὸ
δέεσθαι ἵνα μὴ βασανισθῇ· ἀλλὰ γὰρ εἰ οἶδας
ὅλως αὐτὸν υἱὸν ὄντα τοῦ ὑψίστου θεοῦ, ὁμο-
λογεῖς ὅτι θεός ἐστιν οὐρανοῦ τε καὶ γῆς καὶ
τῶν ἐν αὐτοῖς· εἶτα πῶς τὰ μὴ σὰ, μᾶλλον δὲ
τὰ αὐτοῦ, διαρπάζεις; εἶτα λέγεις τί ἐμοὶ καὶ
σοὶ· καὶ τίς ἀνέξεται τῶν ἐπὶ γῆς βασιλέων
μέχρι παντὸς ἀνεῖναι βαρβάρους τοὺς ὑπὸ σκῆ-
πτρα κειμένους; τὰς σαυτῷ πρεπούσας ἐρεύγου
φωνὰς· αὗται δέ εἰσιν ἐν τῷ δεόμαί σου μή με
βασανίσῃς.

Καὶ ἄθρει δή μοι πάλιν τὴν ἀπαράβλητον
δόξαν τοῦ πάντων ἐπέκεινα, φημὶ δὴ Χριστοῦ

VIII. τὴν ἀκαταγώνιστον ἰσχὺν· συντρίβει τὸν σατανᾶν, ἐθελήσας μόνον τοῦτο παθεῖν αὐτὸν· πῦρ αὐτῷ καὶ φλόγες εἰσὶ τὰ Χριστοῦ ῥήματα· ἀληθὲς οὖν ὅτι καθά φησιν ὁ μακάριος ψαλμῳδὸς, τὰ ὄρη ἐτάκησαν ἀπὸ προσώπου τοῦ θεοῦ· ὄρεσι γὰρ τὰς ὑψηλὰς καὶ ὑπερηφάνους παρεικάζει δυνάμεις πονηρὰς δηλονότι· πλὴν ὡς πυρὶ προσβαλοῦσαι τῇ τοῦ σωτῆρος ἡμῶν δυνάμει τε καὶ ἐξουσίᾳ κατατήκονται κηροῦ δίκην.

v. 30. p. 127. a. Ἠρώτα Χριστὸς, καὶ προστέταχεν εἰπεῖν τί τὸ ὄνομα αὐτῷ· ἆρ' οὖν οὐκ εἰδὼς ἤρετο; καὶ ὡς εἷς τῶν καθ' ἡμᾶς ἐζήτει μαθεῖν; καί τοι πῶς οὐκ ἀσύνετον παντελῶς τὸ φράσαί τι τοιοῦτον ἢ νοεῖν; πάντα γὰρ οἶδεν ὡς θεὸς, καὶ καρδίαν ἐξετάζει καὶ νεφρούς· ἤρετο οἰκονομικῶς, ἵνα μάθωμεν ὅτι πολλὴ δαιμονίων πληθὺς μίαν ἀνθρώπου ψυχὴν καταπεπάτηκε· ἐπειδὴ γὰρ ὁ κύριος ᾔδει τὸ πλῆθος τῶν ἐνοικούντων δαιμόνων, οἱ δὲ ὁρῶντες, ἕνα μὲν ἄνδρα ἔβλεπον, μιᾶς δὲ προφερομένης φωνῆς ἤκουον, λέγει· εἰπὲ, τί ὄνομά σοι· ἵνα μὴ αὐτὸς εἰπὼν ὅτι πολλοί εἰσιν, ἀπιστηθῇ, ἀλλ' αὐτοὶ ὁμολογήσωσιν ὅτι πολλοὶ τυγχάνουσι.

v. 32. p. 127. b. Ἤτησέ γε μὴν ἡ τῶν ἀκαθάρτων πνευμάτων ἀγέλη τὴν ἴσην τε καὶ ὁμοίαν ἑαυτῇ τῶν χοίρων ἀγέλην· καταπέπατηκε δὲ Χριστὸς οἰκονομικῶς, καί τοι τὸ παρ' αὐτῶν ἐσόμενον οὐκ ἠγνοη-

κως· δέδωκε γὰρ τὴν ἐξουσίαν αὐτοῖς, ἵνα ἡμῖν VIII.
γένηται καὶ τοῦτο μετὰ τῶν ἄλλων, ὠφελείας
πρόφασις καὶ ἀσφαλείας ἐλπὶς· αἰτοῦσι γὰρ χοί-
ρων τὴν ἐξουσίαν, ὡς οὐκ ἔχοντες δηλονότι· οἱ
δὲ τῶν οὕτω μικρῶν καὶ εὐτελεστάτων οὐκ ἔχον-
τες ἐξουσίαν, πῶς ἂν ἀδικήσειάν τινα τῶν ἐσ-
φραγισμένων παρὰ Χριστοῦ, καὶ τῆς εἰς αὐτὸν
ἐλπίδος ἀνηρτημένους; καὶ μὴν καὶ τοῦτο πρὸς
τούτοις ἔξεστι μαθεῖν, ὡς ἀπό γε τοῦ συμβε-
βηκότος τῇ τῶν χοίρων ἀγέλῃ, ὡς εἰσὶν οἱ ἀλι-
τήριοι δαίμονες κακοὶ, καὶ τῶν ὑπ' αὐτοῖς γεν-
ομένων ἐπίβουλοι· τοῦτο γὰρ ἐκδείξειεν ἂν καὶ
μάλα σαφῶς τὸ κατακρημνίσαι τοὺς χοίρους,
ἐναποπνίξαι τὲ τοῖς ὕδασι, καὶ διὰ τοῦτο καὶ-
ένευσεν αἰτοῦσιν αὐτοῖς ὁ Χριστὸς, ἵνα ἐκ τοῦ
συμβεβηκότος μάθωμεν ἡμεῖς, ὁποῖοι τινὲς εἰ-
σὶν, ὡς ἀπηνεῖς τε καὶ θηριώδεις.

Οὐκ ἠγνοήθη δὲ τὸ παράδοξον, καί τοι γὰρ v. 45.
πάντα εἰδὼς ὁ σωτὴρ, ὡς μὴ εἰδὼς ἐρωτᾷ· καὶ p. 130. a.
φησὶ· τίς ὁ ἁψάμενός μου; οὐκ ἀπιθάνως δὲ
τῶν ἁγίων ἀποστόλων εἰπόντων, ὅτι οἱ ὄχλοι
συνέχουσί σε καὶ ἀποθλίβουσιν, ὃ μέγιστον ἦν
σημεῖον τοῦ καὶ σάρκα αὐτὸν ἀληθῆ περικεῖ-
σθαι, καὶ πάντα τῦφον καταπατεῖν· οὐδὲ γὰρ
πόῤῥωθεν εἶπόντο, ἀλλὰ συνεῖχον αὐτὸν πάν-
τοθεν, αὐτὸς τὸ πραχθὲν εἰς μέσον συνάγει,
καὶ ἐπέμενε λέγων· ὅτι ἥψατό μου τίς, ἐγὼ γὰρ

VIII. ἔγνων δύναμιν ἐξελθοῦσαν ἀπ' ἐμοῦ, πρὸς τὴν ὑπόνοιαν τῶν ἀκουόντων ϖαχύτερον ἀϖοκρινόμενος.

Ἆρ' οὖν φιλοδόξως ὁ κύριος οὐκ ἀφῆκε λαθεῖν τῆς θεοπρεποῦς ἐνεργείας τὴν ἔνδειξιν, ἤ τοι τὸ συμβάνον ἐπὶ τῷ γυναίῳ παράδοξον; οὐ τοῦτο φαμὲν· πῶς γὰρ ὁ κελεύων σιγᾶν πολλαχοῦ; ἐκεῖνο δὲ μᾶλλον· βλέπει γὰρ εἰς ὄνησιν πανταχοῦ τῶν καλουμένων εἰς τὴν διὰ πίστεως χάριν· οὐκοῦν πολλοὺς μὲν ἠδίκησεν ἀγνοηθὲν τὸ σημεῖον· γεγονὸς δὲ γνώριμον, ὠφέλησεν οὐ μετρίως, καὶ πρό γε τῶν ἄλλων τὸν ἄρχοντα τῆς συναγωγῆς· ἀσφαλεστέραν γὰρ ἐτίθει τὴν τοῦ προσδοκηθέντος ἐλπίδα· καὶ ἀραρότως ἐδίδου θαῤῥεῖν, ὅτι καὶ τῶν τοῦ θανάτου βρόχων ἐξαρπάσει Χριστὸς τὸ θυγάτριον αὐτοῦ.

p. 130. b. Οὐ γὰρ ἐξῆν τοῖς μὴ καθαροῖς, ἢ ἅψασθαί τινος τῶν ἁγίων, ἢ ἐγγὺς γενέσθαι ἀνδρὸς ἱεροῦ· πεπληροφορήμεθα τοίνυν ὡς θεὸς ἀληθινός ἐστιν ὁ Ἐμμανουὴλ, καὶ ἀπό γε τοῦ παραδόξως ἐνηργημένου, καὶ ἐξ ὧν ἔφη θεοπρεπῶς· ἐγὼ γὰρ καὶ ἔγνων, φησὶ, δύναμιν ἐξεληλυθυῖαν ἀϖ' ἐμοῦ· ἔστι δὲ μέτρων ἐϖέκεινα τῶν καθ' ἡμᾶς, ἢ τάχά που καὶ ἀγγελικῶν, τὸ δύνασθαι δύναμιν ἐκπέμψαί τινα, καὶ ὡς ἀπό γε τῆς ἰδίας φύσεως, τουτέστιν ἀφ' ἑαυτῶν· πρέπει δὲ μόνῃ τὸ χρῆμα τῇ πάντων ἐπέκεινα καὶ ἀνωτάτω φύ-

σει· οὐδὲν γὰρ τῶν ἐν τοῖς κτίσμασι φέρει τινὰ VIII.
δύναμιν ἰατρικὴν, ἢ γοῦν ἑτέραν τινὰ ἰδίαν,
ἀλλὰ Θεόδοτον.

CAP. IX.

Ἀληθὲς εἰπεῖν, ὅτι πόνων ἀγαθῶν ὁ καρπὸς IX
εὐκλεὴς· τοὺς γάρ τοι τὴν πάναγνον καὶ ἀβέ- v. 1.
βηλον, κατά γε τὸ ἀνθρώποις ἐγχωροῦν καλορ- p. 132. a.
θοῦν ἐθέλοντας ζωὴν, τοῖς παρ' ἑαυτοῦ χαρί-
σμασι καλαφαιδρύνει Χριστὸς, καὶ πλουσίαν αὐ-
τοῖς τῶν κατορθωμένων ἁγιοπρεπῶς χαρίζεται
τὴν ἀντέκλισιν, καὶ δόξης αὐτοὺς τῆς ἰδίας καθ-
ίστησι κοινωνούς· δέχου τοῦ πράγματος ἀπόδει-
ξιν σαφῆ τε καὶ ἐναργῆ, τοὺς ἁγίους ἀποστό-
λους· ὅρα γεγονότας ἐκπρεπεστάτους, καὶ τῇ
ὑπὲρ ἄνθρωπον δόξῃ κατεστεμμένους, νέμοντος
αὐτοῖς μετὰ τῶν ἄλλων καὶ τοῦτο Χριστοῦ·
δέδωκα γὰρ αὐτοῖς, φησι, δύναμιν καὶ ἐξου-
σίαν ἐπὶ πάντα τὰ δαιμόνια, καὶ νόσους θερα-
πεύειν· ἀλλ' ὅρα πάλιν τὸν ἐνανθρωπήσαντα τοῦ
θεοῦ λόγον, τὸ τῆς ἀνθρωπότητος ὑπερτρέχον-
τα μέτρον, καὶ τοῖς τῆς θεότητος ἀξιώμασι δια-
πρέποντα· ἐπέκεινα γὰρ τῶν τῆς ἀνθρωπότητος
μέτρων, τὸ διδόναι κατὰ πνευμάτων ἀκαθάρ-
των οἷς ἂν βούληται τὴν ἐξουσίαν· καὶ μὴν καὶ
τὸ δύνασθαι [illegible] σημάτων ἐλευθεροῦν τοὺς ἐνει-

IX. λημμένους, καὶ μόνου θεοῦ· ἡ γὰρ τῆς ἀνωτάτω φύσεως ὑπεροχή τε καὶ δόξα οὐδενὶ τῶν ὄντων ἔνεστι φυσικῶς, πλὴν ὅτι αὐτῷ τὲ καὶ μόνῳ· ἀξία τοίνυν θαύματος ἡ τοῖς ἁγίοις ἀποστόλοις ἐκνεμηθεῖσα χάρις· ἐπέκεινα δὲ παντὸς ἐπαίνου καὶ θαύματος, ἡ τοῦ νέμοντος ἀφθονία· τὴν ἑαυτοῦ γὰρ αὐτοῖς, ὡς ἔφην, χαρίζεται δόξαν· ἄνθρωπος ἐξουσίαν καθὰ πνευμάτων δέχεται πονηρῶν, καὶ τὴν οὕτως ὑπέροπτον ὀφρῦν, τὴν τοῦ διαβόλου φημὶ, καταστρέφει· καί τοι λέγοντός ποτε τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρὶ ὡς νοσσίαν, καὶ ὡς καταλελειμμένα ὠὰ ἀρῶ, καὶ οὐκ ἔστιν ὃς διαφεύξεται ἢ ἀντείπῃ μοι· ἐσφάλλετο δὲ τῆς ἀληθείας, καὶ διημάρτηκε τῆς ἐλπίδος, ὁ σοβαρὸς καὶ θρασὺς, καὶ τῆς ἁπάντων ἀσθενείας καταχαυχώμενος· ἀντέταξε γὰρ αὐτῷ τοὺς τῶν ἱερῶν κηρυγμάτων ἱερουργοὺς, ὁ τῶν δυνάμεων κύριος· καὶ τοῦτο ἦν ἄρα τὸ δι' ἑνὸς τῶν ἁγίων προφητῶν προκεκηρυγμένον, περί τε τοῦ σατανᾶ καὶ τῶν ἁγίων μυσταγωγῶν, ὡς ἐξαίφνης ἀναστήσονται οἳ δάκνονται αὐτὸν· καὶ ἐκνήψουσιν οἱ ἐπίβουλοί σου, καὶ ἔσῃ εἰς διαπαγὴν αὐτοῖς· μόνον γὰρ οὐχὶ κατεδηδόκασι τὸν σατανὰν, ἐπιβουλεύοντες αὐτοῦ τῇ δόξῃ, καὶ διαρπάζοντες αὐτοῦ τὰ σκεύη, καὶ προσκομίζοντες Χριστῷ διὰ πίστεως τῆς εἰς αὐτὸν· εἶτα πόθεν

εἰς ἀνθρώπους ἡ λαμπρὰ καὶ διαβόητος οὕτω IX.
κατενήνεκται χάρις, πολυπραγμονῶμεν εἰ δοκεῖ·
οὐκοῦν ἐστεφάνωσε τῇ τοιᾷδε τιμῇ τὴν ἀνθρώ-
που φύσιν ὁ μονογενὴς τοῦ θεοῦ λόγος, γενό-
μενος ἄνθρωπος, καὶ τῆς ἰδίας ὑπεροχῆς κατ'
οὐδένα τρόπον ἐκβεβηκὼς, ἐνήργηκε τὰ θεοπρε-
πῆ, συνέτριψε τὸν σατανᾶν ῥήματι τῷ πανσθε-
νεσθάτῳ, ἐπεθύμησε πνεύμασι πονηροῖς· αὕτη γέ-
γονεν ὁδὸς τοῦ δύνασθαι πονηροῖς ἐπιπλήττειν
πνεύμασι, τοὺς ἐπὶ τῆς γῆς.

Τί δὲ ἆρά γε εἰκῆ τοιούτους ἀπέφηνε τοὺς p. 132. b.
ἀποστόλους, καὶ ἐπ' οὐδενὶ τῶν ἀναγκαίων ἐκ-
πρεπεστάτους; καί τοι πῶς τοῦτο ἐστὶν ἀληθὲς;
ἔδει γὰρ ἔδει τῶν ἱερῶν κηρυγμάτων διακόνους
ἐπιδεδειγμένους κατορθοῦν δύνασθαι τὰ παρά-
δοξα, καὶ δι' αὐτῶν πιστεύεσθαι τῶν ἐκτελε-
σμάτων ὅτι τέ εἰσι θεοῦ διάκονοι, καὶ μεσῖται
τῆς ὑπ' οὐρανὸν, καλοῦντες ἅπαντας εἰς διαλ-
λαγὴν καὶ εἰς τὴν ἐν πίστει δικαίωσιν· τοῖς μὲν
γὰρ νουνεχεστέροις, ἀπόχρη καὶ λόγος ἔσθ' ὅτε
πρὸς τὴν τῆς ἀληθείας ἐπίγνωσιν· τοῖς γε μὴν
οὐχ' ἑτοίμως ἔχουσιν εἰς παραδοχὴν ὧν ἄν τις
λέγοι, δεῖ δὴ θαυμάτων καὶ τερατουργίας· κα-
λοῦνται γὰρ οὕτω μόλις πρὸς τὴν ἀλήθειαν.

Οὕτω δὴ τοὺς ἁγίους ἀποστόλους κατακο- p. 133. a.
σμήσας, ἰέναι προστέταχεν ἐπὶ τὸ χρῆναι λα-
λεῖν τοῖς ἀπανταχόσε γῆς τὸ αὐτοῦ μυστήριον·

IX. ταύτῃ τοι καὶ εὐζωνοτάτους εἶναι κελεύει, καὶ μερίμνης ἁπάσης κοσμικῶς ἀπαλλάττεσθαι βούλεται, ὡς μὴ δὲ αὐτῆς τῆς ἀναγκαίας τροφῆς καὶ ἀπαραιτήτου ποιεῖσθαί τινα λόγον· κόσμον γὰρ αὐτοῖς, καὶ οἷόν τινα στέφανον ἔσεσθαι φησὶ, τὸ κεκτῆσθαι μηδὲν· μήτε μὴν ἐωικομίζεσθαί τι παράπαν, μὴ ῥάβδον, μὴ πήραν, μὴ ἄρτον, μὴ ἀργύριον, μὴ χιτῶνας δύο· μονονουχὶ τὸ ἐν ψαλμοῖς ἐκεῖνο λέγων· ἐπίῤῥιψον ἐπὶ κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει· καὶ γάρ ἐστιν ἀληθὲς ὅπερ αὐτὸς ἔφη Χριστὸς· οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ· ἵνα τοίνυν μονοειδῆ καὶ μονότροπον ἔχωσι τὴν ζωὴν, εἰς μόνον ὁρῶντες τὸ χρῆναι μυσταγωγεῖν, μηδένα προστέταχε ποιεῖσθαι λόγον ἢ ἀμφίων ἢ τροφῆς· ἀλλὰ φαίη τίς ἂν· καὶ πόθεν αὐτοῖς προσγένοιτο τῶν ἀπαραιτήτως ζητουμένων ὁ πόρος; διαδείκνυσι καὶ τοῦτο εὐθὺς λέγων· καὶ εἰς ἣν οἰκίαν εἰσέλθητε κ. τ. λ.

Ἀρκέσει φησὶν ὁ παρὰ τῶν μυσταγουμένων καρπὸς· ἐκεῖνοι παρ' ὑμῶν τὰ πνευματικὰ λαμβάνοντες, ποιήσονται πρόνοιαν· ἐν οἰκίᾳ δὲ μιᾷ μένειν τε αὐτοὺς προστέταχε καὶ ἀπ' αὐτῆς ἐξέρχεσθαι· ὥστε μήτε τὸν δεχόμενον λυπεῖν, μήτε αὐτοὺς δόξαν λαβεῖν γαστριμαργίας καὶ εὐκολίας· ἔδει γὰρ μήτε τοὺς ἅπαξ λαβόντας ἀποστερεῖσθαι τῆς δωρεᾶς, μήτε μὴν αὐτοὺς τοὺς

ἁγίους ἀποστόλους, ἐγκοπήν τινα δοῦναι ταῖς IX.
εἰς τὸ θεῖον κήρυγμα σπουδαῖς τε καὶ προθυμίαις· ἑλκομένους παρὰ πολλῶν, οὐχ' ἵνά τι τῶν ἀναγκαίων ἔσθ' ὅτε μανθάνωσιν, ἀλλ' ἵνα τράπεζαν αὐτοῖς παραθεῖεν ἄβρὰν, καὶ πέρα τῆς χρείας.

Ὅτι δὲ οὐκ ἄμισθον τὸ τιμᾶν ἁγίους, ἐκ τῶν τοῦ σωτῆρος εἰσόμεθα λόγων· ἔφη γὰρ πρὸς τοὺς μαθητὰς· ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται καὶ τὸν ὑποστείλαντά με· οἰκειοῦται γὰρ οἰκονομικῶς, καὶ εἰς ἴδιον πρόσωπον τὰς εἰς τοὺς ἁγίους ἀναφέρει τιμὰς, ἵνα πανταχόθεν αὐτοῖς ὑπάρχῃ τὸ ἀσφαλὲς· καὶ εἴπερ ἐστιν ἐν παντὶ καλῷ καὶ ἐν ἐλπίσι λαμπραῖς ὁ δεχόμενος αὐτοὺς, πῶς οὐ πάντη τε καὶ πάντως, καὶ ἔμπαλιν, ἀληθὲς; ἀθλιότητος γὰρ τῆς ἐσχάτης ἐπίμεστος ἂν γένοιτό τις, τὸ χρῆναι τιμᾶν τοὺς ἁγίους, οὐδενὸς ἀξιώσας λόγου· διὰ τοῦτο φησίν· καὶ ὅσοι ἐὰν μὴ δέξωνται ὑμᾶς κ. τ. λ.

Δεῖ γὰρ παρὰ τῶν μὴ δεξαμένων αὐτοὺς, v. 5.
μήτε μὴν ἀνασχομένων τῶν ἱερῶν κηρυγμάτων, μηδὲν τὸ παράπαν ἐθελῆσαι λαβεῖν· ἀπίθανον γὰρ κομιδῆ τοὺς ἀτιμάζοντας τὸ σωτήριον κήρυγμα καὶ τὸν οἰκοδεσπότην, περὶ τοὺς οἰκέτας ὁρᾶσθαι χρηστοὺς, ἢ τὰς παρ' αὐτῶν εὐλογίας ζητεῖν.

Οἱ μὲν δαιμονίων ζητοῦντες ἀπαλλαγὴν, οἱ v. 10. p. 134. b.

IX. δὲ καὶ ἀῤῥωστημάτων ἀπόθεσιν ἦσαν, οἱ καὶ τῆς παρ' αὐτοῦ μυσταγωγίας γλιχόμενοι, προσεδρεύοντές τε καὶ μάλα εὐτόνως.

v. 12. Κλινούσης τῆς ἡμέρας, καὶ ὅσον οὐδέπω προσδοκωμένης ἔσεσθαι τῆς ἑσπέρας, προενόουν τῶν ὄχλων οἱ μαθηταὶ, καὶ δὴ καὶ προσῆσαν, τὰς ὑπὲρ αὐτῶν παρακλήσεις προσάγοντες· καὶ τί τὸ ἀπόλυσόν ἐστιν, ἐξετάσωμεν ἀκριβῶς· οἱ μὲν, ὡς ἔφην, τῶν ἑπομένων αὐτῷ πονηρῶν πνευμάτων συνεχόντων αὐτοὺς, ἀπαλλάττεσθαι παρεκάλουν· οἱ δὲ καὶ ἑτέρων ἀῤῥωστημάτων ἐζήτουν ἔκθεσιν· ὡς οὖν εἰδότες μαθηταὶ ὅτι καταυεύσας μόνον, ἀποπεραίνει τοῖς κάμνουσι τὸ ποθούμενον, τὸ ἀπόλυσον αὐτοὺς φησὶ· καὶ οὐκ αὐτοὶ μᾶλλον ἀκηδιῶντες ὡς παρακμάσαντος τοῦ καιροῦ; ἀλλὰ τῆς εἰς τοὺς ὄχλους ἀγάπης ἐχόμενοι, καὶ οἷον μελετῶντες ἤδη τὴν ποιμενικὴν ἐπιστήμην, καὶ τοῦ κήδεσθαι λαῶν ἀρχόμενοι· πλὴν ὅρα τὴν ἀπαράβλητον ἡμερότητα τοῦ παρακαλουμένου· οὐ γὰρ μόνον ἐκεῖνα δίδωσιν, ἅπερ ἂν αἰτῶσιν ὑπάρξαι παρ' αὐτοῦ τοῖς ἀκολουθοῦσιν αὐτῷ, ἀλλὰ γὰρ προστίθησιν αὐτοῖς τὰ ἐκ τῆς φιλοτίμου δεξιᾶς τοὺς ἀγαπῶντας αὐτὸν, διὰ τρόπου παντὸς ἀνακτώμενος καὶ τρέφων εἰς εὐανδρίαν δηλονότι πνευματικὴν· ἐκέλευε γὰρ καὶ διανέμειν αὐτοῖς τροφὰς· ἀλλ' ἦν ἄπορον τὸ χρῆμα τοῖς μαθηταῖς· ἐπεκομίζον-

το γὰρ οὐδὲν, πλὴν ἄρτων πέντε καὶ ἰχθύων IX.
δύο· καὶ ἀπήγγελλον τοῦτο προσιόντες αὐτῷ·
ἵνα δὲ καὶ ἔτι μεῖζον εἰς ὕψος τὸ θαῦμα τρέ-
χῃ, καὶ θεὸς ὢν φύσει, διὰ τρόπου παντὸς ἐπι-
γινώσκηται, πολυπλασιάζει τὸ βραχὺ· βλέπει
τε εἰς οὐρανὸν, οἷον τὴν ἄνωθεν εὐλογίαν αἰ-
τῶν· ἔδρα δὲ καὶ τοῦτο δι' ἡμᾶς, οἰκονομικῶς·
ἔστι μὲν γὰρ αὐτὸς ὁ πάντα πληρῶν, ἡ ἄνωθεν
καὶ παρὰ πατρὸς εὐδοκία· ἵνα δὲ μάθωμεν ὅτι
τραπέζης ἀρχόμενοι, καὶ μέλλοντες ἄρτον δια-
κλᾶν, θεῷ προσάξειν ὀφείλομεν, ὑπτίαις ὥσπερ
ἐνθέντες χερσὶ, καὶ τὴν ἄνωθεν εὐλογίαν ἐπ'
αὐτὸν καταφέρειν· ἀρχὴ καὶ τύπος καὶ ὁδὸς τοῦ
πράγματος γέγονεν ἡμῖν οἰκονομικῶς· εἶτα ὅποι
ποτὲ προέβη τὸ θαῦμα, κατεκορέσθη πληθὺς
ἀνδρῶν οὐκ ὀλίγων, εἰς πέντε γὰρ ἐξετείνετο
χιλιάδας, χωρὶς γυναικῶν καὶ παιδίων· τοῦτο
γὰρ ἕτερός τις τῶν ἁγίων εὐαγγελιστῶν τοῖς
ἑαυτοῦ προσεπήνεγκε λόγοις· καὶ οὐ μέχρι τοῦ-
του τὸ παράδοξον· ἀλλὰ γὰρ καὶ κόφινοι συν-
ελέγησαν κλασμάτων, δώδεκα· καὶ τί τὸ ἐντεῦ-
θεν; πληροφορία σαφὴς, ὅτι τῆς φιλοξενίας τὸ
χρῆμα, πλουσίαν ἔχει παρὰ θεοῦ τὴν ἀντέκτι-
σιν· ἔξεστι δὲ καὶ ἰδεῖν τοῖς ἀρχαιοτέροις θαύ-
μασι τὰ νέα συμβαίνοντα, καὶ μιᾶς ὄντα καὶ
τῆς αὐτῆς δυνάμεως ἐνεργήματα· ἔβρεξεν ἐν ἐρή-
μῳ τὸ μάννα τοῖς ἐξ Ἰσραὴλ· ἄρτον οὐρανοῦ

IX. ἔδωκεν αὐτοῖς, ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος, καὶ τὸ ἐν ψαλμοῖς ὑμνούμενον· ἀλλ' ἰδοὺ πάλιν ἐν ἐρήμῳ τοῖς ἐν ἐνδείᾳ τροφῆς, κεχορήγηκεν ἀφθόνως, οἷον ἐξ οὐρανοῦ καθιεὶς αὐτήν· τὸ γὰρ πολυπλασιάσαι τὸ βραχὺ, καὶ οἷον ἐκ τοῦ μηδενὸς τὴν οὕτω πολλὴν ἀποθρέψαι πληθὺν, οὐκ ἀπεοικὸς ἂν εἴη τῷ πρώτῳ σημείῳ.

v. 18. p. 135. b. Πρῶτον ἐκεῖνο καὶ πρό γε τῶν ἄλλων ἄξιον ἰδεῖν, τί τὸ κεκληκὸς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐπὶ τοῦτο δραμεῖν, καὶ προῖεναι τοῖς ἁγίοις ἀποστόλοις τὴν πεῦσιν, ἤγουν τὴν ἐρώτησιν· οὐδὲν γὰρ ἔξω τοῦ καιροῦ καὶ τοῦ καθήκοντος λόγου, καὶ λαλεῖ καὶ ἐργάζεται· τί οὖν ἆρα φαμὲν; ἔθρεψεν ἐν ἐρήμῳ τοὺς ὄχλους οὐκ εὐαριθμήτους ὄντας ἄρτοις πέντε, συνδιαθρέψας ἰχθύδια δύο· πεπλεόνακε δὲ οὕτως τὰ ἐκ μηδενὸς, ὥστε καὶ κλασμάτων ληφθῆναι κοφίνους δώδεκα· κατεπλήττοντο τοίνυν ὁμοῦ τοῖς ὄχλοις οἱ μακάριοι μαθηταὶ· καὶ θεὸν ὄντα, καὶ θεοῦ υἱὸν κατὰ ἀλήθειαν, δι' αὐτῶν τεθέανται τῶν καθορθωμένων· εἶτα τῶν ὄχλων ἀποφοιτήσας, καὶ γεγονὼς καταμόνας, εἰς προσευχὰς συνετείνετο, τύπον ἡμῖν ἑαυτὸν καὶ κατὰ τοῦτο τιθεὶς· μᾶλλον δὲ διδασκαλικῶν μαθημάτων εὐτεχνίαν δίδασκων τοὺς μαθητὰς· δεῖ γὰρ οἶμαι τοὺς λαῶν προεστηκότας, καὶ καθηγεῖσθαι λαχόντας τῶν αὐτοῦ θρεμμάτων, ἐν

πράγμασιν ἀναΓκαίοις εἶναι διὰ παντὸς, κἀκεῖ- ιχ.
να δρῶντας ὁρᾶσθαι, τὰ ἐφ' οἷς ἥδηται θεὸς·
καὶ τοῦτο εἰδὼς ὁ θεσπέσιος Παῦλος, ἀδιαλεί-
πΤως προσεύχεσθε φησὶν· οὐκοῦν ὁ μὲν τῶν ὅλων
σωτὴρ καὶ κύριος, τύπον ἑαυτὸν ὡς ἔφην πολι-
τείας ἁγιοπρεποῦς ἐποιεῖτο τοῖς μαθηταῖς,
καταμόνας προσευχόμενος μετὰ μόνων αὐτῶν·
ἀλλ' ἦν εἰκὸς θορυβεῖν τὸ πρᾶγμα τοὺς μα-
θητὰς· ἑώρων γὰρ ἀνθρωπίνως εὐχόμενον, ὃν
χθὲς τεθέανται θαυματουργοῦντα θεοπρεπῶς·
οὐδὲν οὖν ἄρα τὸ ἀπεικὸς, ἐκεῖνό που τάχα
πρὸς ἑαυτοὺς εἰπεῖν, τίνα τοῦτον εἶναι νομίσο-
μεν; ἆρα θεὸν; ἢ ἄνθρωπον, καὶ ὡς ἕνα τῶν
καθ' ἡμᾶς ἤγουν τῶν ἁγίων προφητῶν; θαυμα-
τουρΓεῖ μὲν γὰρ, ὡς θεὸς· ἔστι δὲ ἀνάρμοσΤον
αὐτῷ κατὰ φύσιν θεῷ τὸ προσεύχεσθαι· τίνος
γὰρ ὅλως δεῖται θεὸς; ἵνα τοίνυν τὸν τῶν τοι-
ούτων ἐννοιῶν ἀποσοβήσῃ θόρυβον, ποιεῖται τὴν
πεῦσιν· οὐδὲν μὲν ἠγνοηκὼς τῶν περὶ αὐτοῦ
θρυλλουμένων παρά γε τοῖς ἔξω· ἀποφέρων δὲ
μᾶλλον τῆς τῶν πολλῶν ὑπονοίας, καὶ ὀρθὴν
αὐτοῖς τὴν πίστιν ἐμφυτεῦσαι θέλων· τίνα δὴ
οὖν, φησιν, οἱ ὄχλοι λέγουσιν εἶναι; ὁρᾷς τὸ
τῆς πεύσεως εὐτεχνές; οὐκ εὐθὺς εἶπεν, ὑμεῖς
τίνα με λέΓετε εἶναι; ἀποφέρει δὲ μᾶλλον, ἐπὶ
τὸν τῶν ἔξω θρύλλον· ἵν' ἐκβαλὼν αὐτὸν καὶ
ἀδόκιμον ἀποφήνας, μεΤασοβέσῃ λοιπὸν εἰς δό-

IX. ξαν ἀληθινὴν, ὃ δὴ καὶ πέπρακται· εἰπόντων γὰρ τῶν μαθητῶν τὴν τοῦ ὄχλου δόξαν, ἔφη αὐτοῖς· ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; ὡ πῶς ἐξαίρετον τὸ, ὑμεῖς; ἔξω τίθησιν αὐτοὺς τῶν ἄλλων, ἵνα καὶ τὰς ἐκείνων φύσωσιν ὑπονοίας, καὶ μὴ μικρὰν ἔχωσι περὶ αὐτοῦ τὴν δόξαν· ὑμεῖς φησιν οἱ ἐξειλεγμένοι, οἱ ψήφῳ τῇ παρ' ἐμοῦ κεκλημένοι πρὸς ἀποστολὴν, οἱ τῶν ἐμῶν τερατουργημάτων μάρτυρες, τίνα με εἶναι φατὲ; προπηδᾷ δὲ πάλιν τῶν ἄλλων ὁ Πέτρος, καὶ παντὸς τοῦ χοροῦ γίνεται στόμα, καὶ τὰς φιλοθέους ἐρεύγεται φωνὰς· ἀκριβῆ δὲ τῆς εἰς αὐτὸν πίστεως ὁμολογίαν, ἐκφέρει, λέγων, τὸν Χριστὸν τοῦ θεοῦ· ἀσφαλὴς ὁ μαθητὴς· οὐ γάρ τοι φησὶν ἁπλῶς Χριστὸν αὐτὸν εἶναι τοῦ θεοῦ, τὸν Χριστὸν δὲ μᾶλλον· πλεῖστοι μὲν γὰρ, οἱ ὡς ἀπό γε τοῦ κεχρίσθαι παρὰ θεοῦ, κατὰ διαφόρους τρόπους ὠνομασμένοι χριστοὶ· οἱ μὲν γὰρ ἐχρίσθησαν εἰς βασιλέας, οἱ δὲ εἰς προφήτας, οἱ δὲ καὶ τὴν δι' αὐτοῦ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ λαβόντες λύτρωσιν· τουτέστιν ἡμεῖς καὶ τῷ ἁγίῳ πνεύματι κατακεχρισμένοι, τὴν τοῦ Χριστοῦ κλῆσιν ἐσχήκαμεν· εἴρηται γοῦν διὰ τῆς τοῦ ψάλλοντος φωνῆς περὶ τῶν ἀρχαιοτέρων· μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε· ἡμῶν δὲ πέρι διὰ φωνῆς Ἀββακοὺμ, ἐξῆλθες εἰς σωτή-

ριαν λαοῦ σου, τοῦ σῶσαι τοὺς χριστούς σου· ΙΧ.
οὐκοῦν πλεῖστοι μὲν οἱ χριστοὶ· κέκληνται δὲ
οὕτως ἐπὶ τοῦ πράγματος· εἷς δὲ καὶ μόνος ὁ
τοῦ θεοῦ καὶ πατρὸς· οὐχ' ὡς ἡμῶν μὲν ὄντων
χριστῶν, καὶ οὐ θεοῦ μᾶλλον, ἀλλ' ἑτέρου τι-
νὸς· ἀλλ' ὡς αὐτοῦ καὶ μόνου, ἴδιον ἔχοντος
πατέρα, τὸν ἐν τοῖς οὐρανοῖς· δῆλον οὖν ἐστιν
ὅτι τῆς ἑτέρων πληθύος ὑπεξαίρων αὐτὸν, προσ-
νενέμηκε τῷ πατρὶ, ὡς ὄντα μόνον αὐτοῦ· θεὸς
γὰρ ὢν φύσει, καὶ ἐκ θεοῦ πατρὸς ἐλλάμψας
ἐξαιρέτως ὁ μονογενὴς αὐτοῦ λόγος, γέγονε
σὰρξ, κατὰ τὸ γεγραμμένον· ἐκεῖνο γε μὴν ἀναγ-
καῖον εἰδέναι· ἐν γὰρ τῇ τοῦ Ματθαίου συγ-
γραφῇ, τὸν μακάριον μαθητὴν εὑρήσομεν εἰπόν-
τα, σὺ εἶ ὁ Χριστὸς, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶν-
τος· ἐπιγεμὼν δὲ ὥσπερ τὴν οἰκονομίαν ὁ σοφώ-
τατος Λουκᾶς, συμφέρεται μὲν κατὰ τὰς ἐν-
νοίας, βραχυλογήσας δὲ φησὶ, εἰπεῖν αὐτὸν τὸν
Χριστὸν τοῦ θεοῦ· ἀλλ' ἐνταῦθα μὲν ὁ παρὰ
τοῦ σωτῆρος γεγονὼς πρὸς αὐτὸν, σεσίγηται λό-
γος· ἐν δὲ τῷ Ματθαίῳ πάλιν εἰπόντα σαφῶς
εὑρήσομεν· μακάριος εἶ Σίμων βὰρ Ἰωνᾶ, ὅτι
σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πα-
τήρ μου ὁ ἐν τοῖς οὐρανοῖς· ἐστὶν οὖν ὁμολο-
γουμένως θεοδίδακτος ὁ μαθητὴς, εἰς ἐπίγνω-
σιν αὐτὸν τοῦ κατὰ Χριστὸν μυστηρίου, ποδη-
γήσαντος αὐτοῦ τοῦ πατρὸς· σημειωτέον δὲ ὡς

ιχ. ἕνα τὸν Χριστὸν ὡμολόγει ὁ σοφώταλος Πέτρος, διὰ τοὺς εἰς δύο τέμνειν τολμῶντας Χριστοὺς τὸν Ἐμμανουὴλ· οὐ γὰρ ἤρετο αὐτοὺς λέγων· τίνα λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν τοῦ θεοῦ λόγον, ἀλλὰ τὸν υἱὸν τοῦ ἀνθρώπου· καὶ τοῦτον ὁ Πέτρος ὡμολόγει εἶναι τὸν Χριστὸν τοῦ θεοῦ· πῶς δὲ ἀξιοθαύμαστος ἡ ὁμολογία Πέτρου, εἰ μηδὲν ἔχοι τὸ βαθὺ καὶ κεκρυμμένον, καὶ οἷον ἄποπτον τοῖς πολλοῖς; τί γὰρ ὅλως ἀπεκάλυψεν αὐτῷ ὁ θεὸς καὶ πατὴρ; ὅτι ἄνθρωπός ἐστι· τοῦτο θεοδίδακτόν ἐστιν μυστήριον, ἐπὶ τούτῳ τεθαύμασται, καὶ τῶν οὕτως ἐξαιρέτων ἠξιώθη γερῶν; ἤκουσε γὰρ· μακάριος εἶ Σίμων βὰρ Ἰωνᾶ· ἀλλὰ τεθαύμασται, καὶ σφόδρα δικαίως· διὰ ποίαν αἰτίαν; ὃν γὰρ τεθέαται ἐν εἴδει τῷ καθ' ἡμᾶς, τοῦτον πεπίστευκεν εἶναι τὸν Χριστὸν τοῦ πάτρὸς, τουτέστι σαρκωθέντα καὶ ἐνανθρωπήσαντα τὸν ἐκ τῆς οὐσίας αὐτοῦ προελθόντα λόγον.

v. 21. p. 136. b. Ὁμολογήσαντος τὴν πίστιν τοῦ μαθητοῦ, ἐπετίμησεν αὐτοῖς ὁ κύριος, ἵνα μηδενὶ εἴπωσιν ὅτι αὐτός ἐστιν ὁ Χριστὸς· καί τοι πῶς μᾶλλον ἔδει τοὺς μαθητὰς, τοῖς ἁπανταχόσε κηρύττειν αὐτὸν; τοῦτο γὰρ ἦν ἔργον τῶν παρ' αὐτοῦ προκεχειρισμένων εἰς ἀποστολὴν· ἀλλ' ὥς φησι τὸ γράμμα τὸ ἱερὸν, καιρὸς παντὶ πράγματι· ἔδει τοῖς παρ' ἑαυτοῦ κηρύγμασι ἀκολουθῆσαι τὰ

λείποντα τοῖς ἔθη προτετελεσμένοις· τοῦτο δὲ ἦν ὁ σταυρὸς, τὸ μάθος, ὁ κατὰ σὰρξ θάνατος, ἡ ἐκ νεκρῶν ἀνάστασις· τὸ μέγα καὶ ἐξαίσιον ἀληθῶς σημεῖον, δι' οὗ μεμαρτύρηται θεὸς ὢν ἀληθινὸς, καὶ υἱὸς κατὰ φύσιν τοῦ θεοῦ καὶ πατρὸς, ὁ Ἐμμανουὴλ· τὸ γὰρ ὅλως καταργῆσαι θάνατον, καὶ ἀνατρέψαι τὴν φθορὰν, καὶ σκυλεῦσαι τὸν ἅδην, καὶ καταλῦσαι τοῦ διαβόλου τὴν τυραννίδα, καὶ ἐκ μέσου ποιῆσαι τὴν ἁμαρτίαν, καὶ ἀνοῖξαι τοῖς ἐπὶ γῆς τὰς ἄνω πύλας, καὶ συνάψαι τὴν γῆν οὐρανῷ, θεὸν ὄντα κατὰ ἀλήθειαν ἀπέφηνεν αὐτὸν· οὐκοῦν ἐν καιρῷ κελεύει σιγῆσαι τὸ μυστήριον, ἄχρις ἂν ὁ σύμπας τῆς οἰκονομίας λόγος, εἰς τὸ αὐτῷ πρέπον ἐξέλθῃ πέρας· τότε γὰρ ἐγηγερμένος ἐκ νεκρῶν, ἀπογυμνοῦσθαι τοῖς ἁπανταχόσε γῆς προστέταχε τὸ μυστήριον, προθεὶς ἅπασι τὴν ἐν πίστει δικαίωσιν, τὴν διὰ τοῦ ἁγίου βαπτίσματος κάθαρσιν· ἔφη γὰρ· ἐδόθη μοι πᾶσα ἐξουσία, ἔν τε οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες εἰς τὸν ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας· μεθ' ἡμῶν γὰρ ἐστὶν καὶ ἐν ἡμῖν διὰ τοῦ IX.

IX. ἁγίου πνεύματος, καὶ ταῖς ἁπάντων ψυχαῖς ἐναυλίζεται κύριος.

CAP. X.

X. v. 21. p. 137. a. Ἴδωμεν δὲ καὶ τοὺς λόγους, οὓς δι' ἡμᾶς ὑπὲρ ἡμῶν Χριστὸς ἐποιήσατο πρὸς τὸν ἑαυτοῦ πατέρα· ἐξομολογοῦμαί σοι πάτερ κ. τ. λ.

p. 137. b. Ἡμῖν ἀπεκάλυψεν ὁ θεὸς καὶ πατὴρ τὸ πρὸ τῆς τοῦ κόσμου καταβολῆς κεκρυμμένον καὶ σεσιγημένον παρ' αὐτῷ μυστήριον· δῆλον δὲ, ὅτι τὸ περὶ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς, ὃ προεγνώσθη μὲν πρὸ καταβολῆς κόσμου, πεφανέρωται δὲ τοῖς ἐπὶ γῆς, ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς· γράφει γοῦν ὁ μακάριος Παῦλος· ὅτι ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων, ἐδόθη ἡ χάρις αὕτη, τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ, καὶ φωτίσαι πάντας, τίς ἡ οἰκονομία τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἐπὶ τῶν αἰώνων ἐν τῷ θεῷ τῷ τὰ πάντα κτίσαντι· οὐκοῦν ἐν τῇ τοῦ πατρὸς γνώσει κέκρυπτο καὶ πρὸ τῆς τοῦ κόσμου καταβολῆς, τὸ σεπτὸν καὶ μέγα τοῦ σωτῆρος ἡμῶν μυστήριον· οὕτω καὶ ἡμεῖς προεγνώμεθα καὶ προωρίσθημεν εἰς υἱοθεσίαν· καὶ τοῦτο πάλιν ἡμᾶς ὁ σοφώτατος Παῦλος διδάξει γράφων· εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ

κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εὐλογήσας ἡμᾶς x.
ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν ἐπουρανίοις ἐν
Χριστῷ, καθὼς ἐξελέξατο ἡμᾶς ἐν Χριστῷ πρὸ
καταβολῆς κόσμου, εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώ-
μους κατενώπιον αὐτοῦ, ἐν ἀγάπῃ προορίσας
ἡμᾶς εἰς υἱοθεσίαν, διὰ Ἰησοῦ Χριστοῦ εἰς αὐ-
τὸν· ἡμῖν οὖν ἄρα τοῖς νηπίοις τὸ κεκρυμμένον
καὶ σεσιγημένον ἐκ τῶν αἰώνων μυστήριον, ἀπε-
κάλυψεν ὁ πατὴρ· καί τοι πρὸ ἡμῶν πλεῖστοι
τε ὅσοι καὶ ἀριθμοῦ κρείττονες ἦσαν κατὰ τόν-
δε τὸν βίον ἄνδρες τό γε ἧκον, ἐν λόγοις σο-
φοὶ· ἀλλ' ὡς ὁ Παῦλος φησὶ, ἐματαιώθησαν
ἐν διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύ-
νετος αὐτῶν καρδία· φάσκοντες εἶναι σοφοὶ, ἐμω-
ράνθησαν, καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρ-
του θεοῦ, ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀν-
θρώπου, καὶ πετεινῶν, καὶ τετραπόδων, καὶ ἑρ-
πετῶν· ταύτης ἕνεκα τῆς αἰτίας, παρεδόθησαν
εἰς ἀδόκιμον νοῦν, καὶ οὐκ ἐγνώρισεν αὐτοῖς
τὸ μυστήριον· γέγραπται δὲ καὶ ἡμῖν· εἴ τις
δοκεῖ ἐν τῷ κόσμῳ σοφὸς εἶναι, μωρὸς γενέσθω,
ἵνα γένηται σοφὸς· ἡ γὰρ τοῦ κόσμου τούτου
σοφία, μωρία παρὰ τῷ θεῷ ἐστιν· οὐκοῦν ἀλη-
θὲς εἰπεῖν, ὅτι ὁ φιλὴν καὶ μόνην ἔχων τὴν τοῦ
κόσμου σοφίαν, μωρός ἐστι καὶ ἀσύνετος παρὰ
θεῷ· ὁ δὲ μωρὸς εἶναι δοκῶν παρὰ τοῖς τοῦ κό-
σμου σοφοῖς, ἔχων δὲ εἰς νοῦν καὶ καρδίαν τῆς

x. ἀληθοῦς θεοσεβίας τὸ φῶς, οὗτος σοφός ἐστιν παρὰ τῷ θεῷ· οὐκοῦν τοῖς δοκοῦσιν εἶναι μωροῖς, ἤγουν ἄκακον καὶ νηπιάζουσαν ἐπὶ κακίᾳ τὴν διάνοιαν ἔχουσιν, ἀπεκάλυψεν ὁ πατὴρ τὸν υἱὸν· ἅτε δὴ καὶ προεγνωσμένοις καὶ προωρισμένοις εἰς υἱοθεσίαν· οὐκ ἀπίθανον δὲ, ὡς γε οἶμαι, κἀκεῖνο τούτοις ἐπενεγκεῖν· οἱ γραμματεῖς τὲ καὶ οἱ φαρισαῖοι, καὶ οἱ τῶν ἰουδαϊκῶν κρατοῦντες ταγμάτων, νομομαθείας δόκησιν ἔχοντες, ἐνομίζοντό τινες εἶναι σοφοὶ, ἀλλ' οὐκ ὄντες τοιοῦτοι κατὰ τὸ ἀληθὲς, δι' αὐτῶν ἠλέγχοντο τῶν πραγμάτων· καὶ γοῦν ὁ προφήτης Ἱερεμίας, οὕτω που φησὶ πρὸς αὐτοὺς· πῶς ἐρεῖτε ὡς σοφοί ἐσμεν ἡμεῖς, καὶ λόγος κυρίου μεθ' ἡμῶν ἐστιν; εἰς μάτην ἐγενήθη σχοῖνος ψευδὴς γραμματεῦσιν· ᾐσχύνθησαν σοφοὶ, ἐπτοήθησαν, καὶ ἑάλωσαν· σοφία τίς ἐστιν ἐν αὐτοῖς; ὅτι τὸν λόγον κυρίου ἀπεδοκίμασαν· ἐπειδὴ δὲ ἀπεδοκίμασαν αὐτοὶ τοῦ σωτῆρος τὸν λόγον, τουτέστι τὸ εὐαγγελικὸν καὶ σωτήριον κήρυγμα, ἤγουν τὸν τοῦ θεοῦ καὶ πατρὸς λόγον, τὸν δι' ἡμᾶς γενόμενον ἄνθρωπον, αὐτοὶ γεγόνασιν ἀδόκιμοι· ἔφη οὖν Ἱερεμίας περὶ αὐτῶν· ἀργύριον ἀποδεδοκιμασμένον καλέσατε αὐτοὺς, ὅτι ἀπεδοκίμησα αὐτοὺς κύριος· κέκρυπται καὶ ἀπὸ τούτων τὸ Χριστοῦ μυστήριον· καὶ γοῦν ἔφη που τοῖς ἑαυτοῦ μαθηταῖς ὁ κύριος περὶ αὐτῶν· ὑμῖν

δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν· ἐκείνοις δὲ οὐ δέδοται· ὑμῖν δὲ τίσι; τοῖς πιστεύσασι δηλονότι, τοῖς ἐπεγνωκόσι τὴν ἐπιφάνειαν αὐτοῦ, τοῖς τὸν νόμον νοοῦσι πνευματικῶς, τούτοις εὐδόκησεν ὁ πατὴρ ἀποκαλύψαι τὸν ἴδιον υἱόν. κ.

Ἐμφανίζει γοῦν πάλιν ἡμῖν τὴν ἑαυτοῦ δόξαν, καὶ τῆς θεοπρεποῦς ὑπεροχῆς τὸ ἀξίωμα· καὶ τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ εὐτεχνὲς, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός· ὅση τε γέγονεν ἐντεῦθεν ἡ ὄνησις, τοῖς ἐπὶ τῆς γῆς καθίστησιν ἐναργὲς· πάντα μοι, φησὶ, παρεδόθη ὑπὸ τοῦ πατρός μου· ἦν μὲν γὰρ καὶ ἔστιν οὐρανοῦ τὲ καὶ γῆς κύριος, καὶ σύνθρονος τῷ πατρὶ, καὶ συγκατάρχων αὐτῷ τῶν ὅλων· ἐπειδὴ καὶ καθεὶς ἑαυτὸν ἐν τοῖς καθ' ἡμᾶς κεχρημάτικεν ἄνθρωπος, διαλέγεται πάλιν οὐκ ἀπεικότως τῇ μετὰ σαρκὸς οἰκονομίᾳ, καὶ τὰς πρεπούσας τοῖς τῆς κενώσεως μέτροις οὐ παραιτεῖται φωνὰς, ἵνα πιστεύηται γεγονὼς καθ' ἡμᾶς, καὶ τὴν ἡμῶν φορέσας πτωχείαν· ὁ τοίνυν οὐρανοῦ τε καὶ γῆς, καὶ συλλήβδην τῶν ὅλων κύριος, ἑαυτῷ πάντα παραδεδόσθαι φησὶν ὑπὸ τοῦ πατρὸς κεκυρίευκε γὰρ τῆς ὑπ' οὐρανὸν· ἀλλὰ τοῦτο εἰπὼν, ἄνεισιν εὐθὺς εἰς τὴν ἑαυτοῦ δόξαν, καὶ ὑπεροχήν· καὶ διαδείκνυσι καθ' οὐδένα τρόπον, τοῦ ἰδίου πατρὸς ἑαυτὸν ἡττώμενον· τί γὰρ ἔφη πρὸς v. 22. p. 139. a.

x. ἐκεῖνον; καὶ οὐδεὶς γινώσκει τίς ἐστιν ὁ υἱὸς κ. τ. λ.

p. 139. b. Οἱ τοίνυν τὰς ῥητὰς λέξεις, τὰς λεγούσας πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρὸς, εἰς ὕφεσιν ἐκλαμβάνοντες τοῦ υἱοῦ, μανθανέτωσαν διὰ τῶν ἐφεξῆς τὴν κατὰ πᾶν ὁτιοῦν τοῦ υἱοῦ πρὸς τὸν πατέρα ἀπαραλλαξίαν· πῶς γὰρ οὐδενὸς εἰδότος, καθὰ φησὶ, τὸν υἱὸν, εἰ μὴ μόνου τοῦ πατρὸς, αὐτοὶ τετολμήκατε φρονεῖν καὶ λέγειν, ὡς ἐλάττων ἐστὶν αὐτοῦ, ὡς ἀκριβῶς εἰδότες αὐτὸν; καὶ πῶς ὁ ὑπὸ μόνου γινωσκόμενος τοῦ ἰδίου γεννήματος; μόνη γὰρ οἶδεν ἑαυτὸν ἡ ἁγία καὶ ὁμοούσιος τριὰς, ἡ παντὸς ἐπέκεινα καὶ νοῦ καὶ λόγου.

v. 23. p. 140. a. Τὰ τῶν πραγμάτων ἀπορρητότερα, τοῖς ἀναγκαίοις μάλιστα τῶν ἐπιτηδείων, ἀνακοινοῦσθαι χρὴ, καὶ οὐχὶ τοῖς τυχοῦσιν ἁπλῶς· φίλοι δὲ αὐτοῦ πάντες εἰσὶν, οἱ τῆς παρ' αὐτοῦ μαθητείας ἠξιωμένοι, καὶ πεφωτισμένον ἔχοντες τῆς καρδίας τὸν ὀφθαλμὸν, καὶ τὸ οὖς ἕτοιμον εἰς ὑπακοὴν· καὶ γοῦν ἔφη ποτὲ πρὸς τοὺς ἁγίους ἀποστόλους· οὐκέτι λέγω ὑμᾶς δούλους· ὑμεῖς φίλοι μου ἐστὲ· ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ αὐτοῦ ὁ κύριος· ὑμᾶς δὲ εἴρηκα φίλους, ὅτι πάντα ἃ ἤκουσα παρὰ τοῦ πατρός μου, ἐγνώρισα ὑμῖν· τούτοις καὶ τὰ γεγραμμένα φησὶν οἰκονομικώτατα ἐγραφεὶς πρὸς αὐτοὺς· τοὐτέστιν ἐν

ἀποστροφῇ ποιησάμενος τοὺς μήτε ὁρᾶν μήτε κ.
ἀκούειν ἐθέλοντας, ἀνηκόους δὲ ὄντας, καὶ τυφλὸν ἔχοντας ἐν ἑαυτοῖς τὸν νοῦν, ὅλον ἑαυτὸν ἐχαρίζετο τοῖς ἀγαπῶσιν αὐτὸν· καὶ εἰς αὐτοὺς ἀφορῶν, μακαρίους ἔφη τοὺς ὀφθαλμοὺς τοὺς ὁρῶντας ἤγουν ὀψομένους ἃ πρὸ τῶν ἄλλων, αὐτοὶ καὶ πρῶτοι τεθέανται· πεποίηται μὲν οὖν ὁ ἐπὶ τούτοις λόγος, ὡς ἀπό γε τῆς παρὰ πᾶσι καὶ κοινῆς συνηθείας· πλὴν ἐκεῖνο ἡμᾶς ἐξεπίστασθαι χρὴ· τὸ γὰρ βλέπειν ἐν τούτοις, οὐκ ἐνεργείας τῆς δι' ὀμμάτων σωματικῶν εἰσκομίζει δήλωσιν, ἀποδιδούσης δὲ μᾶλλον τῶν δι' αὐτοῦ τοῖς εὐσεβέσι δηδωρημένων, οἷον· ὡς εἴ τις λέγοι, ὁ δεῖνα τυχὸν καιροὺς εἶδε καλοὺς, ἀντὶ τοῦ, ἐν ἀπολαύσει γέγονε καιρῶν ἀγαθῶν· καὶ τὸ, ἴδοις δὲ τὰ ἀγαθὰ Ἱερουσαλὴμ ἐν ψαλμοῖς εἰρημένον, οὕτω νοήσεις· ἀντὶ τοῦ, γένοιτό σοι μετασχεῖν τῶν ἀγαθῶν τῆς Ἱερουσαλὴμ, τῆς ἄνω δηλονότι καὶ ἐν οὐρανοῖς· ὅτι γὰρ οὐχ' οἱ γεγονότες θεωροὶ τῆς διὰ Χριστοῦ θεοσημείας, εἶεν ἂν μακάριοι πάντη τε καὶ πάντως, πῶς ἐστιν ἀμφιβάλλειν; πλεῖστοι μὲν γὰρ Ἰουδαῖοι τεθέανται θεοπρεπῶς ἐνεργοῦντα Χριστὸν· ἀλλ' οὐχ ἅπασιν ἂν πρέποι τὸ μακαρίζεσθαι· πεπιστεύκασι γὰρ οὐδαμῶς· ἀλλ' οὐδὲ τεθέανται τὴν δόξαν αὐτοῦ, τοῖς τῆς διανοίας ὄμμασιν· ἀλλὰ γὰρ τίνα τρόπον ἐμακαρίσθησαν ἡμῶν

x. οἱ ὀφθαλμοὶ· τί δὲ ἄρα τεθεαμένοι; εἴδομεν τὸν ἐν μορφῇ τοῦ θεοῦ καὶ πατρὸς θεὸν λόγον, δι' ἡμᾶς γενόμενον ἄνθρωπον· τὸν ὁμόθρονον τῷ πατρὶ μεθ' ἡμῶν· ἤγουν ἐν εἴδει τῷ καθ' ἡμᾶς· ἵν' ἡμᾶς ἑαυτῷ συμμόρφους ἀποτελέσῃ δι' ἁγιασμοῦ καὶ δικαιοσύνης, ἐγχαράττων ἡμῖν τὸ τῆς ἑαυτοῦ θεότητος κάλλος, νοητῶς δηλονότι καὶ πνευματικῶς· καὶ τούτου μάρτυς, ὁ Παῦλος, οὕτω γεγραφώς· ὥσπερ γὰρ ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, οὕτω φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου· χοϊκὸν κενὸν ἄνθρωπον εἶναι λέγων, τὸν πρωτόπλαστον Ἀδὰμ· ἐπουράνιον δὲ, τὸν ἄνωθεν καὶ ἐκ τῆς οὐσίας τοῦ πατρὸς ἐλλάμψαντα λόγον· εἶτα γενόμενον ὡς ἔφην, ἐν ὁμοιώσει τῇ πρὸς ἡμᾶς ὁ κατὰ φύσιν υἱὸς ἔλαβε δούλου μορφὴν, ἵν' ἡμᾶς τοὺς ἐν ζυγῷ δουλείας κατεσφιγμένους, φύσει γὰρ δοῦλον ἐστὶ τὸ ποιηθὲν, ἐλευθέρους ἀποφήνῃ, τὰ αὐτοῦ κερδαίνοντας· ὠνομάσμεθα γὰρ υἱοὶ δι' αὐτόν τε καὶ σὺν αὐτῷ· συνεπτώχευσεν ἡμῖν πλούσιος ὢν, ἵνα τὴν ἀνθρώπου φύσιν εἰς τὸν ἴδιον ἀγάγῃ πλοῦτον· ἐγεύσατο θανάτου, διὰ ξύλου καὶ σταυροῦ, ἵν' ἐκ μέσου ποιήσῃ τὴν διὰ ξύλου παράβασιν, καὶ τὰ ἐπ' αὐτοῖς δὴ τούτοις αἰτιάματα καταλύσῃ, καὶ τῆς καθ' ἡμῶν τυραννίδος ἀποστήσῃ τὸν θάνατον· εἴδομεν πεσόντα τὸν σατανᾶν· ἐν ταπεινώσει, τὸν ἀλαζόνα·

ἄτιμον, τὸν ποτὲ προσκυνούμενον· τὸν ἐν ὑπο- X.
λήψει θεότητος, ὑπὸ πόδας ἁγίων· ἔλαβον γὰρ
ἐξουσίαν πνεύμασιν ἀκαθάρτοις ἐπιτιμᾶν· ἀξίω-
μα δὲ τοῦτο, πάμμεγα καὶ ὑπὲρ ἀνθρώπου φύ-
σιν, καὶ μόνῳ πρέπον τῷ πάντων ἐπέκεινα θεῷ·
ἀρχὴ δὲ τούτου γέγονεν ἡμῖν, ἐν ἀνθρωπείᾳ μορ-
φῇ πεφηνὼς ὁ λόγος· καὶ γοῦν ἐπέτιμησε μὲν
τοῖς ἀκαθάρτοις πνεύμασιν· ἔφασκον δὲ οἱ τά-
λανες ἰουδαῖοι· ὅτι οὗτος οὐκ ἐκβάλλει τὰ δαι-
μόνια, εἰ μὴ ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαι-
μονίων· πρὸς ταύτας αὐτῶν τὰς ἀνοσίους φωνὰς
ὑπήντα λέγων ὁ κύριος· εἰ ἐγὼ ἐν Βεελζεβοὺλ
ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκ-
βάλλουσι; εἰ δ' ἐγὼ ἐν πνεύματι θεοῦ ἐκβάλ-
λω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βα-
σιλεία τοῦ θεοῦ· εἰ γὰρ ἐγώ, φησιν, ἄνθρωπος
καθ' ὑμᾶς γεγονὼς, ἔχω καὶ οὕτως τῆς θεο-
πρεποῦς ἐξουσίας τὴν ἐνέργειαν, ἐφ' ὑμᾶς κα-
τέβη τὸ οὕτω μέγα καὶ ἐξαίρετον ἀγαθὸν· εὐ-
δοκιμεῖ γάρ φησι ἡ ἀνθρώπου φύσις ἐν ἐμοὶ πα-
τοῦσα τὸν σατανᾶν· οὐκοῦν ἐφ' ἡμᾶς ἔφθασεν
ἡ βασιλεία τοῦ θεοῦ, τοῦ καθ' ἡμᾶς γεγονότος
λόγου, καὶ μετὰ σαρκὸς ἐνεργοῦντος τὰ θεο-
πρεπῆ· ἐν τούτοις ὄντας ἑαυτοὺς τεθεάμεθα· καὶ
μακάριοι γεγόνασιν ἡμῶν οἱ ὀφθαλμοὶ· ἠκού-
σαμεν αὐτοῦ τῆς ἀῤῥήτου μυσταγωγίας· ἐδίδα-
ξεν ἡμᾶς τὰ περὶ τοῦ θεοῦ καὶ πατρὸς· ἔδει-

x. ξεν ἡμῖν αὐτὸν ἐν ἰδίᾳ φύσει· ἐμφανῆ κατέστησε τῶν διὰ Μωϋσέως τύπων τὴν ἀλήθειαν· ταῦτα πολλοὶ τῶν προφητῶν ἐπεθύμησαν ἰδεῖν, πλεῖστοι δὲ καὶ βασιλεῖς· καὶ γοῦν εὑρήσομεν ποτὲ μὲν λέγοντας, δεῖξον ἡμῖν κύριε τὸ ἔλεός σου, καὶ τὸ σωτήριον σου δῴης ἡμῖν· ἔλεος γὰρ σωτήριον ὀνομάζουσι τὸν υἱὸν· ποτὲ δὲ πάλιν· μνήσθητι ἡμῶν κύριε ἐπὶ εὐδοκίᾳ τοῦ λαοῦ σου, ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σου· τοῦ ἰδεῖν ἐν τῇ χρηστότητι τῶν ἐκλεκτῶν σου, τοῦ εὐφρανθῆναι ἐν εὐφροσύνῃ, μετὰ τοῦ ἔθνους σου· ἔθνος δὲ ποῖον ἐστὶ τὸ ἐξειλεγμένον ἐν Χριστῷ παρὰ τοῦ θεοῦ καὶ πατρὸς, ἐξηγήσεται λέγων ὁ σοφώτατος Πέτρος πρὸς τοὺς διὰ πίστεως εὐδοκιμηκότας· ὑμεῖς δὲ γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον· λαὸς εἰς περιποίησιν, ἵνα τὰς ἀρετὰς ἐξαγγείλητε τοῦ ἐκ σκότους ὑμᾶς καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς.

v. 25. p. 141. a. Νομικὸν ἐν τούτοις φησὶν ὁ εὐαγγελιστὴς, τὸν νομοδιδάσκαλον, κατά γε τὴν παρὰ Ἰουδαίων, ἤγουν τὸν οἰόμενον εἰδέναι τὸν νόμον, οὐ μὴν ἔτι καὶ εἰδότα κατὰ ἀλήθειαν· οὗτος ἐνόμισε συναρπάσαι Χριστὸν· καὶ ἐπὶ τίσιν, ἐρῶ λογοποιοί τινες ἀθυροστομεῖν εἰωθότες, ἅπασαν περιεφοίτων τὴν τῶν Ἰουδαίων χώραν, καὶ αὐτὴν δὲ τὴν Ἱερουσαλὴμ, κατηγοροῦντες Χριστοῦ,

καὶ φάσκοντες, ὅτι τὴν μὲν διὰ τοῦ Μωϋσέως ἐντολὴν ἀνένητον εἶναι φησὶ, καινὰ δὲ αὐτὸς εἰσφέρει διδάγματα· ἦσαν δὲ τῶν πιστευσάντων ἤδη τινὲς, οἳ τοῖς παρ' ἐκείνων ἀντέπραττον λόγοις, ἀποδεχόμενοι πανταχοῦ τὸ εὐαγγελικὸν σωτήριον κήρυγμα· ἐθελήσας τοίνυν ὁ νομικὸς, ἤγουν οἰηθεὶς δύνασθαι παγιδεῦσαι Χριστὸν εἰς τὸ λαλῆσαί τι κατὰ Μωϋσέως, ἤγουν τῆς δι' αὐτοῦ λαληθείσης ἐντολῆς, κρείττονα τὴν παρ' ἑαυτοῦ διδασκαλίαν εἰπεῖν, πρόσεισι πειράζων αὐτὸν καὶ λέγων· τί ποιήσας, ζωὴν αἰώνιον κληρονομήσω; ἀλλ' εἶπεν ἄν τις αὐτῷ τῶν εὖ εἰδότων τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ μυστήριον· εἰ νόμον ἠπίστασο, καὶ τῆς ἐν αὐτῷ κεκρυμμένης θεωρίας τὴν δύναμιν, οὐκ ἂν ἠγνόησας ὃν πειράζειν ἐπεχείρεις, εἰδότα τὰ κεκρυμμένα, καὶ καθορᾶν ἰσχύοντα τὰς τῶν προσιόντων αὐτῷ καρδίας· διδάσκαλον ἀποκαλεῖς, μανθάνειν οὐκ ἀνεχόμενος· ὑποκρίνῃ τιμᾶν, συναρπάσαι προσδοκῶν· ἄθρει δέ μοι τὸ κακόηθες εἰς λόγους, τοῦ νομικοῦ· ἐξῆν μὲν γὰρ εἰπεῖν· τί ποιήσας, σωθήσομαι, ἤγουν ἀρέσω θεῷ, καὶ τὸν παρ' αὐτοῦ λήψομαι μισθὸν· ἀλλ' ἐκεῖνα μὲν ἀφίησι· κέχρηται δὲ μᾶλλον ταῖς τοῦ σωτῆρος φωναῖς, τῆς ἑαυτοῦ κεφαλῆς καταχέων τὸν γέλωτα· ἐπειδὴ γὰρ ἔθος ἦν τῷ πάντων σωτῆρι Χριστῷ περὶ ζωῆς αἰωνίου διαλέγεσθαι

x.

x. συχνῶς τοῖς προσιοῦσιν αὐτῷ, διαλεγόμενος ὡς ἔφην ὁ περίαυστος νομικὸς, ταῖς αὐτοῦ κέχρηται φωναῖς· ἀλλ' εἴπερ ἦσθα φιλομαθὴς ἀληθῶς, ὦ νομικὲ, ἤκουσας ἂν παρ' αὐτοῦ τὰ εἰς ζωὴν ἀποφέροντα τὴν αἰώνιον, ἐπεὶ δὲ πειράζεις κακούργως, οὐδὲν ἕτερον ἀκούσῃ, πλὴν ὅτι μόνον τὰ διὰ Μωϋσέως τοῖς πάλαι τεθεσπισμένα.

v. 28. p. 143. a. Πλὴν ἀπαγγείλαντος τοῦ νομικοῦ τὰ ἐγκείμενα τῷ νόμῳ, κολάζων αὐτοῦ τὴν πονηρίαν, καὶ τὸ δύστροπον ἐλέγχων φρόνημα Χριστὸς ὁ πάντα εἰδὼς, ἀπεκρίθης φησὶ· τοῦτο ποίει καὶ ζήσῃ· ἐκπέπτωκε τῆς θήρας, ὁ νομικὸς· ἐῤῥάγη τῆς ἀπάτης τὸ λῖνον· οὐκοῦν ἐπιφωνῶμεν αὐτῷ τὸ διὰ τῆς Ἱερεμίου φωνῆς, ἠγρεύθης καὶ ἐλήφθης.

v. 29. p. 143. b. Ἀποτυχὼν τῆς θήρας, ἐκκεκύλισται πρὸς φιλοδοξίαν· ἐξ ἀπάτης, εἰς ὑπεροψίαν· ἀλλήλαις ὥσπερ αὐτὸν αἱ κακίαι, κιχρῶσιν· ἠρώτησε γὰρ οὐ μαθεῖν θέλων ἀλλ' ἧ φησιν ὁ εὐαγγελιστὴς θέλων ἑαυτὸν δικαιῶσαι· ἄθρει δὲ ὅπως ἐκ φιλαυτίας τὲ ὁμοῦ καὶ ὑπεροψίας, ἀνέδην ἀνεφώνει· καὶ τίς ἐστί μου πλησίον; οὐδεὶς ὦ νομικὲ κατὰ σὲ, πάντων ἐπέκεινα σαυτὸν ἀποφέρεις, καὶ ἠνέγκε τὴν ὀφρῦν· μέμνησο τοῦ λέγοντος παροιμιαστοῦ· οἱ δὲ ἑαυτοῖς ἐπιγνώμονες, σοφοὶ· ὅπως ἐν τούτοις ἡ τῆς ζωῆς δύναμις, ἐν τῷ ἀγαπᾷν τὸν θεὸν καὶ τὸν πλησίον· οὐκ ἀλλαττομέ-

νοις ὑφ' ἡμῶν, ἀλλ' ἐπιτεινομένοις ὑπὲρ τὰ μέ- X.
τρα τὰ ἰουδαϊκὰ, καὶ τῆς ἐπιτάσεως ἐμπεριε-
χομένης δυνάμει, τοῖς εἰρημένοις ἐπιτάγμασι·
τὸ γὰρ ἐξ ὅλης καρδίας, καὶ ψυχῆς, καὶ ἰσ-
χύος τὸν θεὸν ἀγαπᾶν, ὑπεξαίρει τὴν πρὸς χρη-
ματα, τὴν πρὸς ἡδονὴν, τὴν πρὸς δόξαν ἀγάπην·
ἐξάγει κοσμικῆς διαθέσεως, ἐκλεκτὸν ἐπὶ κό-
σμου καθίστησι, συνάπτει Χριστῷ, καὶ τὸ ὅλον
εἰπεῖν, χριστιανὸν ἐξ ἰουδαίου ποιεῖ· ἥ τε πρὸς
τὸν πλησίον ἀγάπη καλῶς νοουμένη, ὅταν μὴ
πρὸς τὸ ὁμοεθνὲς ᾖ μόνον, ἀλλὰ πρὸς πᾶν τὸ
ὁμογενὲς, ἀκόλουθος τῇ πρὸς θεὸν ἀγάπῃ καθ-
ίσταται· προσλαμβάνουσα καὶ τὸ κατὰ μίμησιν
Χριστοῦ, τὸ μὴ μόνον ὡς ἑαυτὸν, ἀλλὰ καὶ
ὑπὲρ ἑαυτὸν· ὥστε θεῖναι τὴν ψυχὴν ὑπὲρ τῶν
φίλων, ὅπερ ὁ κύριος πεποίηκεν· ἐπαινεθεὶς μέν
τοι ὑπὸ τοῦ σωτῆρος ὁ νομικὸς, ὡς καλὴν τὴν
ἔκκρισιν ἐποιήσατο, τὴν ἀλαζονείαν ἐξέῤῥηξεν·
οὐδένα εἶναι πλησίον αὐτοῦ τιθέμενος· ὡς οὐ-
δενὸς ὄντος αὐτῷ κατὰ τὴν δικαιοσύνην ἐφα-
μίλλου· τοιαῦτα δὴ φρονῶν οἷα ἐκεῖνος ὁ φα-
ρισαῖος, ὁ λέγων· οὐκ εἰμὶ ὡς οἱ λοιποὶ τῶν
ἀνθρώπων· οὐκ εἰδὼς ὡς τοῦτο διαφθείρει τὴν
δικαιοσύνην τὸ μὴ ἐξ ἀγάπης ὃ πράττει ποιεῖν,
ἐνδεὴς οὖν καὶ οὗτος τῆς ἀγάπης ἁλισκέται·
πάντως μὲν καὶ τῆς πρὸς θεὸν, οὐ μὴν ἀλλὰ
καὶ τῆς γε πρὸς τὸν πλησίον, ἐμφανῶς· ἅπαν

x. οὐδὲ εἶναί τινα πλησίον αὐτοῦ λογίζεται· δῆλον δὲ ὅτι τὸν ἀδελφὸν οὐκ ἀγαπῶν ὃν ἑώρακεν, οὐ δύναται θεὸν ἀγαπᾶν ὃν οὐχ' ἑώρακεν.

v. 30. p. 144. a. Ἄλλως δὲ, ἐπειδὴ κατὰ τὸ γεγραμμένον· ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκεν, ἀλλὰ παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς, καὶ πᾶσαν μὲν ἐπιθυμίαν βοσκηματώδη καὶ ἀκόλαστον, κατηρρώστησεν· ἀπαρχὴ γενόμενος τοῦ γένους ἡμῶν, ὁ Χριστὸς, ὁ μὴ εἰδὼς ἁμαρτίαν, ἐν ἑαυτῷ πρῶτον ἔδειξε τούτων τῶν κτηνωδῶν παθῶν ὑπεραναβάντας ἡμᾶς· αὐτὸς γὰρ τὰς ἀσθενείας ἡμῶν ἔλαβε, καὶ τὰς νόσους ἐβάστασε· διὰ τοῦτο εἶπεν, ὡς τὸν τυχόντα τῆς θεραπείας, ἐπὶ τὸ ἴδιον ὑποζύγιον ἀνεβίβασεν· ἐν ἑαυτῷ γὰρ ἡμᾶς ἔφερεν· ὅτι ἐσμὲν μέλη τοῦ σώματος αὐτοῦ· ἀλλὰ μὴν, καὶ εἰς πανδοχεῖον ἀπήγαγε· πανδοχεῖον δὲ, τὴν ἐκκλησίαν καλεῖ, τὴν πάντων γενομένην δεκτικὴν καὶ χωρητικήν· οὐκέτι γὰρ κατὰ τὸ στενὸν τῆς νομικῆς σκιᾶς καὶ τῆς ἐν τύποις λατρείας ἀκούσομεν, οὐκ εἰσελεύσεται ἀμμανίτης καὶ μωαβίτης εἰς ἐκκλησίαν θεοῦ, ἀλλὰ πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη, καὶ ἐν παντὶ ἔθνει ὁ φοβούμενος τὸν κύριον καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστι· καὶ ἀπαγαγὼν, μείζονος ἐπιμελείας ἠξίωσε· καὶ γὰρ τῆς ἐκκλησίας συλλεγείσης ἐκ τῶν τῇ πολυθεΐᾳ νενεκρω-

μένων ἐθνῶν, αὐτὸς ἦν ὁ Χριστὸς ἐν αὐτῇ, κα- X.
τὰ τὸ γεγραμμένον, οἰκῶν καὶ ἐμπεριπατῶν,
καὶ πᾶσαν πνευματικὴν δωρούμενος χάριν· ὅθεν
καὶ τῷ προεστῶτι τοῦ πανδοχείου, νοηθείη δ'
ἂν οὗτος τύπον ἐπέχειν τῶν ἀποστόλων καὶ τῶν
μετ' αὐτοὺς ποιμένων καὶ διδασκάλων εἰς οὐ-
ρανοὺς ἀνιὼν, ἔδωκε δύο δηνάρια, προνοεῖν ἐπι-
μελῶς τοῦ ἠρρωστηκότος· καὶ προσθεὶς, ὡς ἐάν
τι προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με
ἀποδώσω σοι· δύο δηνάρια, τὰς δύο διαθήκας
φησὶ, τήν τε διὰ τοῦ νόμου Μωϋσέως καὶ τῶν
προφητῶν, τήν τε διὰ τῶν εὐαγγελίων δοθεῖ-
σαν, καὶ τῶν ἀποστολικῶν διατάξεων· καὶ ἀμ-
φοτέρας ἑνὸς οὔσας θεοῦ· καὶ μίαν εἰκόνα τοῦ
ἄνω καὶ ἑνὸς βασιλέως, φερούσας ὡς τὰ δηνά-
ρια, καὶ τὸν αὐτὸν μὲν χαρακτῆρα ταῖς καρ-
δίαις ἡμῶν, διὰ τῶν ἱερῶν λόγων ἐσφραγιζο-
μένας καὶ ἐντυπούσας, ἐπείπερ καὶ ἓν αὐτὰς
καὶ τὸ αὐτὸ πνεῦμα λελάληκεν· ἐρρέτω γὰρ Μά-
νης, καὶ πρὸ αὐτοῦ Μαρκίων, οἱ ἀθεώταλοι, δια-
φόροις θεοῖς ταύτας μερίζοντες· ἑνὸς γὰρ βα-
σιλέως ἐστὶ τὰ δύο δηνάρια, καὶ κατὰ ταυτὸν
καὶ ὁμοτίμως δοθέντα τῷ προεστῶτι τοῦ παν-
δοχείου, παρὰ Χριστοῦ· ἃ δὴ καὶ λαβόντες οἱ
τῶν ἁγιωτάτων ἐκκλησιῶν ποιμένες, καὶ μετὰ
πόνων καὶ ἱδρώτων ταῖς διδασκαλίαις πλατύ-
ναντες, καὶ οἴκοθεν προσδαπανήσαντες· καὶ διὰ

x. τῆς δαπάνης μᾶλλον αὐξήσαντες· τοιοῦτον γὰρ τὸ νοητὸν ἀργύριον ἐξ ὧν δαπανᾶται, μὴ μειούμενον ἀλλ' αὐξόμενον, ὅπερ ὁ τῆς διδασκαλίας λόγος ἐστὶν· ἐπανερχομένῳ τῷ δεσπότῃ κατὰ τὴν τελευταίαν ἡμέραν, ἐροῦσιν ἕκαστος· κύριε, δύο δηνάρια δέδωκάς μοι· ἰδοὺ προσδαπανήσας οἴκοθεν, ἕτερα δύο κεκέρδηκα, δι' ὧν τὸ ποίμνιον ηὔξησα· καὶ ἀποκριθεὶς, ἐρεῖ· εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ· ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου.

v. 36. p. 146. a. Εἰκότως ὁ κύριος ἤρετο· τίνα τῶν τριῶν πλησίον γενέσθαι νενόμικε τοῦ πεπονθότος; ὁ δὲ, ὁ ποιήσας, φησὶ, τὸ ἔλεος μετ' αὐτοῦ· οὔτε γὰρ ὁ ἱερεὺς, οὔτε ὁ λευίτης πλησίον γέγονε τοῦ πεπονθότος, ἀλλ' ὁ οἰκτίσάμενος· καὶ πρὸς ταῦτα Χριστὸς, πορεύου καὶ σὺ ποίει ὁμοίως· ἀνόητον γὰρ τὸ τῆς ἱερωσύνης ἀξίωμα, τοῖς λαχοῦσιν αὐτὸ· καὶ τοῖς δοκοῦσιν εἶναι νομομαθέσι, τὸ ὠνομάσθαι νομομαθεῖς, εἰ μὴ δι' αὐτῶν εὐδοκιμοῦσι τῶν ἔργων· ἰδοὺ γὰρ πέπλεκται τῆς ἀγάπης ὁ στέφανος, τῷ τὸν πλησίον ἠγαπηκότι· σαμαρείτης οὗτος ἦν· ἀλλ' οὐκ ἀπόβλητος· διὰ τοῦτο μεμαρτύρηκεν ὁ πρῶτος ἐν μαθηταῖς, τουτέστιν ὁ μακάριος Πέτρος, ᾧδέ πως φήσας· ἐπ' ἀληθείας καταλαμβάνομεν ὅτι οὐκέτι προσωπολήπτης ὁ θεὸς, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φο-

βούμενος αὐτὸν καὶ ποιῶν δικαιοσύνην, δεκτὸς X.
αὐτῷ ἐστι· προσίεται γὰρ ἅπαντας τοὺς τῶν ἀγα-
θῶν ἐπιτηδευμάτων ἐραστὰς ὁ φιλάρετος κύριος.

Πλὴν καὶ τὴν ἱστορίαν, μέγά τι χρῆμα καὶ p. 146. b.
ἀξιόκτητον, ὁ τῆς φιλοξενίας τρόπος· καὶ μαρ-
τυρήσει λέγων ὁ σοφώτατος Παῦλος, τῆς φιλο-
ξενίας μὴ ἐπιλανθάνεσθε· τοιαύτη τίς ἡ Μάρ-
θα ὑποδεχομένη τὸν κύριον, ἣν καλὸν καὶ μι-
μήσασθαι· ὥσπερ καὶ τὴν φιλομαθεστάτην αὐ-
τῆς ἀδελφὴν Μαρίαν, ἣ τοῖς τοῦ σωτῆρος ποσὶ
προσιζήσασα, τῶν παρ' αὐτοῦ διδαγμάτων τὴν
ἑαυτῆς ἐμπίπλησι φρένα· ὀνίνησι δὲ πάλιν καὶ
διὰ τούτων ὁ σωτὴρ τοὺς ἑαυτοῦ μαθητὰς, ἵν'
εἰδεῖεν, ὅπως τε καὶ τίνα τρόπον, ταῖς τῶν ἐπι-
δεχομένων αὐτοὺς οἰκίαις ἐνδιαιτᾶσθαι χρὴ· δεῖ
γὰρ εἰσβάλλοντας, οὐχ ὑπτιοῦσθαι μᾶλλον εἰς
ἀνέσεις, οὔτε μὴν ὅλως δοκεῖν ταύτης ἕνεκα τῆς
αἰτίας, καταλύειν παρά τισιν· ἀλλ' ἵνα μᾶλλον
αὐτοὺς ἐπιμεστώσειαν μαθημάτων θείων καὶ ἱε-
ρῶν· οἱ δὲ τὴν ἑστίαν αὐτοῖς ἀνευρύνοντες, ὑπαν-
τάτωσαν ἱλαροὶ καὶ πρόθυμοι· οὐχ' ὡς διδόν-
τές τι μᾶλλον, ἀλλ' ὡς αὐτοὶ ληψόμενοι, κα-
τὰ διττὸν τρόπον· πρῶτον μὲν γὰρ ταῖς παρὰ
τῶν ξενιζομένων ἐπρυφήσουσι μυσταγωγίαις· εἶ-
τα πρὸς τούτῳ, καὶ τὸν τῆς φιλοξενίας κερδα-
νοῦσι μισθόν· ἐπιδεχόμενοι δὲ εἰς ἑστίαν τοὺς
ἀδελφοὺς, μὴ περισπάσθωσαν περὶ πολλὴν δια-

x. κονίαν, μὴ ζητείτωσαν τὰ ὑπὲρ χεῖρα καὶ χρείαν· λυπεῖ γὰρ παντάχοῦ ἐν παντὶ πράγματι τὸ περιττὸν· ἐνεργάζεται μὲν γὰρ τοῖς φιλοξενεῖν ἐθέλουσι, ὄκνον· καμάτου δὲ τοῖς ἑστιωμένοις εὑρίσκεται πρόξενον.

CAP. XI.

XI. v. 1. p. 147. a. Καί τοι θεός ἐστιν ἀληθινὸς, καὶ υἱὸς τοῦ ἐπὶ πάντας θεοῦ, καὶ διανέμει μὲν αὐτὸς τῇ κτίσει τὰ πάντα· δι' ὧν ἂν εὖ ἔχοι καὶ σώζηται· δεῖται δὲ ὅλως αὐτὸς οὐδενὸς· πλήρης γάρ ἐστι φησὶν αὐτὸς· τίνος οὖν ἐν χρείᾳ καθεστάναι φαίη τίς ἂν αὐτὸν, πάντα ἔχοντα φυσικῶς τὰ τοῦ πατρὸς; ἔφη γὰρ ἐναργῶς, ὅτι πάντα ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστιν· ἔχει δὲ ὁ πατὴρ τὸ εἶναι πλήρης ἀγαθοῦ παντὸς καὶ θεοπρεπῶν ἀξιωμάτων· ἔστι δὲ τοῦτο καὶ τοῦ υἱοῦ· καὶ τοῦτο εἰδότες οἱ ἅγιοι, λέγουσιν ὅτι ἐκ τοῦ πληρώματος αὐτοῦ πάντες ἡμεῖς ἐλάβομεν· τί δῆτα οὖν προσεύχεται φησὶν, εἰ πλήρης ἐστὶ, καὶ οὐδενὸς ὅλως δεῖται τῶν τοῦ πατρὸς; πρὸς τοῦτο φαμὲν ὅτι δίδωσι μὲν αὐτῷ τῆς μετὰ σαρκὸς οἰκονομίας ὁ τρόπος, τὸ εἴ περ ἔλοιτο πληροῦν τὰ ἀνθρώπινα, καιροῦ καλοῦντος εἰς τοῦτο· εἰ γὰρ ἔφαγε καὶ πέπωκεν, ὕπνου τε μετεσχηκὼς εὑρίσκεται, τί τὸ ἄτοπον; κἂν εἰ τοῖς καθ' ἡμᾶς

συγκαθιστάμενος μέτροις, καὶ ἀνθρώπινην δι- XI.
καιοσύνην ἀποπληρῶν, οὐκ ἀνεπιλήδευτον ἐποιεῖτο τὴν προσευχὴν, ἵνα ἡμᾶς διδάξῃ μὴ ῥᾳθύμους εἶναι πρὸς τοῦτο· συντείνεσθαι δὲ μᾶλλον λιτὰς· οὐκ ἐν πλατείαις ἑστῶτας μέσαις· ἔδρων γὰρ τοῦτο τῶν ἰουδαίων τινὲς, γραμματεῖς δέ εἰσιν οὗτοι καὶ φαρισαῖοι, φιλοδοξίας ἀφορμὴν τὸ χρῆμα ποιούμενοι· καταμόνας δὲ μᾶλλον, ἡσυχῇ τε καὶ ἀνακεχωρημένως, καὶ οἷον μόνους μόνῳ λαλοῦντας θεῷ καθαρῷ καὶ ἀπερισπάτῳ νῷ· ἔδει γὰρ ἀγαθοῦ παντὸς καὶ ἐπωφελεστάτου πράγματος ἀρχὴν καὶ διδάσκαλον, οὐχ' ἕτερόν τινα ἡμῖν γενέσθαι μᾶλλον, ἀλλ' αὐτὸν τὸν ἐν πᾶσι πρωτεύοντα καὶ τὰς παρὰ πάντων δεχόμενον λιτάς.

Ὦ πολλῆς ἀφθονίας, ὦ γαληνότητος ἀσυγ- v. 2.
κρίτου, καὶ μόνῳ πρεπούσης αὐτῷ· τὴν ἰδίαν ἡμῖν χαρίζεται δόξαν, ἀναβιβάζει τὸ δοῦλον εἰς ἐλεύθερον ἀξίωμα, πατέρα καλεῖν ἐφίησι τὸν θεὸν, ὡς ἐν υἱῶν τάξει γεγενημένους· παρ' αὐτοῦ δὲ καὶ τοῦτο μετὰ τῶν ἄλλων ἐσχήκαμεν· καὶ μαρτυρήσει λέγων ὁ σοφὸς Ἰωάννης περὶ αὐτοῦ· ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι· μεμορφώμεθα γὰρ εἰς υἱότητα, διὰ γεννήσεως τῆς πνευματικῆς, τελουμένης ἐν ἡμῖν οὐκ ἐκ σπορᾶς φθαρτῆς μᾶλλον, ἀλλὰ διὰ λόγον ζῶντος θεοῦ καὶ

p. 149. a.

XII. μένοντος, καθὰ γέγραπται· βουληθεὶς γὰρ ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας εἰς τὸ εἶναι ἡμᾶς ἀπαρχήν τινα τῶν ἑαυτοῦ κτισμάτων· ἔφη γὰρ οὕτω τίς τῶν ἁγίων ἀποστόλων, καὶ αὐτὸς δέ που Χριστὸς, τὴν τοῦ πραγμάτος ὁδὸν ἐναργῆ καθίστη, λέγων· ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ· μᾶλλον δὲ, δεῖ γὰρ πρὸς ὑμᾶς, καί τι τῶν ἀπορρήτων εἰπεῖν· αὐτὸς ἡμῖν γέγονε τῆς οὕτω λαμπρᾶς καὶ ἀξιοκτήτου χάριτος ὁδὸς, καὶ θύρα, καὶ ἀφορμὴ, τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ὑπελθὼν· ἔλαβε γὰρ δούλου μορφὴν, καί τοι καθὸ νοεῖται καὶ ἔστιν θεὸς, ἐλεύθερος ὢν, ἵν' ἡμῖν τὰ ἑαυτοῦ χαρίσηται· μόνος γὰρ κατὰ φύσιν ἐλεύθερος αὐτὸς, ὅτι καὶ μόνος ἐστὶν υἱὸς τοῦ τὰ πάντα ὑπερκειμένου καὶ κατεξουσιάζοντος τῶν ὅλων, φύσει τε καὶ ἀληθῶς ἐλευθέρου πατρὸς· πᾶν γὰρ τὸ παρενεχθὲν εἰς γένεσιν, δοῦλον ὑπέχει τῷ κτίσαντι, τὸν αὐχένα· ψάλλει γοῦν ὁ μελῳδὸς, καὶ φησὶ πρὸς αὐτὸν· ὡς τὰ σύμπαντα δοῦλα σου· ὅτι δὲ τὰ ἡμῶν εἰς ἑαυτὸν μεταθεὶς, οἰκονομικῶς δέδωκεν ἡμῖν τὰ ἑαυτοῦ, πιστώσεται γράφων ὁ τῶν αὐτοῦ μυστηρίων ἱερουργὸς, ὁ πάνσοφος Παῦλος· ὅτι πλούσιος ὢν, ἐπτώχευσεν, ἵν' ἡμεῖς τῇ αὐτοῦ πτωχείᾳ πλουτήσωμεν· πτωχεία μὲν γὰρ τῷ θεῷ λόγῳ, τὰ καθ' ἡμᾶς,

ἤτοι τὰ ἀνθρώπινα· πλοῦτος δὲ τῇ ἀνθρώπου xi.
φύσει, τὸ λαβεῖν τὰ αὐτοῦ· ὧν ἔν ἐστι τὸ ἐλεύθερον ἀξίωμα, πρέπον ὡς μάλιστα τοῖς εἰς υἱότητα κεκλημένοις· αὐτοῦ δὲ καὶ τοῦτο, ὡς ἔφην, τὸ δῶρον· ἔφη γὰρ πρὸς ἡμᾶς, καὶ πατέρα μὴ καλέσητε ἐπὶ τῆς γῆς, εἷς γάρ ἐστιν ὁ πατὴρ ὑμῶν, ὁ οὐράνιος· πάντες δὲ ὑμεῖς, ἀδελφοί ἐστε· ἐπειδὴ γὰρ γέγονε καθ' ἡμᾶς, διὰ τοῦτο πεπλουτήκαμεν ἡμεῖς τὴν πρὸς αὐτὸν ἀδελφότητα· κελεύει τοίνυν παῤῥησιάζεσθαί τε καὶ λέγειν ἐν προσευχαῖς πατέρα· οἰκονομικώτατα δὲ λίαν δίδωσι κἀκεῖνο τοῖς προσευχομένοις ἐννοεῖν· εἰ γὰρ πατέρα καλοῦμεν τὸν θεὸν, καὶ τῆς οὕτω λαμπρᾶς ἠξιώθημεν τιμῆς, πῶς οὐκ ἀξίως τοῦ τετιμηκότος πολιτευσόμεθα; τοῦτό τις ἔφη τῶν ἁγίων ἀποστόλων· εἰ πατέρα ἐπικαλεῖσθε τὸν ἀπροσωπολήπτως κρίνοντα κατὰ τὸ ἑκάστου ἔργον, ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε.

Ἆρα ἁγιασμοῦ προσθήκην ἐγγενέσθαι πα- p. 149. b.
ρακαλοῦμεν τῷ πανάγιῳ θεῷ; καὶ μὴν τοῦτο ἐστὶν οὐκ ἄμεμπτον παντελῶς· πλήρης γάρ ἐστι, καθὰ φησὶν αὐτὸς, ἐξ ἑαυτοῦ τὲ, καὶ ἐν ἑαυτῷ παντέλειος, καὶ αὐτός ἐστιν ὁ χορηγῶν τῇ κτίσει τὸν ἁγιασμὸν, ἐξ ἰδίου πληρώματος· πρὸς δὲ αὖ τούτοις, εὔηθες καὶ καταγέλαστον τὸ νομίζεσθαι τοὺς προσευχομένους οὐχ' ὑπέρ γε

XI. μᾶλλον ἑαυτῶν, ἀλλ' ὑπὲρ αὐτοῦ ποιεῖσθαι τὰς λιτὰς; τί οὖν ἄρα ἐστὶ τὸ ἁγιασθήτω τὸ ὄνομά σου; φαμὲν, ὅτι οὐχ' ἁγιασμοῦ προσθήκην ἐνυπάρξαι παρακαλοῦσι τῷ ἐπὶ πάντας θεῷ· τίς γάρ ἐστιν ὁ μείζων αὐτοῦ, καὶ προσδοῦναί τι δυνάμενος; χωρὶς γὰρ πάσης ἀντιλογίας, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται· ἐκεῖνο δὲ μᾶλλον, ἑαυτοῖς τε καὶ πᾶσιν ὑπάρξαι παρακαλοῦσιν· ὅτε διακείμεθα καὶ πιστεύομεν ὅτι θεὸς ὁ φύσει καὶ ἐπὶ πάντας, ἅγιος ἁγίων ἐστὶ, τότε τὸν φόβον αὐτοῦ λαβόντες εἰς νοῦν, ὀρθήν τε καὶ ἀνεπίληπτον ἐπιτηδεύομεν ζωήν· ἵνα οὕτως ἅγιοι γεγονότες, ἐγγὺς εἶναι δυνηθῶμεν τοῦ ἁγίου θεοῦ· γέγραπται γὰρ ὅτι ἅγιοι ἔσεσθε, ὅτι ἐγὼ ἅγιος εἰμὶ· ἔφη δή που καὶ πρὸς τὸν ἱεροφάντην Μωϋσέα· ἐν τοῖς ἐγγίζουσί μοι ἁγιασθήσομαι· οὐκοῦν ἐν ἡμῖν, φησὶν, ἅγιον ἔστω τὸ ὄνομά σου· τοῦτο γὰρ δὴ τὸ ἁγιαθήτω δηλοῖ· καὶ οὐχ ὑπὲρ ἑαυτῶν μόνον, ἀλλὰ καὶ ὑπὲρ παντὸς τοῦ κόσμου, τοῦτο παρακαλοῦσιν· ἐννόησαν γὰρ ὅτι παρὰ τοῖς οὔπω τὸ τῆς ἀληθείας πλουτήσασι φῶς, μήτε μὴν τὴν πίστιν παραδεξαμένοις, ἔτι καταπεφρόνηται τὸ ὄνομα τοῦ θεοῦ· οὔπω γὰρ αὐτοῖς ἅγιον εἶναι δοκεῖ, καὶ σεπτὸν καὶ προσκυνητὸν· ἐπὰν δὲ τὸ τῆς ἀληθείας αὐτοῖς ἐλλάμψῃ φῶς, καὶ ὡς ἐκ νυκτὸς καὶ σκότους διαγρηγορήσωσι, μόλις

τότε μαθόντες τίς τε καὶ ὅσος ἐστὶν, ἅγιον ἁ- XI.
γίων ὁμολογοῦσιν αὐτὸν· ὅτι δὲ τοῦθ' οὕτως
ἔχει, συνήσεις ἐντεῦθεν· ἔφη τίς τῶν ἁγίων
προφητῶν· κύριον αὐτὸν ἁγιάσατε, καὶ αὐτὸς
ἔσται σοι φόβος· καὶ ἐὰν ἐπ' αὐτῷ πεποιθὼς
ᾖς, ἔσται σοι εἰς ἁγιασμόν· ἆρα οὖν ἡμεῖς ἅ-
γιον ἀποτελοῦμεν τὸν θεὸν, τὸν ἐξ ἰδίου πλη-
ρώματος διανέμοντα πλουσίως τῇ κτίσει τὰ παρ'
ἑαυτοῦ; ἀλλὰ δῆλον ὡς ἐκεῖνο διδάσκειν φα-
μὲν αὐτὸν, ὅτι ἅγιον εἶναι αὐτὸν πιστεύετε, τό-
τε γὰρ αὐτὸν φοβηθήσεσθε· ἔσται δὲ οὗτος
ὑμῖν καὶ εἰς ἁγιασμόν· γέγραπται δὲ πάλιν
περὶ Χριστοῦ· ἁγιάσατε τὸν φαυλίζοντα τὴν ψυ-
χὴν· τουτέστι, παρ' οὐδὲν αὐτὴν ἡγήσατο· τέ-
θεικε γὰρ αὐτὴν ὑπὲρ ἡμῶν· πλὴν ἁγιαζέσθω,
φησὶ, παρ' ὑμῶν, τουτέστιν ὁμολογείσθω ἅγιος·
καὶ γάρ ἐστι τοῦτο κατὰ φύσιν, θεὸς ὢν ἀλη-
θινὸς, καὶ υἱὸς θεοῦ· τὸ γὰρ ἅγιον οὐσιωδῶς,
πρέπει ἂν οὐδενὶ μὲν τῶν ἐξ οὐκ ὄντων εἰς τὸ
εἶναι παρεννηνεγμένων, μόνῃ δὲ τῇ ἀνωτάτῳ καὶ
ὑπὲρ πάντα φύσει· ὅταν οὖν πιστεύωμεν ὅτι κα-
τὰ φύσιν ἅγιος ἐστὶ, τοῦτο γάρ ἐστι τὸ ἁγιά-
ζειν αὐτὸν, τότε προσομολογοῦμεν ὅτι καὶ θεός
ἐστιν ἀληθινὸς, ἔτι δὲ κεχωρισμένος ἀπὸ τῶν
λοιπῶν, καὶ ἐν ὑπεροχῇ μεγίστῃ.

Ἀεί γε μὴν βασιλεύοντος τοῦ θεοῦ, καὶ κα- p. 150. a.
τακρατοῦντος ὅλων, τί δὴ βούλεται τὸ, ἐλθέ-

XI. τω ἡ βασιλεία σου; ἐοίκασι τοίνυν ἐπιθυμεῖν οἱ τοῦτο λέγοντες ἐν ϖροσευχαῖς, ἐϖιλάμψαντα ϖάλιν ἰδεῖν ἐν κόσμῳ, τὸν τῶν ὅλων σωτῆρα Χριστὸν· ἥξει γὰρ ἥξει, καὶ καταβήσεται κριτὴς, καὶ οὐκ ἐν ὑφέσει τότε τῇ καθ' ἡμᾶς, ἀλλ' ἐν δόξῃ θεοπρεπεῖ δορυφορούνϛων ἀϒγέλων, ἵνα κρίνῃ τὸν κόσμον· ἀπολογίας τοίνυν ὁ τότε καιρὸς, μᾶλλον δὲ δοκιμασίας καὶ ἀνταποδώσεως· πῦρ ἠὐτρέπισϛαι τοῖς ἀνόμοις, καὶ δίκη μακρὰ, διηνεκῆ κολαστήρια· εἶτα πῶς ἰδεῖν ἐκεῖνον εὔχονϛαι τὸν καιρὸν; ἄθρει δή μοι πάλιν τοῦ σωτῆρος τὸ εὐτεχνὲς, καὶ τὴν ἐφ' ἑκάϛῳ τῶν πραϒμάτων ἀξιοθαύμαϛον οἰκονομίαν· ἐκέλευσε ϒὰρ διὰ προσευχῆς αἰτεῖν αὐτὸν ἐκεῖνον τὸν ὄντως φρικτὸν ἐπιϛῆναι καιρὸν, ἵνα εἰδεῖεν ὅτι διαβιοῦν αὐτοὺς ἀναϒκαῖον, οὐ ῥᾳθύμως ἢ παρειμένως, ἀϒιοπρεπῶς δὲ μᾶλλον, καὶ κατά ϒε τὸ αὐτῷ δοκοῦν· ἵνα στεφάνων αὐτοῖς εὑρεθῇ πρόξενος ὁ καιρὸς, καὶ μὴ πυρὸς καὶ δίκης· τοῖς ϒὰρ ἀνόμοις καὶ βεβήλοις, πρέποι ἂν κατ' οὐδένα τρόπον τὸ λέϒειν ἐν προσευχαῖς, ἐλθέτω ἡ βασιλεία σου· ἤϒουν ἵϛωσαν ὡς τοῦτο λέϒοντες, μονονουχὶ καταιτιῶνται θεὸν, ὅτι μὴ θᾶττον αὐτοῖς ὁ τοῦ κολάζεσθαι καιρὸς ἀνίσχει καὶ φαίνεται· τούτοις ἐπιφθέϒϒεταί τις τῶν ἁϒίων προφητῶν· οὐαὶ οἱ ἐπιθυμοῦνϛες τὴν ἡμέραν κυρίου· ἵνα τί; ὑμῖν αὕτη ἡ ἡμέρα τοῦ κυ-

ρίου, καὶ αὕτη ἐστὶ σκότος καὶ οὐ φῶς, καὶ γνόφος οὐκ ἔχων φέγγος· οὐκοῦν αἰτοῦσιν οἱ ἅγιοι τὸν τῆς τοῦ σωτῆρος ἡμῶν ἀλοτελοῦς βασιλείας ἐπιστῆναι καιρὸν, ἅτε δὴ πεπονηκότων ἃ δεῖ, καὶ τῶν ἤδη προειργασμένων αὐτοῖς ζητοῦντες τὰς ἀμοιβὰς· τεθαρρήκασι γὰρ ὅτι λαμπροὶ παραστήσονται τῷ κριτῇ. XI.

Ἁγιοπρεπὲς δὲ καὶ τοῦτο, καὶ παντὸς ἐπαίνου μεστὸν· τὸ γὰρ ἐν γῇ βούλεσθαι κρατεῖν τὸ ἀγαθὸν θέλημα τοῦ θεοῦ, τί ἂν ἕτερον εἴη, πλὴν ὅτι τὸ πάντας ἐθέλειν ἁπάσης ἀρετῆς ἀποτελεστὰς εἶναι καὶ ἐπιστήμονας; οὕτω καὶ διαπρέπειν ἐν οὐρανοῖς τοὺς ἁγίους ἀγγέλους φαμὲν· γέγραπται γὰρ περὶ αὐτῶν· εὐλογεῖτε τὸν κύριον πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ, ποιοῦντες τὰ θελήματα αὐτοῦ· ἰσχὺν τοίνυν παρακαλοῦσι δοθῆναι τοῖς ἐπὶ τῆς γῆς οἱ τοῦτο λέγοντες, ἵνα ποιῶσι τὸ θέλημα τοῦ θεοῦ· καὶ τὴν ἄνω καὶ ἐν οὐρανοῖς ἀπομιμῶνται πολιτείαν, τὴν παρά γε φημὶ τοῖς ἁγίοις ἀγγέλοις· ἵνα ὡς ὁ Παῦλος φησὶν, ἐπὶ γῆς περιπατοῦντες, ἔχωσιν ἐν οὐρανῷ τὸ πολίτευμα· πρὸς δ' αὖ τούτοις φαμὲν ὅτι τῆς ἁμαρτίας τὴν ἀναίρεσιν αἰτοῦσιν ἰδεῖν οἱ λέγοντες, γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· θέλημα γὰρ, ὡς ἔφην, τοῦ ἐπὶ πάντας θεοῦ, τὸ ἁγίως πολιτεύεσθαι τοὺς ἐπὶ τῆς γῆς· ἵνα τῆς p. 150. b

XI. τῶν πρωτοτόκων ἐκκλησίας, τῆς ἄνω φημὶ, μίμημα καὶ εἰκὼν, ὥσπερ τις ἡ ἐπὶ γῆς ὁρωμένη, κατευφραίνῃ Χριστόν.

Οἶονται δὲ ἴσως τινὲς, ἀνάρμοστον εἶναι καὶ ἀπεοικὸς ἁγίοις, τὸ αἰτεῖν παρὰ θεοῦ τὰ σωματικὰ· καὶ ταύτης ἕνεκα τῆς αἰτίας, ἀποφέρουσι τὸ εἰρημένον εἰς πνευματικὴν θεωρίαν· καὶ δὴ καὶ ἄρτον φασὶν αὐτοὺς αἰτεῖν, οὐκ ἐπίγειον, οὐ σωματικὸν, ἐκεῖνον δὲ μᾶλλον, τὸν ἄνωθεν καὶ ἐξ οὐρανοῦ καταβαίνοντα, καὶ ζωὴν τὸ κόσμῳ παρέχοντα· ἢ ὡς φασιν ἀληθεῖ οὐσίᾳ καὶ ἀσωμάτῳ, τουτέστι τῇ ψυχῇ· αὕτη γὰρ διὰ τὸ μὴ ῥευστὸν, κυρίως οὐσία ἐστὶν· ἐγὼ δὲ ὅτι μὲν ἁγίοις πρέποι ἂν ὅτι μάλιστα τὸ πνευματικῶν χαρισμάτων ἐπείγεσθαι μεταλαχεῖν, φαίην ἄν, ἐνδοιάσας οὐδὲν· πλὴν ἐκεῖνο ἄξιον ἰδεῖν, ὅτι καὶ ἄρτον αἰτῶσι κοινὸν, καὶ τοῦτο δρᾷν αὐτοῖς προστέταχεν ὁ σωτὴρ, μώμου παντὸς ἐλευθέραν ποιοῦνται τὴν πρόσοδον· ἄθρει γὰρ ὁποῖος τοῖς εἰρημένοις ἐγκέκρυπται νοῦς· δι' ὧν γὰρ προστέταχεν ἄρτον αἰτεῖν, ἤτοι τροφὴν τὴν ἐφήμερον· δῆλος ἂν εἴη δήπουθεν, μηδὲν ἔχειν αὐτοῖς ἐφιεὶς, ἁγιοπρεπῆ δὲ μᾶλλον ἐπιδεύειν πτωχείαν· οὐ γὰρ τῶν ἐχόντων τὸ αἰτεῖν, ἀλλὰ τῶν ἐν σπάνει καθεστηκότων· ἐπὰν δέ τις οὐδενὸς ἐν χρείᾳ καθεστηκὼς, θεῷ τῷ πάντα εἰδότι λέγει· δὸς ἄρτον ἡμῖν τὸν ἐφήμερον, δό-

ξειεν ἂν εἰρωνεύεσθαι μᾶλλον, ἢ γοῦν ἀληθῶς XI.
βούλεσθαι λαβεῖν· ἄρτον δὲ τὸν ἐπιούσιον, οἱ
μὲν εἶναι φασὶ τὸν ἥξοντά τε καὶ δοθησόμενον
κατὰ τὸν αἰῶνα τὸν μέλλοντα, ἵνα νοῆται πά-
λιν πνευματικῶς· οἱ δὲ καὶ ἑτέρας ἐννοίας ἀπο-
φέρουσι τὴν φωνήν· ἀλλ' εἴπερ ἦν ἀληθὲς ὡς
ἄρτου τοῦ δοθησομένου κατὰ τὸν αἰῶνα τὸν μέλ-
λοντα μνήμην ποιοῦνται προσευχόμενοι, διὰ τί
προσεπάγουσι τό, δίδου ἡμῖν τὸ καθημέραν;
ἔστι γὰρ ἔτι διὰ τούτων ἰδεῖν, ὅτι τῆς ἐφημέ-
ρου τροφῆς ποιοῦνται τὴν αἴτησιν, ὡς ἀκτήμο-
νες δηλονότι· ἐπιούσιον δὲ τὸν αὐτάρκη νοεῖ-
σθαι χρή· τέθεικέ που τὴν λέξιν, καὶ ὁ μακά-
ριος ἀποστόλος, βραχὺ παραλλάξας, ἐπὶ τοῦ
πάντων ἡμῶν σωτῆρος Χριστοῦ· ἔφη γὰρ αὐτὸν
ἑαυτῷ κατασκευάσαι λαὸν περιούσιον, ἀντὶ τοῦ
ἐπιουσίου, τὸν περιούσιον εἰπών· τουτέστι, τὸν
ἀρκοῦντα, καὶ τοῦ τελείως ἔχειν οὐχ' ὑστερούμενον.

Βούλεται χρηστοὺς καὶ ἀμνησικάκους εἶναι v. 4.
τοὺς ἑαυτοῦ μαθητὰς, ὁ κύριος· ὡς ἀνεπιπλή- p. 151. a.
κτως δύνασθαι λέγειν ἐν προσευχαῖς· ἄφες ἡμῖν,
ὅτι ἀφήκαμεν· ὦ βάθος πλούτου καὶ σοφίας,
καὶ γνώσεως· πρῶτον, αἰτεῖν ἐπιτάττει τῶν αὐ-
τοῖς ἡμαρτημένων τὴν ἄφεσιν, εἶθ' οὕτως ὁμο-
λογεῖν· ὅτι πάντη τε καὶ πάντως ἀφήσουσι καὶ
αὐτοὶ· καὶ ἵνα οὕτως εἴπω, τῆς ἐνούσης αὐτοῖς
ἀνεξικακίας μιμητὰς ἐθέλουσι γενέσθαι τὸν θεὸν,

XI. καὶ ἦν ἂν αὐτοὶ παράσχωνται τοῖς ὁμοδούλοις χρηστότητα, ταύτην ἐν ἴσῳ μέτρῳ ζητοῦσι λαβεῖν παρὰ τοῦ τὰ δίκαια νέμοντος, καὶ κατοικτείρειν ἅπαντας εἰδότος θεοῦ· καὶ μή τις οἴεσθω τοῖς τυχοῦσιν ἁπλῶς ἐξεῖναι λέγειν, ἄφες ἡμῖν τὰς ἁμαρτίας ἡμῶν· οὐ γὰρ τοῖς οὖσιν ἐν τῷ πλημμελεῖν ἔτι πρέποι ἂν λέγειν τὸ ἄφες ἡμῖν τὰς ἁμαρτίας ἡμῶν· ἐκείνοις μᾶλλον οἵπερ ἂν εἶεν ἀποφοιτήσαντες μὲν τῶν ἤδη προεπταισμένων, ἀντεχόμενοι δὲ τοῦ διαζῆν λοιπὸν ἐθέλειν ἁγιοπρεπῶς· δεῖ τοίνυν αἰτεῖν παρὰ θεοῦ τῶν ἡμαρτημένων τὴν ἄφεσιν, προαφέντας ἡμᾶς τοῖς κατά τι γοῦν προσκεκρουκόσιν, ὅταν εἰς ἡμᾶς καὶ μὴ εἰς αὐτὴν τὴν θείαν καὶ ὑπερτάτην ἁμαρτάνωσι δόξαν· οὐ γὰρ ἐκείνων ἡμεῖς ἐσμὲν κύριοι, μόνον δὲ τῶν εἰς ἡμᾶς γεγονότων.

p. 152. a. Μέχρι μὲν τούτου τὴν προσευχὴν ἵστησιν ὁ Λουκᾶς· ὁ δέ γε Ματθαῖος εὑρίσκεται προσεπενεγκών· ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ἔνεστι δὲ τοῖς λόγοις πλείστη τις ἀκολουθία· ἕψεται γὰρ πάντως τῷ μὴ εἰσελθεῖν εἰς πειρασμὸν, τὸ ἐκ τοῦ πονηροῦ ῥυσθῆναι ἡμᾶς· ἢ τάχά που, ταὐτὸν εἶναί τις εἰπὼν τὸ ῥυσθῆναι τῷ μὴ εἰσελθεῖν εἰς πειρασμὸν, οὐκ ἂν ἁμάρτοι τἀληθοῦς· οὐκ ἀνάνδρους δὲ ἡμᾶς οὔτε δειλοὺς εἶναι βούλεται, ταῦτα διδάσκων λέγειν, νεανικοὺς δὲ μᾶλλον, καὶ ἐφ' ἅπασιν εὐτόλμους τοῖς

ἐπαινομένοις· ὡρὸς δὲ αὖ τούτοις, καὶ μετριό- XI.
φρονας καὶ πτωχοὺς τῷ πνεύματι, καὶ μὴ νο-
μίζειν ὅτι πάντη τὲ καὶ πάντως, παντὸς περιε-
σόμεθα πειρασμοῦ· ἀφόρητον γὰρ ἔσθ' ὅτε κατ-
εμπίπτει δέος τῆς ἀνθρώπου ψυχῆς, καὶ εὐτολ-
μότατον συνθραύει φρόνημα τοῦ πειρασμοῦ τὸ
βάρος· χρὴ τοίνυν μὴ καταθρασύνεσθαι πειρα-
σμῶν, διαλογίζεσθαι δὲ μᾶλλον τῆς ἐν ἡμῖν
διανοίας τὸ ἀσθενὲς· οὐκοῦν παραιτώμεθα μὲν,
τὸ πειράζεσθαι· καιροῦ δὲ καλοῦντος ὡς ἐξ
ἀνάγκης εἰς τοῦτο, τότε δὴ τότε παντὶ σθένει
χρωμένους ἀγωνίζεσθαι χρὴ· διττὸν δὲ τὸ εἶ-
δος τῶν πειρασμῶν· ἢ γάρ τις ὑπὸ τῶν ἑτερο-
φρόνων πειράζεται, ἢ ὑπὸ τῶν τῆς ἀτιμίας πα-
θῶν· δεῖ δὴ οὖν ἄρα τοῖς οὕτω δεινοῖς ἐνομι-
λοῦντας κακοῖς, ἢ γοῦν οὔπω γεγονότας ἐν αὐ-
τοῖς, προσεύχεσθαί τε καὶ λέγειν, μὴ εἰσαγά-
γῃς ἡμᾶς εἰς πειρασμὸν· ἐπιπηδήσαντος δὲ πει-
ρασμοῦ, τότε γενναίως ἵστασο, ἐνωτίμησον τῇ
σαρκὶ, χαλινὸν ἐπίθες τῷ νῷ, αἴτησον ἐπικου-
ρίαν τὴν παρὰ θεοῦ· ἐπικουρήσει γὰρ τότε καὶ
παρέξει τὸ νικᾶν ὁ τῶν ὅλων σωτὴρ καὶ κύριος.

Θαυμαστὴ τῶν ἐννοιῶν ἡ τάξις· ἐδίδαξε μὲν
γὰρ ὁ σωτὴρ, τίνα δεῖ προσεύχεσθαι τρόπον, p. 153. a.
αἰτησάντων τοῦτο τῶν ἁγίων ἀποστόλων· ἀλλ'
εἰκὸς τοὺς τὸ σεμνὸν δὴ τοῦτο καὶ σωτήριον
ἐσχηκότας μάθημα παρ' αὐτοῦ, ποιεῖσθαι μὲν

XI. τὰς λιτὰς κατὰ τὸν δοθέντα τύπον, ἀψικόρως δὲ τοῦτο δρᾶν καὶ ῥᾳθύμως· εἶτα μὴ ἀκουσθέντας ἐκ πρώτης εὐχῆς, ἢ γοῦν καὶ δευτέρας, ἀνακόψαι τὰς ἱκετείας, ὡς οὐδὲν ἐχούσας τὸ τελοῦν εἰς ὄνησιν· ἵνα τοίνυν μὴ τοῦτο πάθοιμεν, μήτε μὴν ἐκ τῆς τοιαύτης μικροψυχίας ὑποστῶμεν ζημίαν, ἐν τρόπῳ παραβολῆς διαδείκνυσιν ἐναργῶς· ὡς τὸ ῥάθυμον μὲν εἰς προσευχὰς ἐπιζήμιον· ἐπωφελεστάτη δὲ λίαν, ἡ ἔν γε τούτοις ὑπομονή· φέρε δὴ μεταστήσωμεν τὸ, ὡς ἐν τύπῳ παραβολῆς δεικνύμενον, εἰς ἀλήθειαν· ὄχλησον διὰ προσευχῆς· πρόσιθι τῷ φιλαγάθῳ θεῷ, καὶ μάλα συχνῶς· κἂν ἴδῃς μέλλουσαν τῆς χάριτος τὴν ἐπίδοσιν, μὴ ἀπεγνῷς τῶν προσδοκωμένων, μήτε ἀπολισθήσῃς τῆς προκειμένης ἐλπίδος, ἐκεῖνο ἴσως λέγων καθ' ἑαυτὸν, ἀσυνέτως· προσῆλθον πολλάκις, δεδάκρυκα, ἐδεήθην, καὶ οὐ προσεδέχθην· οὐ γὰρ ἐκβέβηκέ τι πρὸς πέρας, τῶν αἰτηθέντων παρ' ἐμοῦ· ἐκεῖνο δὲ μᾶλλον ἐννοήσει κατὰ σαυτὸν, ὑπὲρ ἡμᾶς οἶδε τὰ καθ' ἡμᾶς, ὁ τῶν ὅλων ταμίας· αἰτεῖς ἔσθ' ὅτε τὰ τῶν σῶν ἐπέκεινα μέτρων· οἶδεν αὐτὸς ὁ διδοὺς, τὸν ταῖς φιλοτιμίαις πρέποντα καιρὸν· χρὴ τοιγαροῦν ἡμᾶς ἐμφρόνως τὲ ὁμοῦ καὶ ἐντόνως, τὰς πρὸς θεὸν ποιεῖσθαι λιτὰς· κἂν εἰ γένοιτό τις τῶν αἰτημάτων ἀνάκλησις· τὸ γὰρ

ἀνιδρωτὶ πορισθὲν καὶ ἐξ ἑτοίμου ληφθὲν, κα- XI.
ταφρονεῖσθαι φιλεῖ.

Ἐνταῦθα τὸ λέγω ὑμῖν, ὅρκου δύναμιν ἀπο- v. 8. p. 154. a.
πληροῖ· οὐ ψεύδεται δὲ θεὸς, κἂν ὅρκου δίχα γένηται τὸ ἐπηγγελμένον· ἀπροφάσιστον δὲ ἀποφαίνων τὴν ἡμῶν ὀλιγοπιστίαν, ἔσθ' ὅτε ὅρκῳ βεβαιοῖ τοὺς ἀκροωμένους· τὸ δὲ ζητεῖτε λέγων, τὸ πονεῖν ἐπιτάττει· πόνῳ γὰρ ἀεί πως, εὑρίσκεται τὸ ζητούμενον· ὁ κρούων, τῇ χειρὶ προσαράττει τὴν θύραν, ἵνα τὴν τῶν κρουμάτων ὄχλησιν οὐκ ἐνεγκὼν ὁ τῆς ἑστίας δεσπότης, ἀνοίξῃ καὶ οὐχ ἑκών· μάθε τοίνυν ἐκ τῶν καθ' ἡμᾶς πραγμάτων, τοῦ χρησίμου τὴν θήραν· κροῦσον, ὄχλησον, αἴτησον· τοιούτους εἶναι χρὴ τοὺς αἰτοῦντάς τι παρὰ θεοῦ· γράφει γοῦν ὁ σοφώτατος Παῦλος, ἀδιαλείπτως προσεύχεσθε· θορυβεῖ μὲν γὰρ ὁ διάβολος, οὐ μετρίως· ἀδοκήτοις ἔσθ' ὅτε περιστάσεσιν ἐνιεὶς, καὶ καταφέρων εἰς πολύτροπον ἁμαρτίαν· εἶτα πρὸς τούτῳ, τῆς ἐμφύτου φιληδονίας ὁ νόμος, ἐμφωλεύει τοῖς μέλεσι τῆς σαρκὸς, ἀντιστρατευόμενος τῷ νόμῳ τοῦ νοὸς ἡμῶν, καθὰ τὸ γεγραμμένον· ναὶ μὴν, καὶ οἱ τοῖς τῆς ἀληθείας πολεμοῦντες δόγμασιν αἱρετικοὶ· χρεία τοίνυν συχνῆς καὶ ἀλλεπαλλήλου προσευχῆς· τὰ γὰρ ὅπλα ἡμῶν, οὐ σαρκικὰ κατὰ τὸ γεγραμμένον, ἀλλὰ δυνατὰ τῷ θεῷ.

XI. p. 155. a. Διδάσκει πάλιν ἡμᾶς ὁ σωτὴρ, ἕτερόν τι τῶν ἀναγκαίων εἰς ὄνησιν· πρόσιμεν γὰρ ἔσθ' ὅτε τῷ φιλαγάθῳ θεῷ, τὰς λιτὰς ποιούμενοι, τὰς ἐφ' ἑκάστῳ πράγματι κατὰ τὸ ἑκάστῳ δοκοῦν· ἀλλ' οὐ διακρίνοντες ἔσθ' ὅτε, ἢ βασανίζοντες, τί μέν ἐστι τὸ ἀληθῶς συμφέρον, καὶ ὅπερ ὀνίνησι δοθὲν παρὰ θεοῦ· τί δὲ καὶ τὸ ἀδικοῦν, εἰ λάβοιμεν· ἀκατασκέπτοις δὲ μᾶλλον θελημάτων ὁρμαῖς, ἐμπίπτομεν εἰς ἐπιθυμίας ὀλέθρου μεστὰς· ὅταν οὖν τι τοιοῦτον αἰτῶμεν παρὰ θεοῦ, ληψόμεθα μὲν οὐδαμῶς, γέλωτος δὲ μᾶλλον ἀξίας ποιούμεθα τὴν λιτήν· καὶ ποία τίς ἐστιν ἡ τούτου πρόφασις, παρ' αὐτοῦ μάθωμεν· τίς ἔσται ἐξ ὑμῶν ἄνθρωπος, ὃν αἰτήσει ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; ὡς ἐξ εἰκόνος φησὶ ἤτοι παραδείγματος ἐναργοῦς, ἐκ τῶν καθ' ὑμᾶς αὐτοὺς, τὴν τῶν παρ' ἐμοῦ λεγομένων δύναμιν ἐννοήσατε· πατὴρ γέγονας τέκνων; διὰ τρόπου παντὸς ἐκ πολλῆς ἄγαν φιλοστοργίας ὠφελεῖν ἐθέλεις αὐτά· ὅταν τοίνυν ἄρτον αἰτήσῃ, ἀμελητὶ καὶ χαίρων προσάγεις, εὖ εἰδὼς ὅτι τροφῆς μεταποιεῖται τῆς ἐπωφελοῦς· ὅταν δὲ διὰ φρενῶν ἔνδειαν τὸ βραχὺ παιδίον, οὔπω διακρίνειν εἰδὸς τὰ ὁρώμενα, αἰτήσῃ, δίδως ἆρα, φησὶν, ἢ μᾶλλον ἀποφέρεις αὐτὸ τῆς εἰς τοῦτο βλαβερᾶς ἐπιθυμίας; ὁ δὲ αὐτὸς ἔστω λόγος ἐπί τε ὄφεως καὶ ἰχθύος, ὡοῦ καὶ

σκορπίου· ὅτε τοίνυν, φησὶν, ὑμεῖς ὄντες πονη- XI.
ροὶ, τουτέστι κακίας δεκτικὴν ἔχοντες τὴν διάνοιαν, καὶ οὐ μονότροπον εἰς τὸ ἀγαθὸν, καθὰ καὶ ὁ τῶν ὅλων θεὸς, οἴδατε διδόναι δόματα ἀγαθὰ τοῖς τέκνοις, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος δώσει πνεῦμα ἀγαθὸν τοῖς αἰτοῦσιν αὐτὸν; τουτέστι χάριν πνευματικὴν, ἀγαθὴν δὲ πάντως· ἣν εἴπέρ τις λάβοι, τρισμακάριος ἔσται· οὐκοῦν εἴ τι τῶν τοιούτων ἐθέλοις λαβεῖν, προσιθι χαίρων· κατανεύσει γὰρ ἑτοίμως, φιλάρετος ὢν ὁ ἐν οὐρανοῖς πατήρ.

Τούτου καθαρισθέντος καὶ τελεσθέντος τοῦ v. 14.
θαύματος, κατεχρότει μὲν ἡ πληθὺς ταῖς εὐφημίαις αὐτὸν, καὶ δόξῃ θεοπρεπεῖ στεφανοῦν ἠπείγετο τὸν θαυματουργὸν· τινὲς δέ, φησιν, ἐξ αὐτῶν, οὗτοι δὲ ἦσαν γραμματεῖς τε καὶ φαρισαῖοι, ἀπονοίᾳ καὶ φθόνῳ μεθύουσαν ἔχοντες τὴν καρδίαν, προσθήκην τῇ νόσῳ τὸ θαῦμα πεποίηνται· ἀφιστάντες γὰρ αὐτοῦ τὰ θεοπρεπῶς εἰργασμένα, τῷ διαβόλῳ προσνενεμήκασι τὸ πάντα δύνασθαι κατορθοῦν· δι' αὐτοῦ γὰρ αὐτὸν ἐκβάλλειν ἔφασαν τὰ δαιμόνια.

Καταχωννύων γοῦν ὥσπερ εἰς ἄβυσσον ὁ Χρι- v. 15.
στὸς τὰ πονηρὰ δαιμόνια, καὶ οὐχ' ἑκόντα μεθιστὰς, διὰ τοῦ τῶν ἐχόντων ἐκπέμπειν αὐτὰ· καί τοι δέον ἐπὶ τούτῳ θαυμάζεσθαι τοὺς τῶν εἰωθότων φιλοψογεῖν, οὐ διέδρα λόγους· τετολ-

xi. μήκασι γὰρ εἰπεῖν· ἔγκλημα ποιούμενοι τὴν τερατουργίαν· οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν Βεελζεβούλ.

v. 16. Ἕτεροι δὲ τοῖς ἴσοις τοῦ φθόνου διανυττόμενοι κέντροις, ἐζήτουν ἐξ οὐρανοῦ σημεῖον ἰδεῖν παρ' αὐτοῦ· μονονουχὶ βοῶντες, κἂν ἐξ ἀνθρώπου κακόηθες ἐλάσῃς δαιμόνιον, ἀλλ' οὔπω μέγα τὸ χρῆμα ἐστὶν, οὐδὲ θείας ἐνεργείας ἀπόδειξιν ἔχει τὸ δρώμενον, οὕτω τί τεθεάμεθα τοῖς ἀρχαίοις θαύμασιν ὅμοιον· δεῖξόν τι τῶν ἄνωθεν ἀνενδοιάστως ἐνεργουμένων· διεβίβασε Μωϋσῆς τὸν λαὸν, βάσιμον αὐτοῖς ἀποφήνας τὴν διὰ μέσου θαλάτταν· ἐτύπτησε τῇ ῥάβδῳ, τὴν πέτραν, καὶ ποταμῶν αὐτὴν ἔδειξεν μητέρα· ἐξεδόθησαν ἐκ τῆς ἀκροτόμου πηγαὶ· ὁμοίως ὁ μετ' αὐτὸν Ἰησοῦς, ἔστησε τὸν ἥλιον κατὰ Γαβαὼ, καὶ τὴν σελήνην κατὰ φάραγγα Ἀρνὼν· ἔστησε τὸν Ἰορδάνην, καὶ τοῖς ἐκείνου νάμασιν ἐνῆκε δεσμὸν· σὺ δὲ τούτων ἔδειξας οὐδὲν· τὸ γὰρ ἐξ οὐρανοῦ βούλεσθαι σημεῖον αἰτεῖν, οὐδὲν ἕτερον ὑποσημήνειεν ἂν, πλὴν ὅτι τοιούτους ἐσχήκασιν ἐπ' αὐτῷ τότε διαλογισμούς· καὶ τί πρὸς ταῦτα Χριστὸς; αὐτὸς δὲ εἰδὼς κ. τ. λ.

Πρῶτον μὲν ὄντα θεὸν ἑαυτὸν ἀποφαίνει, διὰ τοῦ καὶ τὸ λάθρα ψιθυρισθὲν παρ' αὐτοῖς, εἰδέναι· ἔγνω γὰρ τοὺς διαλογισμοὺς αὐτῶν.

Τῶν ἀνοσίων φαρισαίων ἡ δυσπροπωπάτη πληθὺς διαβεβλήκασι τὸν Ἐμμανουὴλ, καὶ συκοφαντεῖν ἀπετόλμων τὴν δόξαν αὐτοῦ, ταῖς τοῦ Βεελζεβοὺλ συνεργίαις ἐπικουρούμενον, εἰς τὸ δύνασθαι τὰ πονηρὰ τῶν ἠρρωστηκότων ἐξελαύνειν πνεύματα, δυσσεβῶς ὀνομάζοντες· τοιγάρτοι καὶ διὰ Ὡσηὲ προφήτου τῆς τῶν ἰουδαίων ἀθυροστομίας καπεκεκράγει λέγων αὐτὸς ὁ Ἐμμανουὴλ· οὐαὶ αὐτοῖς, ὅτι ἀπεπήδησαν ἀπ' ἐμοῦ· δείλαιοι εἰσὶν ὅτι ἠσέβησαν εἰς ἐμὲ· ἐγὼ δὲ ἐλυτρωσάμην αὐτοὺς· αὐτοὶ δὲ κατελάλησαν κατ' ἐμοῦ ψευδῆ. XI. p. 156. a.

Ἰουδαῖοι γὰρ καὶ ἐξ ἰουδαίων κατὰ σάρκα γεγόνασιν οἱ μακάριοι μαθηταὶ· οὗτοι τὴν κατὰ πνευμάτων ἀκαθάρτων ἐξουσίαν ἐσχήκασι παρὰ θεοῦ, καὶ δὴ καὶ ἀπήλαυτον τοὺς ἐνισχημένους, ἐπιφωνοῦντες αὐτοῖς τὸ ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ· ὅτε τοίνυν, φησὶν, οἱ ἐξ ὑμῶν γεγονότες υἱοὶ, ἐν ὀνόματί μου τὸν Βεελζεβοὺλ συντρίβουσιν, ἐπιπλήττοντες αὐτοῦ τοῖς δορυφόροις, καὶ ἀμελητὶ τῶν ἐχόντων αὐτοὺς ἐκπέμποντες, πῶς οὐκ ἐναργὴς δυσφημία, πολὺ τὸ ἀμαθὲς δὲ ἔχουσα συμπεπλεγμένον, τὸ λέγειν ἐμὲ δύναμιν δανείζεσθαι τὴν παρὰ τοῦ Βεελζεβοὺλ; κατακριθήσεσθε τοίνυν ὑπὸ τῆς πίστεως ἐξ ὑμῶν γεγονότων υἱῶν, εἴπερ αὐτοὶ μὲν τὴν παρ' ἐμοῦ λαβόντες ἐξουσίαν καὶ δύναμιν παρα-

xi. λύουσι τὸν σατανᾶν· καὶ οὐχ' ἑκόντα τῶν ἐχόντων αὐτὸν ἐκπέμποντες· ὑμεῖς δὲ λέγετε ταῖς ἐκείνου δυνάμεσι κεχρημένον, ἐνεργεῖν ἐμὲ τὰς θεοσημείας.

v. 20. Ἐπειδή φησι τὸ παρ' ὑμῶν λεγόμενον οὐκ ἀληθὲς, ἕωλον δὲ μᾶλλον ἐστὶ καὶ κατεψευσμένον, καὶ συκοφαντίας ἔχον γραφὴν, πρόδηλον ὅτι ἐν δακτύλῳ θεοῦ ἐκβάλλω τὰ δαιμόνια· δάκτυλον δὲ θεοῦ, τὸ ἅγιον πνεῦμα φησὶ· χεὶρ μὲν γὰρ αὐτὸς καὶ βραχίων ὠνόμασται τοῦ θεοῦ καὶ πατρὸς· ἐνεργεῖ γὰρ τὰ πάντα δι' αὐτοῦ· ἐνεργεῖ δὲ ὁμοίως καὶ ὁ υἱὸς ἐν πνεύματι· ὥσπερ οὖν ὁ δάκτυλος ἀπήρτηται τῆς χειρὸς, οὐκ ἀλλότριος ὢν αὐτῆς, ἀλλ' ἐν αὐτῇ φυσικῶς, οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον τῷ τῆς ὁμοουσιότητος λόγῳ συνῆπται πρὸς ἕνωσιν τῷ υἱῷ, κἂν ἐκ τοῦ θεοῦ καὶ πατρὸς ἐκπορεύηται· πάντα γὰρ ὡς ἔφην ὁ υἱὸς ἐργάζεται, διὰ τοῦ ὁμοουσίου πνεύματος· πλὴν ἐν δακτύλῳ θεοῦ φησὶ ἐκβάλλω τὰ δαιμόνια· καὶ νῦν οἰκονομικῶς ὡς ἄνθρωπος· οὐ γὰρ ἂν ἤνεγκαν Ἰουδαῖοι, σαθρὸν καὶ ἀσύνετον ἔχοντες νοῦν, λέγοντος αὐτοῦ, ὅτι ἐν πνεύματι μου ἐκβάλλω τὰ δαιμόνια.

Καί μοι πρόσχες ἀκριβῶς, ὅτι ἐνεργοῦντος τοῦ πατρὸς δι' υἱοῦ τὰ παράδοξα, τὸ πνεῦμα ἐστὶ τὸ ἐνεργοῦν αὐτά· καὶ γὰρ αὐτὸ ἐνήργει ἐν ἐκείνῳ τῷ ναῷ· ὧν δὲ μία ἐνέργεια, τούτων

καὶ φύσις ἡ αὐτή· πανταχοῦ τοίνυν συνελαυνό- κι.
μενοι πρὸς τὸ ἀληθὲς οἱ πνευματομάχοι, μι-
σείτωσαν τοὺς τῶν πλάνων ἐμέτους· ἀνανηφέτω-
σαν πρὸς θεὸν· αἰτείτωσαν παρ' αὐτοῦ τῆς ἀλη-
θείας τὸ φῶς, χαρίσεται γὰρ φιλάνθρωπος ὢν
ὁ σωτήρ.

Εἰ τοίνυν φησὶν ἐγὼ ἄνθρωπος ὢν καὶ γενό- p. 156. b.
μενος καθ' ὑμᾶς, ἐν πνεύματι θεοῦ ἐκβάλλω
τὰ δαιμόνια, πεπλούτηκεν ἡ ἀνθρώπου φύσις
ἐν ἐμοὶ καὶ πρώτῳ τὴν θεοπρεπῆ βασιλείαν· δε-
δόξασται γὰρ συντρίβουσα τὸν σατανᾶν, καὶ
ἀκαθάρτοις ἐπιτιμῶσα πνεύμασι· τοῦτό ἐστι τὸ
ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ.

Ἐπειδὴ διὰ πολλῶν ἐννοιῶν, τὸν ἐπὶ τού- v. 21.
τοις ἰέναι λόγον ἀναγκαῖον ἦν, κέχρηται πα-
ραδείγματι σαφεῖ καὶ ἐναργεστάτῳ· δι' οὗ πάρ-
εστι τοῖς ἐθέλουσιν ἰδεῖν, ὅτι νενίκηκε τὸν ἄρ-
χοντα τοῦ αἰῶνος τούτου, καὶ οἷον ἀπονευρώ-
σας αὐτὸν, καὶ γυμνὸν ἀποφήνας τῆς ἐνούσης
ἰσχύος αὐτῷ, δέδωκεν εἰς διαρπαγὴν τοῖς ἑαυ-
τοῦ γνωρίμοις· ἕως μὲν γάρ, φησιν, ὁ ἰσχυρὸς
ἔχει τὸ δύνασθαι, καὶ φυλάττει τὰ ἑαυτοῦ, οὐ-
δὲ μίαν ὑφορᾶται πλεονεξίαν· ἐπὰν δέ τις ἰσχυ-
ρότερος αὐτοῦ ἐπελθὼν χειρώσηται αὐτὸν, τό-
τε διαρπάζεται· τοῦτο ὡς ἐπ' ἀνθρώπων εἴρη-
ται τὸ παράδειγμα· πέπονθε δὲ αὐτὸ καὶ ὁ μι-
σόκαλος διάβολος· ἦν μὲν γὰρ πρὸ τῆς σωτῆ-

XI. ρος ἐπιδημίας, ἐν ἰσχύϊ πολλῇ· τὰς ἀλλοτρίας ἀγέλας, δῆλον δὲ ὅτι τὰς τοῦ ἐπὶ πάντων θεοῦ, συνελάσας ὥσπερ καὶ συνέχων εἰς ἰδίαν αὐλήν· ἐπειδὴ δὲ ὁ πάντων ἐπέκεινα τοῦ Θεοῦ λόγος, ὁ πάσης ἰσχύος δοτὴρ, καὶ τῶν δυνάμεων κύριος, ἐπεπώδησεν αὐτῷ γενόμενος ἄνθρωπος, διηρπάσθη πάντα αὐτοῦ τὰ σκεύη, καὶ διεδόθη τὰ σκῦλα· οἱ γὰρ πάλαι παρ' αὐτοῦ συνεχόμενοι πρὸς ἀθεΐαν καὶ πλάνην, κέκληνται διὰ τῶν ἁγίων ἀποστόλων εἰς ἐπίγνωσιν ἀληθείας, καὶ προσεκομίσθησαν τῷ θεῷ καὶ πατρὶ, διὰ τῆς πίστεως τῆς εἰς τὸν υἱόν.

v. 23. p. 157. a. Ἐγὼ μὲν γὰρ ἐπεδήμησα ἵνα πάντας ἐξέλωμαι τῶν τοῦ διαβόλου χειρῶν, ἵνα αἰχμαλώτους ὄντας ἐλευθερώσω, καὶ φωτίσω ἐσκοτισμένους, καὶ πεσόντας ἀναστήσω, καὶ συντεθραυσμένους ἰάσωμαι· ἵνα τὰ τέκνα τοῦ θεοῦ, τὰ διεσκορπισμένα παρ' ἐκείνου δηλονότι, συναγάγω εἰς ἓν· ὁ δέ γε σατανᾶς μὴ ὢν μετ' ἐμοῦ, ἐπιχειρεῖ σκορπίζειν ἃ συνῆξα καὶ ἔσωσα· πῶς οὖν ὁ μαχόμενος ταῖς ἐμαῖς οἰκονομίαις, δίδωσί μοι δύναμιν καθ' ἑαυτοῦ; ἆρ' οὐκ εὔηθες τὸ οἴεσθαι τοιοῦτόν τι γεγενῆσθαι;

v. 24. Πόθεν οὖν ἄρα συμβέβηκε τοῖς Ἰουδαίων δήμοις, τὸ καταλισθεῖν εἰς τοιαύτας ἐννοίας περὶ Χριστοῦ, αὐτὸς διεσάφησεν εἰπὼν· ὅταν τὸ ἀκάθαρτον πνεῦμα κ. τ. λ.

Ὅτι δὲ εἰς ἰουδαίους ἐστὶ τὸ σύμπαν τοῦτο παράδειγμα, δεδήλωκεν ὁ Ματθαῖος, ἐπιφωνήσας· οὕτως ἔσται καὶ τῇ γενεᾷ τῇ πονηρᾷ ταύτῃ· ἕως μὲν γὰρ ἦσαν ἐν Αἰγύπτῳ δηλεύοντες, καὶ τοῖς αἰγυπτίων διαζῶντες ἔθεσί τε καὶ νόμοις, μεστοὶ πάσης ὑπῆρχον ἀκαθαρσίας, ἔνοικον ἦν αὐτοῖς τὸ πνεῦμα τὸ πονηρὸν· ἐπειδὴ δὲ λελύτρωνται διὰ Μωϋσέως καὶ οἰκείρονος θεοῦ, καὶ νόμον ἐσχήκασι παιδαγωγὸν, πρὸς τὸ τῆς ἀληθοῦς θεογνωσίας καλοῦντα φῶς, ἀπελήλατο τὸ βέβηλον καὶ ἀκάθαρτον πνεῦμα· ὅτε δὴ καὶ τεθύκασι τὸν ἀμνὸν εἰς τύπον Χριστοῦ, καὶ ἐχρίσθησάν τε τῷ αἵματι, καὶ διέδρασαν τὸν ὀλοθρευτὴν· ἐπειδὴ δὲ οὐ πεπίστευκασιν εἰς Χριστὸν, ἀλλὰ παρώσαντο τὸν λυτρωτὴν, ἰδοὺ δὴ πάλιν εἰσπέπτωκε τὸ ἀκάθαρτον πνεῦμα, καὶ πολὺ χειρόνως ἢ πάλαι· εὗρε γὰρ αὐτῶν τὴν καρδίαν γυμνὴν, καὶ σχολάζουσαν ἀπὸ πάσης εὐσεβείας, καὶ οἷον σεσαρωμένην, καὶ κεκόσμηκεν ἐν αὐτοῖς· ὥσπερ γὰρ τὸ πνεῦμα τὸ ἅγιον, ὅταν ἴδῃ καρδίαν ἀνθρώπου σχολάζουσαν ἀπὸ πάσης ἀκαθαρσίας, ἐναυλίζεται καὶ κατοικεῖ, καὶ ἐπαναπαύεται αὐτῇ, οὕτω καὶ τὸ πνεῦμα τὸ ἀκάθαρτον, ψυχαῖς ἀνόμων ἐνδιαιτᾶσθαι φιλεῖ· σχολάζουσι γὰρ, ὡς ἔφην, ἀπὸ πάσης ἀρετῆς· γέγονε τοίνυν τὰ ἔσχατα τῶν ἐξ Ἰσραὴλ, χείρονα τῶν πρώτων· ὡς γὰρ ὁ τοῦ σωτῆρος ἔφη XI. p. 157. b.

XI. μαθητὴς, κρεῖττον ἦν αὐτοῖς μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς ἀληθείας, ἢ ἐπιγνοῦσιν, εἰς τὰ ὀπίσω ἀνακάμψαι ἀπὸ τῆς παραδοθείσης αὐτοῖς ἁγίας ἐντολῆς· συμβέβηκε γὰρ αὐτοῖς τὸ τῆς ἀληθοῦς παροιμίας, κύων ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἐξέρασμα, καὶ ὗς λουσαμένη εἰς κύλισμα βορβόρου· ἐξ αὐτῶν δὲ τῶν τετολμημένων καθαθρήσαιτό τις ἂν, ὅτι τῶν ἰδίων ἐμέτων ἥπτοντο πάλιν, καὶ τοῖς ἄνωθεν ἐγκαλινδεῖσθαι βορβόροις ἐξ ὑποστροφῆς ἐμελέτων· καὶ πεπλώκασιν εἰς τὴν ἐν Αἰγύπτῳ πλάνησιν· εἰσέφρησε γὰρ πάλιν τὸ ἀκάθαρτον πνεῦμα, καὶ γέγονεν αὐτοῖς, κατὰ τὴν τοῦ σωτῆρος φωνὴν, χείρονα τῶν πρώτων τὰ ἔσχατα.

v. 31. p. 159. a. Ἐσπούδασε περὶ τὴν Σολομῶντος ἀκρόασιν, βάρβαρος γυνὴ· καὶ τοσαύτην ὁδὸν, διὰ τοῦτο ἐστείλατο· σοφίαν τὴν περὶ τῶν ὁρατῶν, καὶ ζώων, καὶ βοτανῶν φύσεως ἀκουσομένη· ὑμεῖς δὲ παρόντες καὶ ἀκούοντες, περὶ ἀοράτων καὶ οὐρανίων πραγμάτων· αὐτῆς τῆς σοφίας ἠκούσης πρὸς ὑμᾶς, καὶ τὸν λόγον ἔργοις καὶ τερασίοις βεβαιούσης, ἀλλοτριοῦσθε πρὸς τὸν λόγον· καὶ τὸ θαῦμα τῶν λογίων, ἀναισθήτως παραπέμπεσθε· πῶς οὖν οὐ πλεῖον Σολομῶντος ὧδε, τουτέστι παρ' ἐμοὶ; καὶ ὅρα μοι πάλιν τοῦ λόγου τὸ εὐτεχνὲς· διὰ τί γὰρ τὸ ὧδε φησὶ, καὶ οὐχὶ δὴ μᾶλλον παρ' ἐμοὶ; ἵν' ἡμᾶς ἀναπείσῃ

ταπεινοφρονεῖν, κἂν χαρισμάτων ὦμεν ἀνάμεσ∫οι XI.
πνευματικοῖς· ἄλλως τε δὲ τὸ ἀπειθὲς ἦν οὐδὲν· ἰουδαίους ἀκούσαν∫ας ὅτι πλεῖον Σολομῶντος ἐστὶ παρ' ἐμοὶ, τὰ συνήθη πάλιν περὶ αὐτοῦ πειραθῆναι λαλεῖν· ἰδοὺ καὶ τῶν παρ' ἡμῖν ἐπισήμως βεβασιλευκότων, ἑαυτὸν εἶναι φησὶ, ἐν ἀμείνοσι· με∫ριάζει τοίνυν οἰκονομικῶς ὁ σωτὴρ, τὸ ὧδε λέγων, ἀντὶ τοῦ παρ' ἐμοί.

Καὶ νινευῖτας δὲ εἰς κα∫άκρισιν αὐτῶν ἔσε- v. 32.
σθαι φησὶν ἐν τῷ τῆς κρίσεως καιρῷ· ἄνδρες γὰρ ἦσαν ὠμοί τε καὶ βάρβαροι, θεὸν οὐκ εἰδότες τὸν φύσει καὶ ἀληθῶς, τῶν διὰ Μωϋσέως τεθεσπισμένων ἀνήκοοι παντελῶς· προφητικῆς εὐστομίας ἀνεπισ∫ήμονες· ἀλλὰ καὶ οὕτω γνώμης ἔχοντες, μετενόησαν φησὶν εἰς τὸ κήρυ∫μα Ἰωνᾶ· μακρῷ τοιγαροῦν ἀμείνους τῶν ἐξ Ἰσραὴλ καὶ κατακρινοῦσι αὐτοὺς· ἀλλ' ἄκουε καὶ τῶν ῥημάτων· ἄνδρες Νινευῖ κ. τ. λ.

Καὶ ποία τίς ἦν τῶν τοιούτων λό∫ων ἡ χρεία; v. 33.
p. 161. a.
ἀν∫ιθέσει μάχε∫αι τοῖς ἰουδαίοις ἐξευρημένη διὰ τῆς ἐνούσης αὐτοῖς σκαιότη∫ός τε καὶ ἀμαθίας· ἔφασκον γὰρ θαυματουργεῖν αὐτὸν, οὐχ' ἵνα πισ∫εύηται μᾶλλον, ἀλλ' ἵνα πολλοὺς ἔχῃ τοὺς ἑπομένους αὐτῷ, καὶ τοὺς παρὰ τῶν ὁρώντων τὰς θεοσημείας ἁρπάζῃ κρότους· ἀποκρούεται τοίνυν τὴν ἐπὶ τούτῳ συκοφαν∫ίαν, καὶ δέχε∫αι πρὸς παράδειγμα τὴν τοῦ λύχνου χρείαν· κεῖ-

XI. ται γὰρ ὁ λύχνος ὑψοῦ καὶ ἐπὶ λυχνίαν ἀεὶ, ἵν' εἴη τοῖς ὁρῶσι χρήσιμος· καὶ τί τὸ ἐντεῦθεν, περινοήσωμεν· πρὸ μὲν γὰρ τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιδημίας, καθεσκότισε τὴν ὑπ' οὐρανὸν ὁ τοῦ σκότους πατὴρ, τουτέστιν ὁ σατανᾶς· ἀχλύϊ τὲ νοητῇ τὰ πάντα κατεμελαίνετο· ἐπειδὴ δὲ ἦμεν ἐν τούτοις, λύχνον ὥσπερ τινα τῇ ὑπ' οὐρανὸν δέδωκεν ὁ πατὴρ τὸν υἱὸν, ἵνα τὸ θεῖον ἡμῖν ἐναστράψῃ φῶς, καὶ ἀχλύος ἡμᾶς ἐξέλῃται διαβολικῆς· ἀλλ' ὦ ἰουδαῖε, εἰ μὲν αἰτιᾷ τὸν λύχνον ὅτι μὴ κρύπτεται μᾶλλον, ἀλλ' ὑψοῦ καὶ ἐπὶ λυχνίᾳ κείμενος ἐνίησι τοῖς ὁρῶσι τὸ φῶς, ἐγκάλει Χριστῷ μὴ λαθεῖν ἐθέλοντι μᾶλλον, ἀλλ' ὁρᾶσθαι παρὰ πάντων, καὶ φωτίζοντι τοὺς ἐσκοτισμένους, καὶ τὸ τῆς ἀληθοῦς θεογνωσίας ἐνιέντι φῶς· οὐκοῦν οὐχ' ἵνα θαυμάζηται μᾶλλον ἐπλήρου τὰς θεοσημείας, καὶ δι' αὐτῶν ἠξίου γνωρίζεσθαι, ἀλλ' ἵνα πιστεύηται μᾶλλον ὅτι θεὸς ὢν φύσει, γέγονεν ἄνθρωπος δι' ἡμᾶς, καὶ οὐκ ἀπέστη τοῦ εἶναι ὁ ἦν· ὡς ἐπὶ λυχνίας δὲ τῆς ἁγίας ἐκκλησίας τῷ κηρύγματι λάμπων, καταφωτίζει τὰς πάντων διανοίας, θείας πληρῶν ἐπιγνώσεως.

v. 37. p. 162. a. Ἀληθεύει λέγων ὁ σοφώτατος Παῦλος, ὅτι Χριστὸς εἰσῆλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι· ταύτης γὰρ ἕνεκα τῆς αἰτίας, καθεὶς ἑαυτὸν εἰς κένωσιν, ἐπὶ γῆς ὤφθη μετὰ σαρ-

κὸς, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· τοῦτο γε- XI.
γονός ἐστιν ἰδεῖν, καὶ διά γε τῶν προκειμένων
ῥητῶν· πῶς γὰρ οὐχ' ἅπασιν ἐναργὲς, ὅτι πο-
νηρὸν καὶ βέβηλον ἀεὶ τὸ τῶν φαρισαίων γέγο-
νεν ἐργαστήριον, βάσκανον καὶ ἀλαζονείᾳ σύν-
τροφον, καὶ καταθρασυνόμενον τοῦ πάντων ἡμῶν
σωτῆρος Χριστοῦ; πῶς οὖν ἄρα κατέλυσε παρ'
αὐτοῖς; ἆρα ἠγνόησε τὴν ἐνοῦσαν αὐτοῖς σκαιό-
τητα; καὶ πῶς τοῦτο λέγειν ἀσφαλὲς; πάντα
γὰρ οἶδεν ὡς θεὸς· τί οὖν ἐστιν; αὐτοὺς μάλι-
στα νουθετεῖν ἠπείγετο· τοὺς ἀρίστους τῶν ἰα-
τρῶν ἀπομιμούμενος, οἳ τοῖς ἀῤῥωστοῦσι φορ-
τικώτερον, τὰς ἐκ τῶν οἰκείων ἐπιτηδευμάτων
προσάγουσιν ἐπικουρίας· ὡς γὰρ αὐτός που φη-
σὶν, οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ,
ἀλλ' οἱ κακῶς ἔχοντες· οὐκοῦν ὁ μὲν φαρισαῖος,
τό γε ἦκον εἰς τὸν ἐνόντα αὐτῷ σκοπὸν, ἐπὶ ἑστ-
ίαν καλεῖ· ὁ δέ γε τῶν ὅλων σωτὴρ, καθίησι
μὲν ἑαυτὸν εἰς τοῦτο, καθάπερ ἔφην, οἰκονομι-
κῶς· μυσταγωγίας δὲ πρόφασιν ἐποιεῖτο τὸ χρῆ-
μα· ἐδίδου δὲ τῷ λόγῳ τὰς ἀφορμὰς ὁ δυσμα-
θὴς φαρισαῖος· ἐθαύμασε γάρ, φησιν, ὡς οὐκ
ἐβαπτίσθη πρὸ ἀρίστου· ἐσκανδαλίσθη, φησὶν;
ὅτι δικαίου καὶ προφήτου δόξαν ἔχων παρ' αὐ-
τοῖς, ταῖς ἀλογωτάταις αὐτῶν οὐ συνεπλάττε-
το συνηθείαις· ἐβαπτίζοντο γὰρ πρὸ τροφῆς,
οἷον ῥύπου παντὸς ἑαυτοὺς ἀπαλλάττοντες· ἀσυ-

XI. νέτως δὲ σφόδρα καὶ τοῦτο· ἡ μὲν γὰρ διὰ τῶν ὑδάτων ἀπόνιψις, χρειωδεστάτη λίαν ἐστὶ τοῖς ῥυπῶσι σωματικῶς, ἀκαθαρσίας γε μὴν τῆς εἰς νοῦν καὶ καρδίαν, πῶς ἂν ἀπαλλάξειέ τινας; πλὴν ἐκεῖνο φαμὲν· ἀσύνετε φαρισαῖε, μέγα πεφρόνηκας ἐπὶ τῇ τῶν ἱερῶν εἰδήσει γραμμάτων, τὸν Μωϋσέως νόμον γινώσκεις· εἰπὲ τοιγαροῦν, ποῦ σοι τοῦτο προστέταχε Μωϋσῆς; ποίαν ἔχεις εἰπεῖν ἐντολὴν ὁρισθεῖσαν παρὰ θεοῦ, τὴν ἐπί γε τῷ δεῖν βαπτίζεσθαι πρὸ τροφῆς; δέδοται μὲν γὰρ διὰ τῆς Μωϋσέως ἐντολῆς εἰς ἀποκάθαρσιν ῥύπου σωματικοῦ, τὸ ὕδωρ τοῦ ἁγνισμοῦ, τύπον ἐπέχον τοῦ ἀληθῶς ἁγίου καὶ διασμηκτικοῦ βαπτίσματος, φημὶ δὴ τοῦ ἐν Χριστῷ· ἀπελούοντο δὲ ὕδατι, καὶ οἱ καλούμενοι πρὸς ἱερουργίαν· καὶ γοῦν ὁ θεσπέσιος Μωϋσῆς ἔλουσεν ὕδατι τὸν Ἀαρὼν, καὶ σὺν αὐτῷ τοὺς λευίτας· καταδηλοῦντος τοῦ νόμου διὰ τοῦ τυπικοῦ καὶ ὡς ἐν σκιαῖς βαπτίσματος, ὅτι καὶ ἡ κατ' αὐτῶν ἱερουργία, τὸ τέλειον εἰς ἁγιασμὸν οὐκ ἔχει· δεῖται δὲ μᾶλλον τοῦ θείου τε καὶ ἱεροῦ βαπτίσματος, εἰς ἀποκάθαρσιν ἀληθῆ· καὶ καθ' ἕτερον δὲ τρόπον ἡμῖν ὑποφαίνοντος, ὅτι τὸ ἱερὸν καὶ ἀπόλεκτον παρὰ θεῷ γένος, τοὐτέστιν ἡμᾶς, τελειοῖ πρὸς ἁγιασμὸν, καὶ εἰς ἀπόθεσιν ῥύπου παντὸς ὁ τῶν ὅλων σωτὴρ, διὰ τοῦ ἁγίου καὶ σεπτοῦ βαπτίσματος·

ὁρᾶται γε μὴν οὐδαμοῦ προστεταχὼς βαπτίζε- XI.
σθαι πρὸ τροφῆς· τί οὖν τεθαύμακας, ἢ διὰ
ποίαν αἰτίαν ἐσκανδαλίσθης ὦ φαρισαῖε; τί οὖν
ὁ σωτὴρ; εὐάφορμον ποιεῖται τὴν ἐπίπληξιν·
ἄκουε γὰρ· νῦν ὑμεῖς οἱ φαρισαῖοι τὸ ἔξωθεν
κ. τ. λ.

Ἐνῆν μὲν καὶ ἑτέροις λόγοις χρήσασθαι τὸν v. 39.
p. 162. b.
κύριον, νουθετεῖν ἐθέλοντα τὸν ἀσύνετον φαρι-
σαῖον· ἐπιδράττεται δὲ τοῦ καιροῦ, καὶ οἷον ἐκ
τῶν ὄντων ἐν χερσὶν ἐξυφαίνει τὴν μυσταγωγίαν·
ὡς γὰρ ἐν καιρῷ τροφῆς καὶ τραπέζης, ἐναργὲς
ὑπόδειγμα δέχεται τὸ ποτήριον καὶ τὸν πίνακα·
καὶ διαδείκνυσιν, ὡς καθαροὺς καὶ ἐκνενιμμέ-
νους εἶναι χρὴ τοὺς εἰλικρινῶς λατρεύοντας τῷ
θεῷ, καὶ οὐδήπου μόνης ἐξ ἀκαθαρσίας σωμα-
τικῆς· ἀλλὰ γὰρ καὶ τῆς εἰς νοῦν ἔσω καὶ κε-
κρυμμένης, καθάπερ ἀμέλει καὶ τὸ ταῖς τρα-
πέζαις ὑπηρετοῦντα τῶν σκευῶν, καὶ τῶν ἔξω-
θεν ἠλευθεροῦσθαι ῥύπων, εὖ ἂν ἔχοι, καὶ
προσέτι τούτῳ, τῶν ἔσω· ὁ γὰρ ποιήσας, φησὶ,
τὸ ἔξωθεν, καὶ τὸ ἔσωθεν ἐποίησεν· τοὐτέστιν
ὁ τὸ σῶμα κτίσας, καὶ ψυχὴν εἰργάσατο· χρὴ
τοιγαροῦν ἑνὸς ὄντα ποιήματα τοῦ φιλαρέτου
θεοῦ, σύνδρομον ἔχειν τὴν ἀποκάθαρσιν· ἀλλ'
ἦν ἄηθες τοῦτο τοῖς γραμματεῦσι τὲ καὶ φα-
ρισαίοις· μέχρι γὰρ μόνου τοῦ δοκεῖν εἶναι καθ-
αροὺς αὐτοὺς, πάντα δρᾶν ἐσπούδαζον· τάφοις

κε. κεκονιαμένοις προσεοικότες, καὶ τὰ τὴν αὐτοῦ τοῦ σωτῆρος φωνὴν, ἔξωθεν μὲν ὡραῖοι, ἔσωθεν δὲ γέμοντες ὀστέων νεκρῶν, καὶ πάσης ἀκαθαρσίας· ἀλλ' οὐ τοιούτους ἡμᾶς εἶναι βούλεται Χριστὸς· ἁγίους δὲ καὶ ἀμώμους ψυχῇ τε καὶ σώματι· καὶ γοῦν ἔφη τίς τῶν παρ' ἡμῖν, καθαρίσατε χεῖρας, ἁμαρτωλοὶ· καὶ ἁγνίσατε καρδίας, δίψυχοι· καὶ μὴν, καὶ Ἡσαΐας ἐκ προσώπου τοῦ θεοῦ· λούσασθε, φησὶ, καθαροὶ γένεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν, ἀπέναντι τῶν ὀφθαλμῶν μου· ἐπίληρησον δὲ τοῦ λόγου τὸ ἀκριβὲς· πονηροὶ γὰρ ὄντες ἔσθ' ὅτε λάθοιεν ἄν τινες τοὺς ἀνθρώπων ὀφθαλμοὺς· τοὺς δέ γε θείους, οὐκ ἔνεστι λαθεῖν· ποῖον οὖν φάρμακον αὐτοῖς μετὰ τοὺς ἐλέγχους δέδωκεν ὁ σωτὴρ; πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην κ. τ. λ.

Καί τοι πλείστας εἶναι φαμὲν τῆς εὐδοκιμήσεως τὰς ὁδοὺς· οἷον πραότητα, ταπεινοφροσύνην, καὶ τὰ τούτοις ἀδελφὰ· ἀνθότου δὴ οὖν τῶν τοιούτων ἀφέμενος, φιλοικτείρμονας αὐτοὺς γενέσθαι κελεύει· φιλάργυροι λίαν ἦσαν οἱ φαρισαῖοι, καὶ χρημάτων πορισμοὺς ἀκορέστῳ χειρὶ συλλέγοντες· καὶ γοῦν ἔφη που περὶ αὐτῶν ὁ τῶν ὅλων θεὸς· πῶς ἐγένετο πόρνη, πόλις πιστὴ Σιὼν, πλήρης κρίσεως; ἐν ᾗ δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ, νῦν δὲ φονευταὶ· τὸ ἀργύ-

ριον ὑμῶν ἀδόκιμον, οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι, οἱ ἄρχοντές σου ἀπειθοῦσι, κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα, ὀρφανοῖς οὐ κρινοντες, καὶ κρίσει χήρας οὐ προσέχοντες· κεχώρηκε τοίνυν οἰκονομικῶς, καὶ τὰ τοῦ κραταιοῦντος αὐτῶν ἀρρωστήματος. XI.

Ἃ γὰρ ἔδει μάλιστα κατορθοῦν, ταῦτα παρέντες ὡς ἔωλα, τουτέστι τὴν κρίσιν καὶ τὴν ἀγάπην τοῦ θεοῦ, μόνας ἐκείνας ἀκριβῶς ἐτήρουν τὰς ἐντολὰς, ἤγουν τηρεῖσθαι προσέταττον παρὰ τῶν ὑπὸ χεῖρα λαῶν, αἳ πλείστων αὐτοῖς λημμάτων ὁδὸς ἦσαν καὶ ἀφορμὴ· ὥστε μηδὲ τὰ τῶν λαχάνων λεπτὰ καὶ οὐδενὸς ἄξια λόγου, παρατρέχειν αὐτοὺς· ἔργον δὲ ἀγάπης τῆς εἰς θεὸν, τὸ κατὰ μηδένα τρόπον προσκρούειν αὐτῷ· δεδιέναι δὲ τοῦ παντὸς νόμου τὴν παράβασιν· κρίσεως δὲ ἡ δικαιοκρισία· καὶ τὸ φροντίδος ἴσως ἀξιοῦν τὰ τεθεσπισμένα· καὶ μὴ καταῤῥᾳθυμεῖν μὲν τῶν ἀναγκαίων, μόνοις δὲ τοῖς ἐπικερδέσιν ἀκριβῶς ἐνορᾶν, ἀλλ' ἀπροσκλινῆ ποιεῖσθαι τὴν ψῆφον, τὴν ἐφ' ἑκάστῳ πράγματι· τὸ γὰρ ἄδικα κρίνειν, οὐκ ἀγάπην τὴν εἰς τοὺς ἀδελφοὺς τηρούντων ἐστὶ· τὰ τοίνυν ἀναγκαῖα καὶ συνεκτικὰ μὴ τηροῦντες τοῦ νόμου, τὰς δεκάτας λαμβάνειν ἐσπούδαζον καὶ τῶν εὐτελεστάτων. v. 42. p. 163. a.

XI. v. 43. Δι' ὧν ἐκείνοις ἐπιτιμᾷ, διὰ τούτων αὐτῶν ἡμᾶς ἀμείνους ἀποδείκνυσι· φιλοδόξους γὰρ ἡμᾶς εἶναι βούλεται, καὶ μὴ τὸ δοκεῖν πρὸ τοῦ ἀληθῶς εἶναι, μεταδιώκειν· ὅπερ ἐποίουν οἱ φαρισαῖοι· ἀσπασμὸς γὰρ ὁ παρά τινων, καὶ τὸ προεδρεῦσαι φιλεῖν, οὐ πάντως ἡμᾶς εὐδοκίμους ὄντας ἀποφαίνει· ὑπάρχει γὰρ τοῦτο πολλοῖς καὶ οὐκ ἀγαθοῖς οὖσι· διαδείκνυσι δὲ τοῦτο λέγων εὐθὺς ὁ σωτὴρ· οὐαὶ ὑμῖν γραμματεῖς κ. τ. λ.

p. 163. b. Τὸ γὰρ ἀσπασμοὺς ζητεῖν παρὰ πάντων τῶν ἐν ἀγορᾷ, καὶ τὸ πρωτοκαθεδρεύειν συλλόγοις περὶ πολλοῦ ποιεῖσθαι σπουδάζοντες, μνημάτων ἀδήλων οὐδὲν διαφέρουσιν, ἃ διαπρέπει μὲν τοῖς ἔξωθεν κόσμοις, μεστὰ δέ εἰσι πάσης ἀκαθαρσίας· ἐνταῦθα μοι βλέπε διαβεβλημένην ἐσχάτως τὴν ὑπόκρισιν, καὶ πρὸς ἀρέσκειαν ἀνθρώπων ἅπαντα διαπράττεσθαι· διὰ τοῦτο φησὶν ὁ μακάριος Παῦλος· εἰ ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην.

v. 45. Δυσφόρητον μὲν ἀεί πως ἐστὶ παντὶ ἀνθρώπῳ, τὸ ἐλέγχεσθαι, πλὴν οὐκ ἀνόνητον τοῖς ἐπιεικέσι· μεθίστησι γὰρ αὐτοὺς ἐπὶ τὸ ἄμεινον· ἄθρει τοῦτο πεπονθότας τοὺς παρά γε τοῖς Ἰουδαίοις ὠνομασμένους νομικούς· ὁ μὲν γὰρ σωτὴρ τῶν ὅλων, ἐπετίμα τοῖς φαρισαίοις ὡς ἔξω πρέχουσι τῆς εὐθείας ὁδοῦ· πρὸς τοῦτο δὲ τὸ τῶν ἀνοσίων νομικῶν ἐχαλέπαινε στίφος· ἑαυ-

τοὺς γὰρ ὑποφέρουσι τοῖς ἐγκλήμασι, καὶ καθ' ἑαυτῶν εἰρῆσθαι νομίζουσιν, ἃ πρὸς ἐκείνους ἔφη Χριστὸς· ἀλλ' ἦν δή που κρεῖττον ἀγαπῆσαι μὲν τὸν ἔλεγχον, αἰτῆσαι δὲ τῶν ἁρμάτων τὴν λύσιν, καὶ μὴ ὕβριν ἀμαθῶς τὸν ἔλεγχον ὀνομάζειν, ἐπωφελῆ ὄντα καὶ χρήσιμον· τί οὖν πρὸς ταῦτα Χριστός; ἐπιτείνει τὸν ἔλεγχον, καὶ τὴν εἰκαίαν αὐτῶν ὀφρῦν καταφέρει. XI.

Ὡς ἐκ παραδείγματος ἐναργοῦς, τὸν πρὸς αὐτοὺς ἐξυφαίνει λόγον· φορτικὸς μὲν γὰρ ὁμολογουμένως ὁ νόμος ἦν τοῖς ἐξ Ἰσραὴλ· ὡμολόγουν δὲ τοῦτο, καὶ οἱ θεσπέσιοι μαθηταὶ, λέγοντες ἐν ταῖς πράξεσι· καὶ νῦν τί πειράζετε τὸν θεὸν ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες ὑμῶν ἴσχυσαν βαστάσαι; καὶ αὐτὸς δὲ τοῦτο ἡμᾶς ἐδίδαξεν ὁ Χριστὸς, προσφωνῶν καὶ λέγων· δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· ἄρατε τὸν ζυγόν μου ἐφ' ἡμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πραΰς εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· κοπιῶντας δὲ καὶ πεφορτισμένους, τοὺς ὑπὸ νόμον εἶναι φησὶ, ἑαυτὸν δὲ πρᾶον ὠνόμαζεν, ὡς οὐκ ἔχοντος τοῦτο τοῦ νόμου· ὡς γὰρ Παῦλος φησὶν, ἀθετήσας τίς νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει· οὐαὶ τοίνυν ὑμῖν ὦ νομικοὶ, v. 46.

XI. δυσβάστακτα γὰρ φορτία καταδεσμεύοντες, εἶτα τοῖς ὑπὸ τὸν νόμον ἐπιτιθέντες αὐτὰ, αὐτοὶ τούτοις οὐ προσψαύετε· ἀπαράβατον γὰρ προστάττοντες τηρεῖσθαι τὴν Μωϋσέως ἐντολὴν, καὶ δίκην τοῖς ἀθετοῦσιν ἐπάγοντες, αὐτοὶ λόγου τοῦ μηδενὸς ἠξίουν τὸ ἐργάσασθαί τι τῶν διατεταγμένων· τοῖς ταῦτα δρᾶν εἰωθόσι, καὶ ὁ σοφώτατος Παῦλος ἐπιπλήττει, λέγων· ὁ διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις· ὁ λέγων μὴ κλέπτειν, κλέπτεις· ὁ λέγων μὴ μοιχεύειν, μοιχεύεις· ὁ βδελυσσόμενος τὰ εἴδωλα, ἱεροσυλεῖς· ὃς ἐν νόμῳ καυχᾷ, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν θεὸν ἀτιμάζεις· εὐδόκιμος γὰρ ὁ διδάσκων ἐστὶν, ὅταν ἀσύμβατον ἔχῃ τῷ λόγῳ τὸν τρόπον, τούτῳ καὶ αὐτὸς ὁ σωτὴρ μικρὰν ἐπήρτηκε δίκην, λέγων· ὡς ὁ μὲν διδάξας καὶ ποιήσας, μέγας κληθήσεται· ὃς δ' ἂν διδάξῃ μὲν, μὴ ποιήσῃ δὲ, οὗτος ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

v. 47. p. 164. a. Ἀδόκιμον ἀποφήνας καὶ αὐτὸ τῶν νομικῶν τὸ παμμόχθηρον ἐργαστήριον, κοινὸν ἅπασι τοῖς ἰουδαίων καθηγηταῖς, ἐξυφαίνει τὸν ἔλεγχον· τί δὲ ἄρα φησὶν, ἐρευνήσωμεν ἀκριβῶς· οἱ μὲν τῶν ἰουδαίων πατέρες ἀπέκτενον κατὰ καιροὺς τοὺς ἁγίους προφήτας, τὸν θεῖον αὐτοῖς διαπορθμεύοντας λόγον· οἵ γε μὴν ἐξ αὐτῶν γεγονότες, ὁμολογοῦντες ὅτι οἱ προφῆται γεγό-

νασι σεπτοὶ καὶ τίμιοι, περιήρμοσαν αὐτοῖς τοὺς XI.
τάφους ἤτοι τὰ μνημεῖα, τιμὴν ἀπονέμοντες τὴν
τοῖς ἁγίοις πρεπωδεστάτην· οὐκοῦν ἀπεκτόνασι
μὲν οἱ πατέρες αὐτῶν, αὐτοὶ δὲ ϖροφήτας εἶ-
ναι πιστεύσαντες καὶ ἄνδρας ἁγίους, κριταὶ γε-
γόνασι τῶν ἀϖοκτεινάντων αὐτούς· δι' ὧν γὰρ
τιμᾶν ἐγνώκασι τοὺς ἀνηρημένους, διὰ τούτων
αὐτῶν καταγοροῦσι ὡς ἠσεβηκότων· ἀλλ' οἱ τῶν
ἰδίων ϖατέρων ἐϖὶ ταῖς οὕτω δειναῖς βιαιφο-
νίαις καταψηφισάμενοι, τοῖς ἴσοις ἔμελλον ἁ-
λῶναι κακοῖς, καὶ διὰ τῶν αὐτῶν ἰέναι πλημ-
μελημάτων, μᾶλλον δὲ διὰ τῶν ἔτι χειρόνων·
ἀπεκτόνασι μὲν γὰρ τὸν ἀρχηγὸν τῆς ζωῆς· προσ-
τεθείκασι δὲ ταῖς καθ' αὐτοῦ δυσσεβείαις, μιαι-
φονίας ἑτέρας κατὰ τῶν θεσϖεσίων αὐτοῦ μα-
θητῶν· ἕως μὲν γάρ τις τὰς ἑτέρων ἀδικίας ἐξε-
τάζει, φυσικῷ λογισμῷ κρίνων, ὁρᾷ τὸ φαῦ-
λον καὶ μέμφεται· αὐτὸς δὲ εἰς τὰ ἴσα ϖάθη
ψυχῆς προαγόμενος, οἱονεὶ τυφλὸς ἐπὶ ταῦτα
φέρεται.

Εἰ καὶ δεικτικῶς δὲ λέγει ἀϖὸ τῆς γενεᾶς v. 51.
ταύτης, οὐχὶ μόνον τάχα που καθασημῆναι φα- p. 164. b.
μὲν τοὺς τότε παρόντας καὶ ἀκροωμένους, ἀλ-
λὰ ϖάντα τὸν φονευτὴν καὶ ὑϖὸ τὴν μιαιφονίαν
ϖίϖτοντα· συντελάζεται γὰρ τῷ ὁμοίῳ τὸ ὅμοιον,
ὡς ἀδελφὸν καὶ ὁμογενὲς· κατὰ τὸ, αὕτη ἡ

XI. Γενεὰ ζητοῦντων τὸν κύριον· καὶ διαπορήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης.

v. 52. p. 165. a. Κλεῖδα γνώσεως, αὐτὸν εἶναι φαμὲν τὸν νόμον· καὶ τὴν ἐν Χριστῷ δικαίωσιν, διὰ πίστεως δὲ δηλονότι τῆς εἰς αὐτόν· ἦν μὲν γὰρ ὁ νόμος ἐν σκιᾷ καὶ τύπῳ, πλὴν οἱ τύποι διαμορφοῦσι τὴν ἀλήθειαν, καὶ γράφουσιν αἱ σκιαὶ ὡσανεὶ τρόπως ἡμῖν τὸ Χριστοῦ μυστήριον· ἀμνὸς ἐσφάζετο κατὰ τὸν Μωϋσέως νόμον· ἧσθιον τῶν κρεῶν αὐτοῦ, καὶ ἔχριον τῷ αἵματι τὰς φλιὰς· καὶ νενικήκασι τὸν ὀλοθρευτήν, ἀλλ' αἷμα προβάτου καινὸν, οὐκ ἂν ἴσχυσεν ἀναπρέψαι θάνατον· ἐμορφοῦτο δὴ οὖν ὡς ἐν ἀμνῷ Χριστὸς, τὴν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς ὑπομένων σφαγὴν, καὶ σώζων αἵματι τῷ ἰδίῳ τοὺς μετέχοντας αὐτοῦ· πλεῖστα δ' ἄν τις πρὸς τοῦτο λέγοι, δι' ὧν ἔνεστιν ἰδεῖν τὸ Χριστοῦ μυστήριον, διὰ τῆς τοῦ νόμου σκιᾶς γραφόμενον· ἔφη δέ που καὶ αὐτὸς τοῖς Ἰουδαίοις προσλαλῶν· ἔστιν ὁ κατηγορῶν ὑμῶν Μωϋσῆς, εἰς ὃν ὑμεῖς ἠλπίκατε· εἰ γὰρ ἐπιστεύετε Μωϋσεῖ, ἐπιστεύετε ἂν ἐμοὶ· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψε· καὶ πάλιν· ἐρευνᾶτε τὰς γραφὰς, ὅτι ἐν αὐταῖς δοκεῖτε ζωὴν αἰώνιον ἔχειν, καὶ αὗταί εἰσιν αἱ περὶ ἐμοῦ μαρτυροῦσαι· καὶ οὐ θέλετε ἐλθεῖν πρός με ἵνα ζωὴν ἔχητε· ἅπας γὰρ λόγος τῆς θεοπνεύστου γραφῆς, εἰς αὐτὸν ὁρᾷ, καὶ ἐπ' αὐτῷ συντείνε-

ται· ἔδει δὴ οὖν τοὺς καλουμένους νομικοὺς, ἄτε δὴ τὸν Μωϋσέως πολυπραγμονοῦντας νόμον, καὶ τὰς τῶν ἁγίων προφητῶν οὐκ ἠγνοηκότας φωνὰς, ἀνοίξειν τρόπον τινὰ τοῖς Ἰουδαίων δήμοις τὰς τῆς γνώσεως θύρας· παιδαγωγεῖ γὰρ ὁ νόμος ἐπὶ Χριστὸν, ἀποφέρει δὲ εἰς ἐπίγνωσιν αὐτοῦ καὶ τὰ τῶν ἁγίων προφητῶν εὐσεβῆ κηρύγματα· ἀλλὰ τοῦτο μὲν οὐ πεπράχασιν οἱ καλούμενοι νομικοὶ· ἐκ δὲ τῶν ἐναντίων, ἦραν τὴν κλεῖδα τῆς γνώσεως· ἵνα τὴν διὰ νόμου χειραγωγίαν ἐννοῇς, ἤ τοι τὴν πίστιν, δῆλον δὲ ὅτι τὴν εἰς Χριστὸν· προσγίνεται γὰρ διὰ τῆς ἀληθείας· καὶ γοῦν ὁ προφήτης Ἡσαΐας, οὕτω που φησὶ· καὶ ἐὰν μὴ πιστεύσητε, οὐδ' οὐ μὴ συνῆτε· χωρὶς γὰρ πίστεως, ἀδύνατον εὐαρεστῆσαι ποτὲ· ἦραν τοίνυν οἱ νομικοὶ τὴν κλεῖδα τῆς γνώσεως· οὐ γὰρ εἴων πιστεῦσαί τινας εἰς τὸν τῶν ὅλων σωτῆρα Χριστὸν· τεθαυμαζούργηκε πολυτρόπως, οἱ δὲ καί τοι θαυμάσαι δέον ἐπὶ τούτοις αὐτὸν, διέσυρον τὰς θεοσημείας, καὶ τοὺς ὑπὸ χεῖρα λαοὺς σκανδαλίζοντες, ἔφασκον· οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων· ὁρᾷς ἐν τούτοις τὴν κλεῖδα τῆς γνώσεως αἴροντας; ἐδίδασκεν ἐν ταῖς συναγωγαῖς· φανερὸν καθίστη τοῖς ἀκροωμένοις, τὸ θέλημα τοῦ πατρὸς τὸ ἀγαθὸν καὶ τέλειον καὶ εὐάρεστον· XI.

XI. οἱ δὲ καὶ ταύτας αὐτοῦ τὰς μυσταγωγίας οὐκ ἀμωμήτους ἀφέντες εὑρίσκονται· προσεφώνουν γὰρ τοῖς ὄχλοις, δαιμόνιον ἔχει καὶ μαίνεται· τί ἀκούετε αὐτοῦ; ἦραν οὖν, κατὰ τὸ ἀληθὲς, τὴν κλεῖδα τῆς γνώσεως· αὐτοὶ οὐκ εἰσῆλθον, κεκωλύκασι δὲ καὶ ἑτέρους.

v. 53. p. 165. b. Ἀσχάλλοντες πρὸς τοὺς ἐλέγχους, ἤρξαντο φησὶ δεινῶς ἐνέχειν αὐτῷ· τὸ δὲ ἐνέχειν, ἀντὶ τοῦ ἐγκεῖσθαι καὶ ἐγκοτεῖν ἤτοι δυσμαίνειν ἐστὶν· ἐπεχείρουν δὲ αὐτόν φησι καὶ ἀποστομάτίζειν περὶ πολλῶν· καὶ τί πάλιν τὸ ἀποστοματίζειν ἐστὶν; ἀπήτουν ἐκ τοῦ παραχρῆμα καὶ οἱονεὶ ἀσκεπτὶ πρὸς τὰς πανούργους αὐτῶν ἀποκρίνεσθαι πεύσεις, οἰηθέντες ὅτι διαπεσεῖται πάντως, καὶ λαλήσει τί τῶν ὅσα ἐστὶν οὐκ ἔξω διαβολῆς· ἀλλ' οὐκ ἤδεσαν ὄντα θεὸν, μᾶλλον δὲ καταφρονηταὶ γεγόνασιν, ἀλαζόνες καὶ ὑβρισταί.

CAP. XII.

XII. v. 1. Ταύτῃ τοι Χριστὸς τοῖς ἑαυτοῦ γνωρίμοις, ἤγουν μαθηταῖς, φυλάττεσθαι ἀπ' αὐτῶν παρηγγύα· ἄκουε γοῦν· πρῶτον προσέχετε ἑαυτοῖς ἀπὸ τῆς ζύμης τῶν φαρισαίων· ἀφ' ἧς καὶ προσέχειν τοὺς μαθητὰς ὁ κύριος βούλεται· ζύμην ἐν τούτοις, τὴν ὑπόκρισιν λέγων· θεοστυγὲς γὰρ

τὸ χρῆμα· καὶ λανθάνει μὲν ἔσθ' ὅτε βραχὺ, πλὴν διαπίπτει καὶ οὐκ εἰς μακρὰν· ὡς γὰρ οὐκ ἔνεστι λαθεῖν τὸν τῆς θεότητος ὀφθαλμὸν τὰ παρ' ἡμῶν δρώμενα καὶ λεγόμενα, διέδειξεν εἰπὼν· οὐδὲν δὲ συγκεκαλυμμένον κ. τ. λ. XII.

Ἅπας γὰρ ἡμῶν λόγος, καὶ πᾶν ἔργον, ἐν ἡμέρᾳ κρίσεως ἔσται φανερὸν· περιττὴ τοιγαροῦν ἡ ὑπόκρισις· δεῖ δὲ ἡμᾶς ἀληθείας ὁρᾶσθαι προσκυνητάς. v. 2.

Ἴσως δὲ καὶ κατὰ τὴν προτέραν ἐπιβολὴν διδάσκει, ὅτι τὰ κρυφῇ παρ' ἡμῶν καὶ λεγόμενα καὶ πραττόμενα, δῆλα ἔσται τῷ πάντα ὁρῶντι ὀφθαλμῷ, καὶ τοῖς ἄλλοις ἐκκαλυφθήσεται. v. 3.

Εἰς πνευματικὴν εὐανδρίαν ἀλείφει τοὺς ἀγαπῶντας αὐτὸν· λέγω γὰρ ὑμῖν φησὶ τοῖς φίλοις μου· οὐχ' ἅπασιν οὖν ἁπλῶς πρέποι ἂν ὡς ἔοικεν ὁ περὶ τούτων λόγος· ἐκείνοις δὲ μᾶλλον, οἷς ἂν ἐνυπάρχον ὁρῶ τὸ ἐξ ὅλης καρδίας ἀγαπᾶν αὐτὸν· οἷς καὶ ἁρμόζει λέγειν, τίς ἡμᾶς χωρήσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; οἱ γὰρ μὴ τοιοῦτοι, εὐπαρακόμιστοι λίαν εἰσὶν, καὶ πρὸς ἀπόστασιν ἑτοιμότεροι· οἱ δὲ τὰ αὐτὰ φρονοῦντες αὐτῷ, καὶ τοῖς ἴχνεσιν αὐτοῦ καλακολουθεῖν σπουδάζοντες, φαῖεν ἂν μετὰ τοῦ θεσπεσίου Πέτρου, Χριστοῦ παθόντος ὑπὲρ ἡμῶν σαρκὶ, καὶ ὑμεῖς ὑπὲρ αὐτοῦ τὴν ἔννοιαν ὁπλί- v. 4.

XII. σασθε· ἐθελοντὴς γὰρ ὑπὲρ ἡμῶν ὑπέμεινε θάνατον, ὡς ἀπαράβλητον ἔχων τὴν εἰς ἡμᾶς ἀγάπην· ἀκηκόαμεν γοῦν λέγοντος αὐτοῦ ἐναργῶς· μείζονα ταύτης τῆς ἀγάπης, οὐδεὶς ἔχει, ἵνά τις θῇ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν φίλων αὐτοῦ· εἶτα πῶς οὐκ ἂν εἴη τῶν ἀτοπωτάτων, μὴ ὥσπέρ τι τῶν ἀναγκαιοτάτων ὀφλημάτων ἐκτίσαι Χριστῷ ὅπερ ἐλάβομεν παρ' αὐτοῦ; χρὴ δὲ καὶ ἑτέρως ζωῆς ἡμᾶς ὄντας ὑπασπιστὰς, μὴ δεδιέναι τὸν θάνατον, ἀπομιμεῖσθαι δὲ μᾶλλον τῶν ἁγίων παλαιστῶν τὴν πίστιν· προσκεκόμικεν ὁ πατριάρχης Ἀβραὰμ τὸν μονογενῆ πειραζόμενος, φημὶ δὲ τὸν Ἰσαὰκ· λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δύναται ὁ θεὸς· ποῖον οὖν ἔσται καθ' ἡμῶν τοῦ θανάτου τὸ δεῖμα, καταργούσης αὐτὸν τῆς ζωῆς; προσενθυμεῖσθαι δὲ τούτοις κἀκεῖνο προσήκει· εὑρίσκονται γὰρ διὰ πόνων οἱ στέφανοι· καὶ ἄνθρωποι μὲν μέχρι σώματος ἐκτείνουσι τὰς ὀργὰς, καὶ πέρας αὐτοῖς τῆς καθ' ἡμῶν ἐπιβουλῆς, ὁ τῆς σαρκὸς θάνατος· θεοῦ δὲ κολάζοντος, οὐ μέχρι μόνης σαρκὸς ἡ ζημία· πόθεν; ἀλλὰ καὶ αὐτὴ συνυποφέρεται ταῖς αἰκίαις ἡ ἀθλία ψυχὴ· οὐκοῦν εἰσίτω μᾶλλον ὁ μετ' εὐκλείας θάνατος, εἰς ἀρχὰς ἡμᾶς ἀναφέρων ἀτελευτήτου ζωῆς, ἡτοιμασμένων πάντως σου καὶ τῶν ἐκ θείας φιλοτιμίας ἀγαθῶν.

Ἵνα δέ τι καὶ ἕτερον ἐπικούρημα ταῖς ἡμε- XII.
τέραις χαρίσηται διανοίαις, προστέθεικεν ἀναγ-
καίως· οὐχὶ πέντε στρουθία κ. τ. λ. καὶ φησὶν· v. 6.
ὅτι πέντε μὲν στρουθία, δύο που μόλις ἀσσα- p. 166. a.
ρίων εἰσὶν ἄξια· ἓν δ' ἐξ αὐτῶν, οὐκ ἔστιν ἐπι-
λελησμένον ἐνώπιον τοῦ θεοῦ.

Προσεπήγαγε δὲ ὅτι καὶ αἱ τρίχες τῆς κεφα- v. 7.
λῆς ὑμῶν, πᾶσαι ἠρίθμηνται· ὁρᾷς ὅσην ποιεῖ-
ται πρόνοιαν τῶν ἀγαπώντων αὐτὸν; εἰ γὰρ μέ-
χρι τῶν οὕτως εὐτελεστάτων ἐκτείνεται, καὶ οἷον
κάτεισιν ἐπὶ τὰ πάντων σμικρότατα τῶν ζώων,
πῶς ἂν ἐπιλάθοιτο τῶν ἀγαπώντων αὐτὸν, ἢ
ἀγνοήσειέ τι τῶν συμβαινόντων αὐτοῖς; ὅς γε
τοσαύτην αὐτῶν ποιεῖται πρόνοιαν, ὡς ἕκαστα
τῶν κατ' αὐτοὺς εἰδέναι λεπτῶς, καὶ οἷον ἠριθ-
μημένας ἔχειν αὐτῶν τὰς τρίχας· ἢ γὰρ οὐκ ἐά-
σει πεσεῖν εἰς πειρασμὸν· ἢ γοῦν οἰκονομικῶς,
ἵνα παθόντες ἀδοκιμήσωμεν· ὁ γὰρ εἰς παγῖδα
πεσεῖν ἐπιτρέψας, χορηγήσει πάντως τὸ δύνα-
σθαι διενεγκεῖν.

Ἀλλὰ τίς ἂν εἴη λοιπὸν ὁ Χριστὸν ὁμολο- v. 8.
γῶν, ἢ καὶ ὅπως ἄν τις αὐτὸν ὁμολογήσειεν
ὀρθῶς, πρό γε τῶν ἄλλων, ἄξιον ἰδεῖν· γρά-
φει τοίνυν ἡμῖν ὁ πάνσοφος Παῦλος· μὴ εἴπῃς
ἐν τῇ καρδίᾳ σου· τίς ἐπιβήσεται εἰς τὸν οὐρα-
νὸν; τοὐτέστι Χριστὸν καταγαγεῖν· ἢ τίς κατα-
βήσεται εἰς τὴν ἄβυσσον; τοὐτέστι Χριστὸν ἐκ

XII. νεκρῶν ἐωαγαγεῖν· ἀλλὰ τί λέγει; ἐγγύς σου τὸ ῥῆμα ἐστὶν ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου, τουτέστι τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν· ὡς ἐὰν ὁμολογέσῃς ἐν τῷ στόματί σου κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου· ὡς ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ· καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν· ὅλον ἐν τούτοις τὸ Χριστοῦ μυστήριον εὖ μάλα διερμηνεύεται· χρὴ γὰρ πρότερον τὸν ἐκ θεοῦ πατρὸς πεφηνότα υἱὸν, τὸν ἐκ τῆς οὐσίας αὐτοῦ μονογενῆ θεὸν λόγον, κύριον τῶν ὅλων ὁμολογεῖν· οὐχ' ὡς ἔξωθεν καὶ εἰσκεκριμένην λαχόντα τὴν κυριότητα, ἀλλ' ὄντα τοῦτο κατὰ φύσιν καὶ ἀληθῶς, καθάπερ ἀμέλει καὶ ὁ πατὴρ· εἶθ' οὕτω πιστεύειν, ὅτι ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, ἐνανθρωπήσαντα δηλονότι καὶ σαρκὶ παθόντα δι' ἡμᾶς· ἐγήγερται γὰρ οὕτως ἐκ νεκρῶν· κύριος οὖν, ὡς ἔφην, ὁ υἱὸς· ἀσύντακτος τοῖς ἄλλοις, οἷς τὸ τῆς κυριότητος ὄνομα δοτὸν καὶ εἰσκεκριμένον· μόνος γὰρ κύριος καθὰ φύσιν, ὁ παντὸς ἐπέκεινα γενητοῦ θεὸς λόγος· εἷς γὰρ κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα· ἀλλ' οὔτε τοῦ εἶναι κύριος ὁ πατὴρ ἔξω κεῖσθαι θεὸς ὢν φύσει, οὔτε μὴν ὁ υἱὸς ἀπολισθήσειεν ἂν τοῦ εἶναι θεὸς, κύριος γάρ ἐστι κατὰ φύσιν· ἔνεστι δὲ μόνῃ τῇ θείᾳ τε καὶ ἀνωτάτω πασῶν

οὐσίᾳ, τὸ εἰσάπαν ἐλεύθερον, καὶ τὸ ἔξω κεῖ- XII.
σθαι ζυγοῦ καὶ δουλείας· ἔχειν δὲ μᾶλλον ὑπὸ
πόδας δουλοπρεπῶς τὴν κτίσιν ὑποκειμένην· διὰ
τοῦτο, καί τοι γενόμενος καθ' ἡμᾶς ὁ μονογε-
νὴς τοῦ θεοῦ λόγος, καὶ τό γε ἦκον εἰς ἀνθρω-
πότητος μέτρον, ὑπὸ ζυγὰ καὶ δουλείαν ἐνηνεγ-
μένος, συνετέλεσε μὲν τοῖς ἰουδαίων δασμολό-
γοις κατὰ τὸν Μωϋσέως νόμον τὸ δίδραγμον οἰ-
κονομικῶς· οὐκ ἔκρυψε δὲ τῆς ἐνούσης δόξης αὐ-
τῷ τὸ φεριφανὲς· ἤρετο γὰρ τὸν μακάριον Πέ-
τρον, οἱ βασιλεῖς τῆς γῆς, ἀπὸ τίνος λαμβά-
νουσι κῆνσον ἢ τέλη; ἀπὸ τῶν υἱῶν αὐτῶν, ἢ
ἀπὸ τῶν ἀλλοτρίων; εἰπόντος δὲ ὅτι ἐκ τῶν ἀλ-
λοτρίων· ἄρά γε, φησὶν, ἐλεύθεροί εἰσιν οἱ υἱοὶ·
κύριος οὖν κατὰ φύσιν ὁ υἱὸς, ὡς ἐλεύθερος·
καὶ τοῦτο φάλιν ὁ σοφὸς ἡμᾶς ἐδίδαξε Παῦ-
λος ὡδὶ γεγραφὼς· ἡμεῖς δὲ φάντες ἀνακεκα-
λυμμένῳ φροσώπῳ τὴν δόξαν κυρίου κατοπτρι-
ζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα, ἀπὸ
δόξης εἰς δόξαν, καθάπερ ἀπὸ κυρίου πνεύμα-
τος· καὶ μικρὸν ἄνωθεν, ὁ δὲ κύριος, τὸ πνεῦ-
μα ἐστὶν· οὗ δὲ φνεῦμα κυρίου, ἐκεῖ ἐλευθε-
ρία· ἄθρει δὴ ὅφως τὸν κύριον τὸ πνεῦμα εἶ-
ναι φησὶν· οὐχ ὡς ἐν υἱότητι, πνεῦμα γάρ ἐστι
καὶ οὐχ' υἱὸς, ἀλλ' ὡς ὁμοούσιον τῷ υἱῷ, κυ-
ρίῳ τε ὄντι καὶ ἐλευθέρῳ, καὶ τῇ πρὸς αὐτὸν
ταυτότητι φυσικῇ πρὸς ἐλευθερίαν τὴν θεοπρε-

XII. πῆ μαρτυρούμενον· ὃς ἂν οὖν ὁμολογήσῃ Χριστὸν ἔμπροσθεν τῶν ἀνθρώπων, ὡς θεὸν δηλονότι καὶ κύριον, ὁμολογηθήσεται παρ' αὐτοῦ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ θεοῦ· ποῦ δὲ καὶ ὅπως; ἢ πάντως κατ' ἐκεῖνο καιροῦ, καθ' ὃν ἐξ οὐρανοῦ καταβήσεται μετὰ τῶν ἁγίων ἀγγέλων ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ, ἐπὶ συντελείᾳ τοῦ παρόντος αἰῶνος· ἐκεῖ στεφανοῖ τὸν γνήσιον ὁμολογητήν· οἱ γε μὴν ἕτεροι, τουτέστιν οἱ ἀρνησάμενοί τε καὶ ἀτιμάσαντες, ἀρνηθήσονται· μονονουχὶ λέγοντος τοῦ κριτοῦ αὐτοῖς τὸ διὰ προφητῶν ἁγίων ἐπί τισιν εἰρημένον· καθὼς ἐποίησας, οὕτως ἔσται σοι· τὸ ἀνταπόδομά σου, ἀνταποδοθήσεται εἰς κεφαλήν σου· ἀρνήσεται δὲ αὐτοὺς ἐκεῖνο λέγων· ἀπόστητε ἀπ' ἐμοῦ ἐργάται τῆς ἀνομίας· οὐκ οἶδα ὑμᾶς· καὶ τίνες ἂν εἶεν οὗτοι; πρῶτον μὲν οἱ διωγμοῦ καταλαβόντος τὴν πίστιν ἀποβαλόντες· ἀρνοῦνται δὲ αὐτὸν ὁμοίως αἱρετικῶν παῖδες καὶ διδάσκαλοι, ἀρειανοί τε καὶ τῆς Νεστορίου κενοφωνίας οἱ μαθηταί.

v. 10. p. 167. a. Πῶς δὴ ἄρα καὶ τοῦτο νοεῖσθαι προσήκει; εἰ μὲν γὰρ τοῦτο βούλεται δηλοῦν ὁ σωτὴρ, ὅτι εἴ λέγοιτό τις λόγος ὑβριστικὸς κατὰ ἀνθρώπου κοινοῦ πρὸς ἡμῶν, ἄφεσιν ἕξει μετανοήσας, δυσχερείας ἡμῖν ἁπάσης ὁ λόγος ἀπήλλακται· ἀγαθὸς γὰρ ὢν φύσει θεὸς, αἰτιαμά-

των ἐλευθεροῖ τοὺς μετανοεῖν ἑλομένους· εἰ δὲ XII.
ἐῶ αὐτὸν ὁ λόγος ἔρχεται τὸν τῶν ὅλων σω-
τῆρα Χριστὸν, πῶς ἀνεύθυνος ἢ καὶ ἔξω δίκης,
ὁ λόγον εἰς ἑαυτὸν εἰπών; φαμὲν οὖν· ὅτι ὅτάν
τις οὔπω τοῦ κατ' αὐτὸν μυστηρίου τὴν δύνα-
μιν ἐκμεμαθηκὼς, οὔτε μὴν ἐγνωκὼς, ὅτι θεὸς
ὢν φύσει, καθῆκεν ἑαυτὸν ἐν τοῖς καθ' ἡμᾶς,
καὶ κεχρημάτικεν ἄνθρωπος, εἴπῃ τί περὶ αὐ-
τοῦ τῶν μετρίων, καὶ ὅσα συγγνώμης ἐστὶν ἄ-
ξια, ταῦτα ὁ θεὸς ἀφίησι τοῖς ἐξ ἀγνοίας ἡ-
μαρτηκόσιν· οἷον τί φημι· ἔφη που Χριστὸς· ἐγὼ
εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς,
καὶ ζωὴν διδοὺς τῷ κόσμῳ· ἀγνοήσαντες δέ τι-
νες τὴν δόξαν αὐτοῦ, καὶ ἄνθρωπον εἶναι κοι-
νὸν οἰηθέντες αὐτὸν, ἔφασκον· οὐχ οὗτός ἐστιν
ὁ τοῦ τέκτονος υἱὸς, οὗ ἡμεῖς οἴδαμεν τὸν πα-
τέρα καὶ τὴν μητέρα; πῶς οὖν λέγει ὅτι ἐκ τοῦ
οὐρανοῦ καταβέβηκα; καὶ πάλιν, εἰσῆκει ποτὲ
μυσταγωγῶν ἐν συναγωγῇ, καὶ τεθαύμασται
μὲν παρὰ πάντων, τινὲς δέ φησιν ἔλεγον· πῶς
οὗτος γράμματα οἶδε, μὴ μεμαθηκὼς; ἠγνόησαν
γὰρ ὅτι πάντες ἔκειντο ἐν αὐτῷ οἱ θησαυροὶ
τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι· ταῦτα
συγγνώμης ἄξια· ὡς ἐξ ἀγνοίας ἀτημελῶς εἰ-
ρημένα· τοῖς γε μὴν εἰς αὐτὸ τὸ θεῖον βλασφη-
μήσασιν, ἀδιάφυκτος ἡ δίκη, καὶ διηνεκὴς ἡ κό-
λασις καὶ ἐν τῷδε τῷ κόσμῳ, καὶ ἐν τῷ μέλ-

XII. λοντι· πνεῦμα δέ φησιν ἐν τούτοις, οὐχὶ μόνον τὸ ἅγιον, ἀλλὰ γὰρ τὴν ὅλην τῆς θεότητος φύσιν· ἔφη δέ που καὶ αὐτὸς ὁ σωτὴρ, ὅτι πνεῦμα ὁ θεὸς· οὐκοῦν ἡ κατὰ τοῦ πνεύματος βλασφημία, καθ' ὅλης ἂν γένοιτο τῆς ἀνωτάτω πασῶν οὐσίας· μία γὰρ ἡ τῆς θεότητος φύσις ἐν ἁγίᾳ καὶ προσκυνητῇ νοεῖται τριάδι.

v. 11. p. 170. a. Τοσοῦτον ἐπαρθήσας τὸν φόβον ὁ κύριος, καὶ παρασκευάσας εἰς τὸ γενικῶς ἀνθίστασθαι τοῖς ἀφιστᾶσι τῆς ὀρθῆς ὁμολογίας, περὶ τῶν ἄλλων κελεύει μὴ μεριμνᾶν· τουτέστι περὶ ἀπολογίας, διότι τοῖς πιστῶς καὶ ἀγαπητικῶς διακειμένοις, ἐνεργεῖ τὸ πνεῦμα τοὺς προσήκοντας λόγους, ὡσπερεὶ διδάσκαλος ἔνδον ἐνοικῶς.

v. 13. p. 171. a. Κεχειροτόνηται μὲν παρὰ τοῦ θεοῦ καὶ πατρὸς, ὁ υἱὸς, ὅτε πέφηνε καθ' ἡμᾶς, ἄρχων τε καὶ βασιλεὺς, ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ, κατὰ τὴν τοῦ ψάλλοντος φωνήν· καὶ κατορθώσων, διατρανοῖ πάλιν αὐτὸς· ἀφῖγμαι γὰρ δή φησι διαγγέλλων τὸ πρόσταγμα κυρίου· καὶ παῖον τοῦτό ἐστι; βούλεται γὰρ ἡμᾶς ὁ φιλαρετος ἡμῶν δεσπότης, παντὸς ἀποφοίτᾳν γνήνου τε καὶ προσκαίρου πράγματος, μὴ φιλονεικοῦντας ἀδελφοῖς, εἴκοντας δὲ μᾶλλον αὐτοῖς, κἂν βούλωνται πλεονεκτεῖν· ἀπὸ γὰρ τοῦ αἴροντος φησὶ τὰ σὰ, μὴ ἀπαίτει· ζητοῦντας δὲ μᾶλλον τὰ ὅσα πέρ ἐστι χρήσιμα καὶ ἀναγκαῖα, πρὸς

σωτηρίαν ψυχῆς· τοῖς οὕτω ζῆν εἰωθόσι, νόμους ὁρίζει Χριστὸς, καθ' οὓς ἂν γένοιντο λαμπροὶ καὶ ἀπόβλεπτοι· ἔφη γοῦν· μὴ κτήσησθε ἀργύριον, μήτε χρυσίον, μήτε δύο χιτῶνας, μήτε πήραν, μήτε χαλκὸν εἰς τὰς ζώνας ὑμῶν· καὶ πάλιν· ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς· καὶ αὖ, ἐπειδή τις προσελθὼν νεανίας ἤρετο· τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; ὕπαγε, φησὶ, πώλησον τὰ ὑπάρχοντά σου, καὶ δὸς πτωχοῖς· οὐκοῦν τοῖς μὲν ὑποφέρουσιν εὐήνιον αὐτῷ τὸν τῆς διανοίας αὐχένα, καὶ διατάττει, καὶ νομοθετεῖ, καὶ μερίζει τὸν οὐράνιον κλῆρον, καὶ διανέμει τὰς πνευματικὰς εὐλογίας· τοῖς γε μὴν μόνα φρονοῦσι τὰ ἐπὶ τῆς γῆς, εἰκότως ἐρεῖ, τίς με κατέστησεν ἄρχοντα ἢ μεριστὴν ἐφ' ὑμᾶς; ἀπωσείεται μὲν οὖν ἐκεῖνον, ὡς ὀχληρὸν, καὶ οὐδὲν ἐθέλοντα μαθεῖν ὧν εἰδέναι ἐχρῆν· ἀφίησί γε μὴν οὐχ' ἀνουθετήτους ἡμᾶς, εὐκαίρου δὲ ὥσπερ λαβόμενος ἀφορμῆς, ἐξυφαίνει λόγον, μόνον δὲ οὐχὶ καὶ διαμαρτύρεται. XII.

Βόθρον ἡμῖν ὑπέδειξε διαβολικὸν, τὴν πλεονεξίαν, ἣν δὴ καὶ εἰδωλολατρείαν ὀνομάζει Παῦλος ὁ σοφὸς, ὡς μόνοις τάχά που πρέπουσαν τοῖς οὐκ εἰδόσι θεὸν, ἢ καὶ ἰσοστάθμως ἔχουσαν εἰς βεβήλωσιν τοῦ λατρεύειν τινὰς ξύλοις τὲ καὶ λίθοις· διὰ τοῦτο φησὶν, ὁρᾶτε καὶ φυ- v. 15.

XII. λάξασθε ἀπὸ πάσης πλεονεξίας, τοὐτέστι μικρᾶς τε καὶ μεγάλης· ἀσθενὴς γὰρ πάντως που ὁ πλεονεκτούμενος, καὶ εἰς μόνον ἀναπείνων τὸν ὀφθαλμὸν, τὸν ἐφ' οἷς πέπονθεν ἀγανακτῆσαι δυνάμενον· ὁ δὲ, ἐπειπερ ἐστὶ δίκαιός τε καὶ ἀγαθὸς, προσίεται μὲν τὴν ἱκετηρίαν, ἐπάγει δὲ τοῖς ἠδικηκόσι τὰς δίκας· καὶ τοῦτο μαθήσῃ λέγοντος αὐτοῦ διὰ φωνῆς ἁγίων προφητῶν· διὰ τοῦτο ἀνθ' ὧν καπεκονδύλιζον εἰς κεφαλὰς πτωχῶν, καὶ δῶρα ἐκλεκτὰ ἐδέξασθε παρ' αὐτῶν, οἴκους ξυστοὺς οἰκοδομήσετε, καὶ οὐ μὴ πίητε τὸν οἶνον αὐτῶν· ὅτι ἔγνων πολλὰς ἀσεβείας ὑμῶν, καὶ ἰσχυραὶ αἱ ἁμαρτίαι ὑμῶν· καὶ πάλιν· οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι· μὴ οἰκήσητε μόνοι ἐπὶ τῆς γῆς; ἠκούσθη γὰρ εἰς τὰ ὦτα κυρίου ταῦτα· ἐὰν γὰρ γένωνται αἱ οἰκίαι ὑμῶν πολλαὶ, εἰς ἔρημον ἔσονται μεγάλαι καὶ καλαὶ· καὶ οὐκ ἔσονται οἱ ἐνοικοῦντες ἐν αὐταῖς· οὐ γὰρ ἐργῶνται δέκα ζεύγη βοῶν, ποιήσει κεράμιον ἕν· καὶ ὁ σπείρων ἀρτάβας ἓξ, ποιήσει μέτρα τρία· οὐκοῦν κατὰ πάντα τρόπον ἀνόνητος ἡ πλεονεξία· καὶ καθ' ἕτερον δὲ τρόπον, ἀνωφελὴς· οὐ γὰρ ἐν τῷ περισσεύειν τινί φησιν ἐστὶν ἡ ζωὴ αὐτοῦ, τοὐτέστιν οὐ συνεκτείνεται τῷ πλούτῳ τὸ τῆς ζωῆς μέτρον· καὶ τοῦτο ἡμῖν σαφῶς τε καὶ ἐναρ-

γῶς ὑπέδειξεν ὁ σωτὴρ, τὴν τοῖς εἰρημένοις συν- XII.
εζευγμένην παραβολὴν εὖ μάλα συντεθεικώς.

Σὺ δέ μοι πρόσχῃς ἀκριβῶς, ἵνα θαυμάσῃς v. 16.
τοῦ λόγου τὸ εὐτεχνὲς· οὐ γὰρ ἓν ἡμῖν εὐφο- p. 172. a.
ρῆσαν ἔδειξε χωρίον, ἀλλ' ὅλην ἔφη χώραν εὔ-
καρπον γενέσθαι τῷ κεκτημένῳ, ἵνα μάθῃς τοῦ
πλούτου τὸ βάθος· τί οὖν ὁ πλούσιος, ὁ τοῖς
οὕτω πολλοῖς καὶ ἀμέτροις περιεχόμενος ἀγα-
θοῖς, στενοχωρεῖται; πεφροντικώς; τὰς τοῦ πέ-
ντητος λέξει φωνάς· τί γὰρ ποιήσω, φησὶν ἐκεῖ-
νος, ἐν σπάνῃ τῶν ἀναγκαίων ὑπάρχων; ἀεὶ τὴν
οὕτως ἀθλίαν ἐπτύει φωνήν· ἀλλ' ἰδοὺ ταῖς αὐ-
ταῖς κέχρηται φωναῖς ὁ πλούσιος σφόδρα.

Θησαυροὺς οἰκοδομεῖν πλατυτέρους, ἐσκέ- v. 18.
πτετο, μόνος ἀπολαύειν ἤθελε τῶν προσόντων
αὐτῷ· οὐχ ὁρᾷ πρὸς τὸ μέλλον, οὐκ ἀναβλέπει
πρὸς θεὸν, οὐκ ἐρᾷ φιλοπτωχίας· τῶν ἐντεῦθεν
αὐχημάτων οὐκ ἐφίεται· ἀλλὰ φησὶ· καθελῶ
μου τὰς ἀποθήκας.

Ἄθρει δὴ καὶ ἕτερον ἀνόητον αὐτοῦ λόγον· p. 172. b.
συνάξω γάρ φησι τὰ γενήματά μου· οὐκ ἐνόμι-
ζε ταῦτα ἐκ θεοῦ ἔχειν ὡς ὁ Ἰὼβ, ἢ γὰρ ἂν
ὡς θεοῦ οἰκονόμον περὶ ταῦτα διέκειτο· ἀλλ'
οἰκείων πόνων γενήματα ᾤετο· ὅτι δὲ οὐκ ἐκ
θεοῦ τὸ εὖ πράττειν ἑαυτῷ εἶναι νομίζει, δη-
λοῖ σαφῶς ἐξ ὧν λέγει, συνάξω γάρ φησι τὰ
γενήματά μου, καὶ τὰ ἀγαθά μου οὐδενὶ μετα-

XII. δώσω, ἀλλ' ἐμαυτῷ καὶ τῇ ἐμῇ γαστρὶ πάντα ταμιεύσομαι· τίς γὰρ ἂν οὕτω διανοηθείη περὶ τῶν δεομένων, θεὸν εἰδὼς χορηγὸν ὧν κέκτηται; τῶν γὰρ αὐτῶν ἐστιν ἔχειν τέ τι παρὰ θεοῦ, καὶ κεχρῆσθαι κατὰ θεὸν οἷς περ ἔχουσιν.

v. 19. p. 173. b. Ἀλλ' ὁ πλούσιος, οὐ τὰς μενούσας ἀποθήκας οἰκοδομεῖ, ἀλλὰ τὰς καταλυομένας· καὶ τὸ ἔτι τούτου παραλογώτερον, ἑαυτῷ μῆκος ὁρίζει ζωῆς, ὥσπερ ἐκ γῆς καὶ τοῦτο θερίσας· φησὶ γὰρ καὶ ἐρῶ τῇ ψυχῇ μου· ψυχή, ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλά.

Ἀλλ' ὦ πλούσιε, φαίη τίς ἂν, τοὺς μὲν καρποὺς ἔχεις ἐν ἀποθήκαις, ἔτη δὲ πολλὰ πόθεν ἂν λάβῃς;

v. 20. p. 174. b. Τί ὠφέλησε τοῦτον τὸν πλούσιον ἡ πολλὴ μέριμνα; ὅλος ἐστὶ τῆς σαρκὸς· ἀλλ' ὁρᾷς ὅσην ὑπέμεινε ζημίαν, ὁ μηδενὶ μὲν τῶν ἄλλων ἀγαθὸς, ἑαυτῷ δὲ μόνῳ πλούσιος; πεφρόντικεν, ἵνα πλουτήσῃ· ἠγρύπνησεν, ἵνα συναγάγῃ πολλὰ· συγχαίρει τῇ ἑαυτοῦ γαστρὶ ὡς ἐχούσῃ πολλὰ τῶν ἐπιτηδείων· ὅλος ἐστὶ τῶν ἐπὶ γῆς πραγμάτων· οὐκ ἀναβλέπει πρὸς θεὸν· οὐχ' ὁρᾷ τὰ ἐσόμενα· οὐ λογίζεται τὸν ἐπὶ τοῦ θείου βήματος δικάζοντα θεὸν· οὐχ' ὁρᾷ τὸν γείτονα θάνατον, κατεδικάσθη γὰρ τελευτὴν ἀπροσδόκητον, ὁ μισόπτωχος πλούσιος· ἐν τῇ ἑσπέρᾳ τὴν ἑωθινὴν τροφὴν βουλευόμενος, καὶ τοῦ ὄρθρου

μὴ καταλαβὼν τὴν ἀκτῖνα· ἄκουε γὰρ ὅτι κε- XII.
κολόβωται αὐτῷ ἡ ζωὴ ψήφῳ Θεοῦ.

Ἀληθὲς οὖν ἄρα ὅτι οὐκ ἐν τῷ περισσεύειν p. 175. b.
τινὶ, ἔσται ἡ ζωὴ αὐτοῦ ἐκ τῶν ὑπαρχόντων αὐτῷ· τρισμακάριος δὲ καὶ ἐν ἐλπίσι λαμπραῖς, ὁ κατὰ Θεὸν πλουτῶν· ὁ μὲν γὰρ ταῖς κατὰ γῆν φροντίσι δαπανώμενος, ἐπιζήμιον ἔχει τὸ τέλος, καὶ πένης ἀπελεύσεται πρὸς Θεὸν· ὁ δὲ μεριμνῶν τὰ τοῦ κυρίου, πλουτήσει μὲν ἐν ἔργοις ἀγαθοῖς, ἕξει δὲ θησαυρὸν ἄσυλον ἐν τοῖς οὐρανοῖς.

Τέθειται μὲν δὴ τοῖς ἐξ Ἰσραὴλ ὁ διὰ Μωϋ- v. 22.
σέως νόμος, ἀποφέρων εἰς ἕκαστα τῶν πρακτέων, p. 176. a.
καὶ τὸ τελοῦν εἰς ὄνησιν αὐτοῖς καθιστὰς ἐναργῶς· οἱ δὲ θυμηδίας τῆς ἀνωτάτω πρόφασιν ἐποιοῦντο τὸ χρῆμα, λέγοντες· μακάριοι ἐσμὲν Ἰσραὴλ, ὅτῳ τὰ ἀρεστὰ κυρίῳ γνωστὰ ἡμῖν ἐστιν· ἐγὼ δὲ φαίην ἂν· τρισμακάριοι ἐσμὲν ἡμεῖς, παρ' αὐτοῦ τοῦ σώντων ἡμῶν σωτῆρος διδασκόμενοι τὸ ἀγαθὸν αὐτοῦ τὸ σωτήριον θέλημα, ἵνα τὴν εὐαγγελικὴν ζωὴν πολιτευσάμενοι, συμβασιλεύσωμεν αὐτῷ· ὅρα γὰρ, ὅπως ἡμᾶς μερίμνης ἐξίστησι περιττῆς, οὐχ' ἁπλῶς μὴ μεριμνᾶτε λέγων, προσεπάγων δὲ ὅτι τῇ ψυχῇ ὑμῶν, ἀντὶ τοῦ μὴ ἐσπουδασμένην ἐν τούτοις δαπανᾶτε φροντίδα, ἀλλὰ τοῖς ὑπερκειμένοις χαρίζεσθε τὰς σπουδάς· ὑπέρκειται δὲ τροφῆς μὲν ψυχὴ,

XII. περιβλημάτων δὲ σῶμα· καὶ ἄθρει πῶς οὐχ' ἁπλῶς τὸ μὴ μεριμνᾶτε τίθησιν, ἀλλὰ καὶ ἐνταῦθα λογισμοὺς ἀνακινεῖ ἐκ τῶν ὑπηργμένων ἡμῖν ἤδη· ὁ γὰρ τὸ μεῖζον φησὶ δοὺς, πῶς τὸ ἔλαττον οὐ δώσει; ὁ τὴν τρεφομένην σάρκα διαπλάσας, πῶς τὴν τροφὴν οὐ παρέξει; ἀγῶνος τοίνυν προκειμένου τοῦ παρὰ ψυχῆς καὶ σώματος, κολάσεώς τε καὶ δίκης ἐπηρτημένης τοῖς οὐκ ἐθέλουσι ζῆν ὀρθῶς, ἐρρίφθω φροντὶς ἡ ἐπ' ἀμφίοις καὶ τροφῇ· ἄλλως τε τοὺς τῆς ἀρετῆς ἐραστὰς, πῶς οὐκ αἰσχρὸν μειρακιωδῶς ἱματίοις ἐφήδεσθαι, καὶ τραπέζαις πολυτελέσιν; ἕψεται γὰρ τούτοις εὐθὺς καὶ ἡ τῶν ἑτέρων ἐπιθυμιῶν ἀγρία πληθύς· τοῦτο δέ ἐστιν ὄλισθος ἀπὸ θεοῦ· χρὴ τοίνυν ἡμᾶς ἐφίεσθαι μᾶλλον τῶν ἀρεσκόντων θεῷ, χορηγήσει γὰρ αὐτὸς τὰ δέοντα καὶ τὰ αὐτάρκη· ἀξιόχρεως δὲ ὁ δεσπότης, τοῦτό σοι σαφῶς ὑποισχνούμενος, καὶ ὡς ἀπό γε τῶν ἐλαττόνων, περὶ τῶν μειζόνων ἡμᾶς πληροφορῶν.

v. 24. p. 176. b. Ὥσπερ εἰς εὐανδρίαν ἡμᾶς ἀναβιβάζων πνευματικὴν, ὡς ἀπό γε τῶν ἐν οὐδενὶ λόγῳ κειμένων πτηνῶν ἐποιεῖτο τὴν πληροφορίαν, λέγων, πολλῶν στρουθίων διαφέρετε ὑμεῖς, οὕτω καὶ νῦν, ὡς ἀπό γε τῶν πτηνῶν, ἢ τῶν ἐν ἀγροῖς ἀνθῶν, ἱδρυμένην καὶ ἀκατάσειστον ἐνεργάζεταί σοι τὴν πίστιν· ἐνδοιάζειν δὲ ὅλως οὐκ ἐφίησιν

ἡμᾶς, ὅτι πάνϒη τὲ καὶ πάντως τὴν παρ' αὐτοῦ χαρίζεϒαι φειδὼ, τὸ ἀνενδεὲς ἐφ' ἅπασι διδούς. XII.

Ἀληθὲς δὲ τὸ καὶ τὸν Σολομῶντα ἡττῆσθαι τῆς τῶν κρίνων περιβολῆς· τὰ γὰρ τῶν χρωμάτων ἄνθη, ποικίλα τὲ ὄντα καὶ πολυειδῆ, ἐν κρίνοις μὲν, καὶ ἐν ἑτέροις τισὶ τῶν φυομένων ἐν ἀγροῖς, ἀξιοθαύμαστον ἔχει τὴν ὥραν· τὸ δὲ πρὸς μίμησιν τὴν αὐτῶν ὑπότου τεχνουργούμενον, λείπεται πάντως ἐκείνων, καὶ μόλις ἔρχεϒαί πως τῆς ἀληθείας ἐγγὺς· εἰ τοίνυν τοῦθ' οὕτως ἔχει, πῶς οὐκ ἀληθὲς ὅτι οὐδὲ Σολομῶν καί τοι φιλότιμος οὕτω γεγονὼς ἐν ὅλῃ τῇ δόξῃ αὐτοῦ, περιεβάλετο ὡς ἓν τούτων; ἀπόχρη τοιγαροῦν τοῖς σοφοῖς τὸ χρείας ἕνεκα καὶ μόνης εὐσχήμονα καὶ εὐπόριστον ἔχειν τὴν στολὴν, καὶ σιτίων λιτότητα μὴ ὑπεραίρουσαν τὸ ἀρκοῦν· ἀρκέσει δὲ τοῖς ἁγίοις ἡ ἐν Χριστῷ τρυφὴ, ἡ πνευματικὴ δηλονότι καὶ θεία καὶ νοητὴ, καὶ ἡ μετὰ ταῦτα δόξα· ἦν δὲ καὶ ἑτέρως ἀνάρμοστον, τοὺς ἑτέροις μέλλοντας ἔσεσθαι πολιτείας εὐαγοῦς ὑποτύπωσιν καὶ ὑπογραμμὸν, εἰς ἐκεῖνα πίπτειν ἀτημελῶς, ὧν αὐτοὺς ἀποφοιτᾷν συμβουλεύειν ἔδει, παιδαγωγοὺς ὄντας οἰκουμενικοὺς· ἐπεβούλευσε δ' ἂν οὐ μετρίως καὶ τῇ τῶν ἱερῶν κηρυγμάτων σπουδῇ τε καὶ χρείᾳ, τὸ φροντίδος κοσμικῆς μεταποιεῖσθαι τοὺς μαθητάς. v. 27. p. 178. a.

Ἐπιῤῥίψωμεν τοίνυν ἐπὶ κύριον τὴν φροντί- p. 178. b.

XII. δα· μὴ μεριμνήσωμεν τί φάγωμεν ἢ τί πίωμεν, ἢ τί περιβαλώμεθα· μὴ ἐν μικροῖς καὶ εὐτελέσι πράγμασιν ὁ μέγας ἡμῶν διαπανάσθω λογισμὸς, μὴ δοῦλον ἱματίου καὶ τροφῆς ἀπεργασώμεθα τὸν ἐλεύθερον νοῦν· μεριμνάτω δὲ μᾶλλον ὅσα διασώζει ψυχὴν, ὅσα πρὸς τὴν τῶν οὐρανῶν ἀναφέρει βασιλείαν, ὅσα τοὺς στεφάνους ἡμῖν προξενεῖ· ἔργον τοῦτο τῇ ἀνθρώπου διανοίᾳ πρεπωδέστατον· ἆρα γὰρ εἴ τις ἡμᾶς ἐρωτήσειε, τί μεῖζον ἐστὶν ἐν ἡμῖν, τί δὲ εἶναι τὸ κάλλιον ὑπειλήφαμεν, τροφὴν ἢ σῶμα, ἢ ψυχὴν; τίς οὕτως ἐστὶν ἠλίθιος, τίς δὲ οὕτως βραδὺς εἰς τὸ νοῆσαι τὰ χρήσιμα, ὡς μὴ εὐθὺς ἀποκρίνασθαι τὴν ψυχὴν; ὅτε τοίνυν μείζων καὶ τροφῆς καὶ ἱματίου ψυχὴ, διὰ τί μὴ μᾶλλον ἐν τοῖς μείζοσιν ἀναλίσκομεν τὴν φροντίδα, τιμῶμεν δὲ οὕτως τὸ ἔλαττον, καὶ πᾶσαν αὐτῷ χαριζόμεθα τὴν διάνοιαν; μεριμνᾷς ἱματίου καὶ τροφῆς, διὰ τί μὴ μᾶλλον μεριμνᾷς ὅπως διασωθῇς; μεριμνᾷς τοῦ σώματος, διὰ τί μὴ μεριμνᾷς τῆς ψυχῆς;

v. 28. Ὁ οὕτως ἀγαθὸς κύριος, ὁ τὸ εὐτελέστατον ἀποτρέφων πετεινὸν, οὐ διαθρέψει τὸν κατ' εἰκόνα οἰκείαν γενόμενον; ταύτῃ τοι καὶ μάλα εἰκότως τὴν περὶ τὰ προκείμενα φροντίδα καταικιβδηλεύει σοφῶς ὁ Χριστὸς, τὰ ἔθνη τοῦ κόσμου ταῦτα λέγων ἐπιζητεῖν· ἀναβιβάζει δὲ καὶ

εἰς ἄμαχον πίστιν, τοῦ ὅτι πάντη τὲ καὶ πάν- XII.
τως ἔξουσι τὸ ἀνενδεὲς· εὖ εἰδότος ὧν εἰσὶν ἐν
χρείᾳ τοῦ πατρὸς αὐτῶν, δῆλον δὲ ὅτι τοῦ ἐν
οὐρανοῖς, φησὶ γὰρ· καὶ ὑμεῖς μὴ ζητεῖτε τί
φάγητε κ. τ. λ.

Ἐπὶ καιροῦ δὲ σφόδρα παλέρα φησὶ τὸν θεὸν· v. 30.
p. 180. a.
ἵνα εἰδεῖεν, ὅτι τῶν ἰδίων οὐκ ἂν ἐωιλάθοιτο
τέκνων, ἀλλ' ἔσται χρησὸς καὶ φιλόπαις περὶ
αὐτούς· ζητῶμεν τοίνυν μὴ τροφὰς τὰς ἔξω λό-
γου καὶ περιττὰς, ἀλλ' ὅσα βλέπει πρὸς σω-
τήριαν ψυχῆς· μὴ πολυτελὲς ἄμφιον, ἀλλ' ὅπως
ἂν ἐξελώμεθα καὶ πυρὸς καὶ δίκης τὸ ἴδιον
σῶμα, ζητοῦντες αὐτοῦ τὴν βασιλείαν.

Ἀντὶ τοῦ μὴ ἀπιστήσῃς, ὅτι πάντη τὲ καὶ v. 32.
πάντως χορηγήσει τὰ ζωαρκῆ τοῖς ἀγαπῶσιν
αὐτὸν, ὁ ἐν οὐρανοῖς πατὴρ· οὐ γὰρ περιόψε-
ται τοὺς ἰδίους· ἀνοίξει δὲ μᾶλλον αὐτοῖς τὴν
χεῖρα, τὴν ἀεὶ πληροῦσαν τὰ πάντα χρηστό-
τητος· καὶ ποία τούτων ἡ πίστις; εὐδόκησε, φη-
σὶν, ὁ πατὴρ ὑμῶν δοῦναι ὑμῖν τὴν βασιλείαν·
ὁ δὲ τὰ οὕτω μεγάλα καὶ ἐξαίρετα διδοὺς, πῶς
ὀκνήσει περὶ τὸ εἶναι χρηστὸς παρὰ ἡμᾶς; ἵνα
οὖν, φησὶ, τὴν βασιλείαν τῶν οὐρανῶν κατακτή-
σησθε, τῶν ἐπὶ γῆς χρημάτων καταφρονήσατε·
μικρὸν δὲ ποίμνιον ὀνομάζει τοὺς ἐπὶ τῆς γῆς·
ἡττώμεθα γὰρ τῆς τῶν ἀγγέλων πληθύος ἀμε-
τρήτου οὔσης, καὶ ἀσυγκρίτως πλεονεκτούσης τὰ

XII. καθ' ἡμᾶς· καὶ τοῦτο πάλιν αὐτὸς ἡμᾶς ἐδίδαξεν ὁ σωτὴρ, τὴν ἐν τοῖς εὐαγγελίοις παραβολὴν ἄριστα συνετθεικώς· ἔφη γὰρ· ὅτι τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃς ἕξει ἑκατὸν πρόβατα, καὶ πλανηθῇ ἓν ἐξ αὐτῶν, οὐκ ἀφήσει τὰ ἐνενηκονταεννέα ἐπὶ τὰ ὄρη, καὶ πορευθεὶς ζητεῖ τὸ πλανώμενον; καὶ ἐὰν γένηται εὑρεῖν αὐτὸ, ἀμὴν λέγω ὑμῖν, ὅτι χαίρει ἐπ' αὐτῷ μᾶλλον, ἢ ἐπὶ τοῖς ἐνενηκονταεννέα τοῖς μὴ πεπλανημένοις· ἄθρει δὴ οὖν ὅπως ὅταν εἰς δεκάδας δέκα τῶν λογικῶν κτισμάτων ὁ ἀριθμὸς ἐκτείνηται, ὡς ἓν ἐν τοῖς ἑκατὸν τὸ ἐπὶ γῆς ἐστι ποίμνιον· ἀλλ' εἰ καὶ μικρὸν τοῦτο, καὶ φύσει, καὶ ἀριθμῷ, καὶ δόξῃ πρὸς τὰς ἀμετρήτους τῶν ἄνω πνευμάτων ἀγέλας, ἀλλ' ἡ τοῦ πατρὸς ἀγαθότης, πάντα λόγον ὑπερεκτείνουσα, δέδωκε καὶ αὐτῷ τῶν ὑπερκειμένων πνευμάτων τὸν κλῆρον, τουτέστι τὴν τῶν οὐρανῶν βασιλείαν.

v. 33. Φορτικὴ μὲν ἴσως τοῖς ἐν πλούτῳ ἡ ἐντολὴ· ὡς γὰρ αὐτός που πάλιν φησὶ, δυσκόλως οἱ τὰ χρήματα ἔχοντες, εἰσελεύσονται εἰς τὴν βασιλείαν τοῦ θεοῦ· πλὴν τοῖς ἀρτίφροσιν οὐκ ἀνόνητος ἡ ἐντολὴ· θησαυρίζουσιν ἑαυτοῖς τὴν εἰς τὸ μέλλον ἐλπίδα· πρόσκαιρος γὰρ ὁ παρὼν βίος, καὶ βραχὺς, καὶ συνεσταλμένος· ἄπειρος δὲ καὶ μακρὸς, ὁ μετὰ ταῦτα· ὁ ἐν οὐρανοῖς

θησαυρίζων, ἕξει τὴν ἐν οὐρανῷ βασιλείαν, μὴ ὑπὸ σητὸς διαφθειρομένην· ἐπειδὴ ἄσυλος ὁ οὐράνιος πλοῦτος, καὶ ἀπαθὴς διαμένει· πρόσιθι τοίνυν μὴ ὀκνηρῶς· κτῆσαι τοῖς προσκαίροις τὰ αἰώνια· δὸς τὰ μὴ μένοντα, καὶ πλούτησον τὰ σωζόμενα· δὸς τὰ ἐπίγεια, καὶ κέρδανον τὰ ἐν οὐρανοῖς· παράθου θεῷ τὸν σεαυτοῦ πλοῦτον, καὶ εὑρήσεις ωολύχουν ταμιευόμενον· αὐτός σε τοῦτο διδάξει καὶ ὁ μακάριος Δαβὶδ ψάλλων τὲ καὶ λέγων ἐν πνεύματι περὶ παντὸς ἀγαθοῦ καὶ φιλοικτίρμονος· ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. XII.

Ἀληθὲς καὶ τοῦτο· οἱ γὰρ φρονοῦντες τὰ πρόσκαιρα, ὅλην ἔχουσιν ἐπ' αὐτοῖς τὴν ἐλπίδα· καὶ οἱ ζητοῦντες τὰ ἐν οὐρανοῖς, ἐκεῖ τὸν τῆς διανοίας πέμπουσιν ὀφθαλμόν. v. 34. p. 181. a.

Διαλέγεται μὲν ὡς πνευματικοῖς, γράφει δὲ πάλιν διὰ τῶν ἐμφανῶν τε καὶ ὁρατῶν πραγμάτων τὰ νοητά· οὐ γάρ που φαίη τίς ἂν, ὅτι τὸν τοῦ σώματος ὀσφῦν διεζωσμένην ἡμᾶς ἔχειν βούλεται, καὶ καιομένους ἐν χερσὶ τοὺς λύχνους· ἀλλὰ τὸ τῆς διανοίας ἕτοιμον εἰς φιλεργίαν τὴν ἐφ' ἅπασι δηλονότι τοῖς ἐπαινουμένοις, ὑπεμφήνειεν ἂν τὸ διεζῶσθαι τὴν ὀσφῦν· ὅ γε μὴν λύχνος, τὴν τοῦ νοῦ γρηγόρησιν καὶ φαιδρότητα νοητὴν ἔοικε παραδηλοῦν, καὶ ὅτι δεῖ παρ- v. 35.

XII. εσκευασμένους ἐφ' ἡμέραν εἶναι πρὸς τὴν ἐνθεῦθεν ἀποδημίαν ἡμᾶς, καὶ τὸ τοῦ δεσπότου νεῦμα περιμένειν ἑστῶσι τοῖς ὀφθαλμοῖς· ἐγρηγορέναι δὲ φαμὲν τὸν ἀνθρώπινον νοῦν, ὅταν ἀποσείηται τὸ νυστάζειν ἐπὶ τὸ ῥάθυμον, δι' οὗ πρὸς πᾶν εἶδος φαυλότητος καθικνεῖσθαι φιλεῖ, μονονουχὶ σβεννύμενος· ἐγρηγορέναι δὴ οὖν ἡμᾶς κελεύει Χριστὸς· καὶ πρός γε τοῦτο ἡμᾶς καταθήγει λέγων ὁ αὐτοῦ μαθητὴς, νήφετε, γρηγορεῖτε· ναὶ μὴν καὶ ὁ πάνσοφος Παῦλος· ἔγειραι ὁ καθεύδων· νηφάλεον γὰρ ἔχειν χρὴ καὶ ἐγρηγορότα τὸν νοῦν καὶ τῇ τῆς ἀληθείας γνώσει καταλαμπόμενον· ὡς ἐπ' αὐτῷ δὴ τούτῳ χαίροντα, λέγειν· ὅτι σὺ φωτιεῖς λύχνον μου κύριε, ὁ θεός μου φωτιεῖς τὸ σκότος μου· ἰστέον δὲ ὅτι καὶ διὰ τοῦ πανσόφου Μωϋσέως, τοιοῦτόν τι προστεταχὼς εὑρίσκεται τοῖς ἐξ Ἰσραὴλ, ὅτε εἰς τύπον Χριστοῦ διακελεύεται σφάττεσθαι τὸν ἀμνὸν, καθὰ μεμαρτύρηκεν ὁ ἱερώτατος Παῦλος, λέγων· τὸ γὰρ πάσχα ἡμῶν, ἐτύθη Χριστὸς· τοῖς γε μὴν ἐσθίουσι τῶν κρεῶν αὐτοῦ, προσπεφώνηκε λέγων ὁ ἱεροφάντης Μωϋσῆς, μᾶλλον δὲ δι' αὐτοῦ ὁ θεὸς· ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι, καὶ τὰ ὑποδήματα ἐν τοῖς ποσὶν ὑμῶν, καὶ αἱ βακτηρίαι ἐν ταῖς χερσὶν ὑμῶν· χρῆναι γὰρ ἔγω γέφημι τοὺς ἐν μεθέξει γεγονότας Χριστοῦ, ἑτοί-

μως ἔχειν εἰς ἔργα χωρεῖν ἅπερ ἂν ἁγίοις πρέ- XII.
πῃ· καὶ ἐν προθυμίᾳ βαδίζειν, οἷπερ ἂν ἡμᾶς
ὁ θεῖος βούληται νόμος· ταύτῃ τοι μάλα εἰκό-
τως ὁδοιπορικὸν αὐτοῖς περιτέθεικε σχῆμα· ὥστε p. 181. b.
τὸ μὲν διεζῶσθαι, σημαίνει τὸ οἷον εὔζωνόν τε
καὶ ἕτοιμον ἐπὶ τὸ χρῆναι πληπαθεῖν ὑπὲρ τῆς
εἰς θεὸν ἀγάπης· τὸ δ' εὐπρεπὲς καὶ πρόθυμον
πρὸς τὴν ἀπὸ τοῦ κόσμου μετάστασιν, τὸ ὑπο-
δεδέσθαι, ὡς αὐτίκα βαδιουμένους, οὗπερ ἂν ὁ
θεῖος βούλοιτο νόμος· τὸ δὲ καίεσθαι τοὺς λύχ-
νους, τὸ μὴ ὡς ἐν σκότῳ καὶ ἀμαθίᾳ ζῆν ἀνέ-
χεσθαί τινας· ἐν φωτὶ δὲ τῷ διὰ τοῦ Χριστοῦ,
τὴν πρὸς τὰ θαυμάσια ποιεῖσθαι πορείαν· ὅπερ
ἐκ φρενοβλαβείας οὐκ ἀνεχομένοις δρᾶν τοῖς
ἰουδαίοις ἔλεγεν ὁ σωτὴρ· περιπατεῖτε, ἕως τὸ
φῶς ἔχετε.

Ὅτι δὲ χρὴ παλινδρομήσοντα Χριστὸν ἐξ v. 36.
οὐρανοῦ προσδοκᾶν, καταβήσεται γὰρ ἐν δόξῃ
τοῦ πατρὸς μετὰ τῶν ἁγίων ἀγγέλων, ἐδίδα-
ξεν εἰπών· καὶ ὑμεῖς ὅμοιοι κ. τ. λ.

Καί μοι πάλιν ἐκεῖνο διανοοῦ· ἀναλύσει γὰρ
ὡς ἐκ παντὸς ὁ Χριστὸς· δι' οὗ διαδείκνυ-
ται σαφῶς, ὡς ἔστιν ἀεὶ τὸ θεῖον ἐν ταῖς αὐτῷ
πρεπούσαις ἑορταῖς· ἐκεῖ γὰρ ὅλως τὸ καταφὲς
οὐδαμοῦ· λυπεῖ γὰρ οὐδὲν τὴν ἀκήρατον φύσιν.

Ὅταν, φησὶν, ἐλθὼν εὑρῃ καὶ ἐγρη- v. 37.
γορότας, καὶ πεφωτισμένην ἔχοντας τὴν καρ- p. 182. a.

XII. δίαν, τότε δὴ τότε μακαρίους ἀποφανεῖ· περι-
ζώσεται γὰρ καὶ διακονήσει αὐτοῖς· δι' οὗπερ
ἔνεστι μαθεῖν, ὅτι τοῖς ἴσοις ἡμᾶς ἀνταμείψεται,
καὶ οἷον καμόντας ἀνακτήσεται, τρυφὰς ἡμῖν
παραθεὶς τὰς πνευματικὰς, καὶ ἀμφιλαφῆ τῶν
παρ' ἑαυτοῦ χαρισμάτων ἁπλώσας τράπεζαν.

v. 38. Ἐνταῦθά μοι βλέπε τὸ τῆς θείας ἡμερότη-
τος πλάτος, καὶ τῆς εἰς ἡμᾶς γαληνότητος τὴν
ὑπερβολήν· οἶδε γὰρ οἶδε τὸ πλάσμα ἡμῶν,
καὶ εὐόλισθον τῆς ἀνθρώπου διανοίας εἰς ἁμαρ-
τίαν· οἶδεν ὅτι τετυράννευκε καθ' ἡμῶν τῆς φι-
λοσαρκίας ἡ δύναμις, καὶ ὁ τοῦ παρόντος βίου
περισπασμὸς μονονουχὶ καὶ οὐχ' ἑκόντας κατα-
βιάζεται· πρὸς πᾶν ὁτιοῦν τῶν ἐκτόπων ἀπο-
φέρων τὸν νοῦν· ἐπειδὴ δέ ἐστιν ἀγαθὸς, ἀπο-
γινώσκειν οὐκ ἐᾷ, κατοικτείρει δὲ μᾶλλον, καὶ
σωτήριας φάρμακον ἔδωκεν ἡμῖν τὴν μετάγνω-
σιν· διὰ τοῦτο φησὶ, κἂν ἐν τῇ δευτέρᾳ κἂν ἐν
τῇ τρίτῃ φυλακῇ ἔλθῃ, καὶ εὕρῃ οὕτως ποιοῦν-
τας, μακάριοι εἰσὶν ἐκεῖνοι· ἐθελήσεις δὲ πάν-
τως εἰδέναι σαφῶς, τί δὲ τοῦτο ἐστὶ· μερίζου-
σι τοίνυν τὴν νύκτα τινὲς εἰς τρεῖς ἢ εἰς τέσ-
σαρας φυλακὰς· οἱ γὰρ τοῖς τείχεσι τῶν πόλεων εἰσκαθήμενοι, καὶ τὰς τῶν πολεμίων τη-
ροῦντες ἐφόδους, τρεῖς ἢ τέσσαρας ὥρας διαγρη-
γορήσαντες, παραπέμπουσιν εἰς ἑτέρους τὴν φυ-
λακὴν καὶ ἐγρήγορσιν· τρεῖς τοίνυν εἰσὶ καὶ παρ'

ἡμῖν ἡλικίαι· πρώτη μὲν καθ' ἣν ἐσμὲν ἔτι παῖ- XII.
δες ἄνηβοι, δευτέρα δὲ καθ' ἣν νεανίαι, καὶ
τρίτη καθ' ἣν πρεσβύται· ἀλλ' ἡ μὲν πρώτη,
καθ' ἣν ἔτι παῖδες ἐσμὲν, οὐκ εὐθύνεται παρὰ
θεοῦ, ἀξιοῦται δὲ συγγνώμης· ἥ γε μὴν δευ-
τέρα καὶ ἡ τρίτη ὀφείλει τῷ θεῷ τὴν ὑπακοὴν,
καὶ τὸ διαζῆν ὁσίως, κατὰ τὸ αὐτῷ δοκοῦν·
οὐκοῦν κἂν εἴ τις καταληφθείη τυχὼν ἐν ἐγρη-
γόρσει, καὶ οἷον ἐν εὐζωνότητι νέος ὢν ἔτι, κἂν
εἴτουν τὴν πρεσβυτικὴν ἔχων ἡλικίαν, μακάριος
ἔσται· τεύξεται γὰρ τῶν ἐπηγγελμένων παρὰ
Χριστοῦ.

Ὅτι δὲ τὸ μὴ ἐγρηγορέναι ἐπιζήμιον, εὖ p. 182. b.
μάλα παραδείκνυσι διὰ τοῦδε τοῦ παραδείγμα-
τος· ὡς γὰρ ὁ αὐτοῦ φησι μαθητὴς, ἥξει ἡ ἡμέ-
ρα κυρίου, ὡς κλέπτης· ἐν ᾗ οὐρανοὶ μὲν ῥοι-
ζηδὸν παρελεύσονται· στοιχεῖα δὲ καυσούμενα,
λυθήσεται· γῆν δὲ καὶ τὰ ἐν αὐτῇ ἔργα κατα-
καήσεται πάντα· καινοὺς δὲ οὐρανοὺς καὶ καινὴν
γῆν, κατὰ τὰ ἐπαγγέλματα αὐτοῦ προσδοκῶ-
μεν· προσεπάγει δὲ τούτοις· τούτων δὲ πάντων
λυομένων, ποταποὺς δεῖ εὑρεθῆναι ἡμᾶς, ἁγίους
καὶ ἀμώμους κατενώπιον αὐτοῦ· οἶδε γὰρ ὅλως
οὐδεὶς τὸν τῆς συντελείας καιρόν.

Ἐρωτᾷ Πέτρος εἰ πρὸς πάντας εἶπεν ὁ κύ- v. 41.
ριος τὴν περὶ τῶν λύχνων παραβολὴν· ἆρα, φη- p. 183. a.
σὶ, γενικὸς ὁ νόμος, καὶ ἐν ἴσῳ μέτρῳ κατὰ

XII. πάντων ἔρχεται, ἢ μόνοις ἂν πρέποι τοῖς τῶν ἄλλων ἐξηρημένοις; εἶτα, τί τὸ θορυβῆσαν ἐστὶ τὸν σοφώτατον μαθητὴν, ἢ τί παρεκίνησεν εἰς τὸ θελῆσαι μαθεῖν τὰ τοιάδε παρὰ Χριστοῦ; οὐκοῦν ἐκεῖνο καὶ πρό γε τῶν ἄλλων ἐροῦμεν· τῶν ἐντολῶν αἱ μὲν ἀποστολικοῖς πρέπουσιν ἀξιώμασιν· αἱ δὲ τοῖς τὴν μείζω τάξιν ἐπέχουσι· καὶ τοῦτό ἐστιν ἰδεῖν ἀληθὲς ὂν καὶ οὕτως ἔχον, ὡς ἔφην, γεγραφότος τισὶ τοῦ μακαρίου Παύλου, γάλα ὑμᾶς ἐπότισα οὐ βρῶμα, οὔπω γὰρ ἐδύνασθε, ἀλλ' οὐδὲ νῦν ἔτι δύνασθε· τελείων γάρ ἐστιν ἡ στερεὰ τροφὴ, τῶν διὰ τὴν ἕξιν ἐχόντων τὰ αἰσθητήρια γεγυμνασμένα πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ· τοῖς γὰρ τὴν διάνοιαν ἔχουσιν εὐσθενῆ, πρέποι ἂν εἰκότως τὰ μεγάλα καὶ ἐξαίρετα τῶν ἁγιοπρεπῶν ἐντολμάτων· τοῖς δὲ οὔπω πρὸς τοῦτο ἐλκλακόσιν ἰσχύος πνευματικῆς, τὰ δυσχερείας ἁπάσης ἀπηλλαγμένα· ἐννοήσας τοίνυν ὁ μακάριος Πέτρος τῶν εἰρημένων παρὰ Χριστοῦ τὴν δύναμιν, εἰκότως διαπυνθάνεται· τί οὖν πρὸς ταῦτα Χριστὸς; σαφεῖ καὶ ἐναργεστάτῳ παραδείγματι κέχρηται, πρέπουσαν ἀποφαίνων τὴν ἐντολὴν τοῖς ὅτι μάλιστα διαφανεστέροις, καὶ μυσταγωγῶν ἐν τάξει παρειλημμένοις.

v. 42. Ὑποκείσθω, φησὶν, ἄνθρωπος οἰκοδεσπότης, ὃς σπείλασθαι μέλλων ἀποδημίαν, ἐνὶ τῶν γνη-

σίων οἰκετῶν ἐνεχείρισε τοῦ παντὸς οἴκου τὴν XII.
οἰκονομίαν, ὥστε διδόναι τῇ θεραπείᾳ αὐτοῦ, τουτέστι τοῖς θεράπουσιν, ἐν καιρῷ τὸ σιτομέτριον· ὅταν τοίνυν, φησὶν, ὑπονοσήσας ἐκεῖνος, καὶ οἶκοι πάλιν ἐλθὼν, οὕτως εὕροι ποιοῦντα, καθὼς καὶ διέταξεν, ὁ δοῦλος ἐκεῖνος ἔσται τρισμακάριος· καταστήσει γὰρ αὐτὸν ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ.

Ὁ μὲν οὖν πιστὸς δοῦλος καὶ φρόνιμος, ἐν καιρῷ καὶ χρείᾳ διανέμων ἐπιστημόνως τοῖς δούλοις τὸ σιτομέτριον, ἤτοι τε πνευματικὰς τροφὰς, μακάριος ἔσται κατὰ τὴν τοῦ σωτῆρος φωνήν· τεύξεται γὰρ τῶν ἔτι μειζόνων, καὶ τὰς τοῖς γνησίοις πρεπούσας ἀμοιβὰς ἀπολήψεται· εἰ δὲ δή γένοιτό τις καταφρονητὴς καὶ ῥάθυμος, ταῖς κατὰ τῶν ὁμοδούλων πλεονεξίαις ἐντρυφῶν, ἐσθίων τε καὶ πίνων, καὶ εἰς ἐκλύτους ἐξιπλίας ἀπενηνεγμένος, διχοτομηθήσεται· τουτέστι τὴν ἐσχάτην ὑποστήσεται δίκην, ἐπιφοιτήσαντος αὐτῷ τοῦ δεσπότου ἀδοκήτως.

Ἡ μὲν οὖν ἁπλῆ καὶ πρόχειρος τῶν εἰρημέ- p. 183. b.
νων δύναμις, τοιαύτη τίς ἐστι· μάθωμεν δὲ ἀκριβῶς, τί τὸ ἐνταῦθεν ὑποδηλούμενόν ἐστι· κεχειροτόνηκεν ὁ σωτὴρ οἰκονόμους, ὥσπερ τῶν ἰδίων οἰκετῶν, τουτέστι τῶν διὰ πίστεως κεκλημένων εἰς ἐπίγνωσιν τῆς δόξης αὐτοῦ, πιστοὺς ἄνδρας καὶ συνετωτάτους, καὶ τῶν ἱερῶν δογ-

XII. μάτων ἐπιστήμονας, ἐωὶ τῷ διδόναι τοῖς συνδούλοις αὐτῶν τὸ σίτομέτριον· καὶ οὐχ' ἁπλῶς καὶ ἀκατασκέωτως, ἐν καιρῷ δὲ μᾶλλον τῷ δέοντι, τουτέστι τὴν ἀρκοῦσαν τὲ καὶ ωρέπουσαν ἑκάστῳ τροφὴν, δῆλον ὡς πνευματικὴν· ἁρμόσειε γὰρ ἂν οὐχ ἅπασιν ἁπλῶς τοῖς εἰς Χριστὸν πιστεύσασιν, ὁ περὶ τούτων λόγος· γέγραπται γοῦν· γνωστῶς ἐπιγνώσῃ ψυχὰς ποιμνίου σου· ἑτέρως μὲν γὰρ τὸν ἔτι καθηχούμενον ταῖς τῆς ἀληθείας ἐμβιβάζομεν τρίβοις, ἁπλῷ καὶ οὐδὲν ἔχοντι βαθὺ χρώμενοι λόγῳ· ἑτέρως δὲ ωάλιν τοὺς ἀδροτέρους τὸν νοῦν, καὶ συνιέναι δυναμένους τῆς θεολογίας τὸ ὕψος· ὁ τοίνυν εἰς δέον οἷς ἔλαβε χρησάμενος, ἐπὶ πᾶσι τοῖς ὑπάρχουσι τοῦ δεσπότου κατασθήσεται· καὶ τοῦτο ἡμᾶς αὐτὸς ὁ σωτὴρ ἐδίδαξεν, ἑτέρωθί που τὸν σπουδαῖον καὶ γνήσιον οἰκέτην ἐωαινῶν τε καὶ λέγων· ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ ωολλῶν σε καταστήσω, εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου· ἐὰν δέ φησι τὸ σωουδαῖος καὶ γνήσιος εἶναι μεθεὶς, μερίμναις κοσμικαῖς τὸν οἰκεῖον μεθύσκηται νοῦν, καὶ ἀποφέρηται πρὸς ἃ μὴ θέμις, βιαζόμενος καὶ πλεονεκτῶν τοὺς ὑπεζευγμένους, καὶ μὴ διδοὺς αὐτοῖς τὸ σιτομέτριον, ἐν παντὶ γενήσεται κακῷ· ἔσται δέ φησι καὶ ὁ κλῆρος αὐτοῦ μετὰ τῶν ἀπίστων· ὁ γὰρ ὅλως ἐπιβουλεύσας τῇ δόξῃ Χριστοῦ, καὶ τῶν

ἐγχειρισμένων αὐτῷ ποιμνίων ἀλογῆσαι τολ- XII.
μήσας, κατ' οὐδένα τρόπον διοίσει τῶν οὐκ εἰ-
δότων αὐτὸν· καὶ γοῦν, ἔφη ποτὲ Χριστὸς πρὸς
τὸν μακάριον Πέτρον, Σίμων Ἰωνᾶ φιλεῖς με;
ποίμαινε τὰ πρόβατά μου, βόσκε τὰ ἀρνία μου·
εἰ δὲ ὁ ποιμαίνων φιλεῖ, μισεῖ που πάντως ὁ
τούτου καταφρονῶν· εἰ δὲ μισεῖ, καὶ κολάζε-
ται, καὶ τῇ τῶν ἀπίστων ὑποφέρεται δίκῃ, ὁ-
ποῖος τις ἦν ὁ τὸ τάλαντον λαβών, ἵνα ἐμπο-
ρεύσηται νοηρῶς, εἶτα τοῦτο μὲν οὐ πεπραχὼς,
προκομίσας δὲ μᾶλλον ἀπολυπλασίασμον τὸ δο-
θὲν· ἀλλ' οἵ γε τὰ πέντε λαβόντες, ἢ καὶ ἔτι
πλείονα, καμόντες τε καὶ φιλεργήσαντες, ἀξιώ-
μασι τετίμηνται τοῖς περιφανεστάτοις· ἤκουσε
γὰρ ὁ μέν τις· ἔσο ἐπάνω δέκα πόλεων, ὁ δὲ
πέντε· ὁ δὲ ὑβριστής τε καὶ ἀκηρὸς οἰκέτις,
τὴν ἐσχάτην ὑπέμεινε δίκην· ἐπισφαλὲς οὖν πα-
νταχοῦ τὸ ῥάθυμον, εἰς μυσταγωγίαν· ὅθεν γρά-
φει μέν τισιν ὁ μακάριος Πέτρος· ὅτι ποιμαίνε-
τε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ θεοῦ, ἵν' ὀφθέντος
τοῦ πάντων ἀρχιποίμενος, κομίσησθε τὸν μισθὸν·
εἰδὼς δὲ τὸ ῥάθυμον ὀλέθρου πύλην, ἔφη Παῦ-
λος· οὐαί μοι ἐστὶν ἐὰν μὴ εὐαγγελίζωμαι.

Ὅτι δὲ τοῖς ὀκνοῦσιν εἰς μυσταγωγίαν πι- p. 184. a.
κρά τε καὶ ὀδυνηρὰ καὶ δυσδιάφευκτος ἐπικρέ-
μαται κόλασις, διαδείκνυσιν εὐθὺς ὁ σωτὴρ,
τοῖς πρώτοις ἐπενεγκὼν δύο ἐφεξῆς παραδείγ-

XII. ματα· ἔφη γὰρ· ἐκεῖνος δὲ ὁ δοῦλος, ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου κ. τ. λ.

v. 48. p. 184. b. Διὰ ποίαν αἰτίαν, καί τοι φαίη τίς ἂν; πῶς ὁ μὴ γνοὺς, ὑπέχει λόγον; ὅτι μὴ ἠθέλησεν εἰδέναι, καί τοι μαθεῖν ἐξὸν· εἰ δὲ ὁ μὴ γνοὺς, ὅλως οὐκ ἄμοιρος ὀργῆς, ὅτι δέον εἰδέναι, καὶ ημέλησε τοῦ μαθεῖν, ποῖος ἀπαλλάξει λόγος, τοῦ χρῆναι πολλὰς ὑπομεῖναι πληγὰς τὸν εἰδότα καὶ ῥᾳθυμήσαντα;

p. 185. a. Φορτικώτερον οὖν ἄρα τῶν διδασκόντων τὸ κρῖμα· καὶ τοῦτο διδάσκει λέγων ὁ Χριστοῦ μαθητὴς· μὴ πολλοὶ διδάσκαλοι γίνεσθε ἀδελφοί μου, εἰδότες ὅτι μεῖζον κρῖμα ληψόμεθα· πλουσία γὰρ τῶν πνευματικῶν χαρισμάτων ἡ δόσις, παρά γε τοῖς τῶν λαῶν ἡγουμένοις· οὕτω γάρ που καὶ ὁ σοφώτατος Παῦλος Τιμοθέῳ γράφει· δώσει σοι ὁ κύριος σύνεσιν ἐν πᾶσι· καὶ μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι δι' ἐπιθέσεως τῶν χειρῶν μου· τοῖς δὲ τοιούτοις ὡς πολλὰ διδοὺς ὁ σωτὴρ, πολλὰ ζητεῖ παρ' αὐτῶν· καὶ ποῖα ταῦτά ἐστι; τὸ ἀραρὸς ἐν πίστει, τὸ ἀπλανὲς εἰς μυσταγωγίαν, τὸ βεβηκὸς ἐν ἐλπίδι, τὸ ἀκατάσειστον ἐν ὑπομονῇ, τὸ ἄθραυστον ἐν ἰσχύϊ τῇ πνευματικῇ, τὸ εἰς πᾶν ὁτιοῦν τῶν ἀρίστων ἀνδραγαθημάτων, πρόθυμόν τε καὶ εὐσθενὲς, ὡς καὶ ἑτέροις ὑποτύπωσιν εἶναι πολιτείας ἀγγελικῆς.

Τοῦτο τὸ πῦρ ἔχονσες οἱ περὶ Κλεόπαν, ἔλεγον, οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν ἐν τῇ ὁδῷ ὡς διήνοιγεν ἡμῖν τὰς γραφάς; XII. v. 49. p. 185. b.

Πῦρ τοῦτο σωτήριον καὶ ἐπωφελὲς, δι' οὗ πάντες οἱ ἐπὶ τῆς γῆς ἀπεψυγμένοι τρόπον τινὰ καὶ νενεκρωμένοι διά τε τὴν ἁμαρτίαν, καὶ τὸ μὴ εἰδέναι τὸν φύσει καὶ ἀληθῶς ὄντα θεὸν, ἀναζωπυρούμεθα πρὸς τὴν κατ' εὐσέβειαν ζωὴν· καὶ τῷ πνεύματι ζέοντες ἀποτελούμεθα κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνὴν, κερδαίνομεν δὲ πρὸς τούτῳ, καὶ τὴν τοῦ ἁγίου πνεύματος μέθεξιν, πυρὸς δίκην ὄντος ἐν ἡμῖν· βεβαπτίσμεθα γὰρ ἐν πυρὶ ἁγίῳ πνεύματι· ἔθος δὲ τῇ θείᾳ γραφῇ πῦρ ὀνομάζειν ἔσθ' ὅτε τοὺς θείους τὲ καὶ ἱεροὺς λόγους, καὶ τὴν διὰ τοῦ ἁγίου πνεύματος ἐνέργειάν τε καὶ δύναμιν· ἔφη μὲν γάρ τις τῶν ἁγίων προφητῶν· ὡς ἐκ προσώπου τοῦ θεοῦ περὶ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ· ὅτι ἐξαίφνης ἥξει εἰς τὸν ναὸν αὐτοῦ κύριος, ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ ἄγγελος τῆς διαθήκης, ὃν ὑμεῖς θέλετε· ἰδοὺ ἔρχεται, λέγει, κύριος, καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; ἢ τίς ὑποστήσεται ὀπτασίαν αὐτοῦ; ἰδοὺ αὐτὸς ἐκπορεύεται, ὡς πῦρ χωνευτηρίου, καὶ ὡς πόα πλυνόντων· καὶ καθεδεῖται χωνεύων καὶ καθαρίζων ὡς τὸ ἀργύριον καὶ ὡς τὸ χρυσίον· καὶ ναὸν μέν φησιν ἐνθάδε, τὸ ἄχραντον ἀληθῶς

XII. καὶ ἅγιον σῶμα, τὸ διὰ τῆς ἁγίας παρθένου ταχθὲν διὰ τοῦ ἁγίου πνεύματος ἐν δυνάμει τοῦ πατρὸς· εἴρηται γάρ που πρὸς τὴν ἁγίαν παρθένον· πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· ἄγγελον δὲ διαθήκης αὐτὸν ὀνομάζει τὸν μονογενῆ, παρὰ τὸ ἀγγέλλειν καὶ διακονεῖν τῇ πατρὸς εὐδοκίᾳ τῇ εἰς ἡμᾶς γενομένῃ· καὶ γοῦν ἔφη πρὸς ἡμᾶς· ὅτι πάντα ὅσα ἤκουσα παρὰ τοῦ πατρὸς, ἀπήγγειλα ὑμῖν· γράφει δὲ περὶ αὐτοῦ, καὶ ὁ προφήτης Ἡσαΐας, ὅτι παιδίον ἐγεννήθη ἡμῖν υἱὸς· καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ· καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, μεγάλης βουλῆς ἄγγελος· ὥσπερ οὖν οἱ τὸν χρυσόν τε καὶ ἄργυρον ἐκκαθαίρειν εἰδότες, πυρὶ τὸν ἐν αὐτοῖς ἐκπήκουσι ῥύπον, οὕτω καὶ ὁ σωτὴρ διὰ τῶν εὐαγγελικῶν μαθημάτων, ἐν δυνάμει πνεύματος, τὸν ἑκάστου σμήχει νοῦν τῶν πιστευσάντων εἰς αὐτὸν· ἔφη δέ που καὶ ὁ τῶν ὅλων θεὸς, πρὸς τὸν προφήτην Ἱερεμίαν· ἰδοὺ δέδωκα τοὺς λόγους μου εἰς τὸ στόμα σου πῦρ, καὶ τὸν λαὸν τοῦτον, ξύλα· καὶ πάλιν· οὐχ' οἱ λόγοι μου ὥσπερ πῦρ, λέγει κύριος; τίς δ' ἂν νοηθείη πρὸς ἡμῶν καὶ ὁ ἄνθραξ ὁ τῶν τοῦ προφήτου Ἡσαΐου χειλέων ἁψάμενος; καὶ ἡ τῆς εἰς Χριστὸν πίστεως ὁμολογία, ἣν εἴπέρ τις ἐν στόματι λάβοι, πάντη τε καὶ πάντως διακαθαίρεται;

καὶ πιστώσεται λέγων ὁ Παῦλος, ὅτι ἐὰν εἴ- XII.
πῃς ἐν τῷ στόματί σου κύριος Ἰησοῦς, καὶ πι-
στεύσῃς ἐν τῇ καρδίᾳ σου ὡς ὁ θεὸς αὐτὸν ἤγει-
ρεν ἐκ νεκρῶν, σωθήσῃ· πλὴν ἄνθρακι καὶ πυρὶ
τὴν τοῦ θείου κηρύγματος δύναμιν, ἐοικέναι φα-
μὲν, οὗ τὴν ἄναψιν ἐπισπεύδει ὁ κύριος· ἐπί-
στευον γὰρ ἤδη τινὲς τῶν ἐξ Ἰσραὴλ, ὧν ἀπαρ-
χὴ γεγόνασιν οἱ θεσσαλονικεῖς μαθηταὶ· ἐξαφθὲν
δὲ ἅπαξ τὸ πῦρ, ἁπάσης ἔμελλε καταδράττε-
σθαι τῆς ὑπ' οὐρανὸν· ἐξενεχθείσης εἰς πέ-
ρας τῆς πάσης οἰκονομίας· καὶ τοῦτο διδάσκει
λέγων· βάπτισμα δὲ ἔχω βαπτισθῆναι κ. τ. λ.

Καί τοι Χριστός ἐστιν ἡ εἰρήνη ὑμῶν κατὰ v. 51.
τὰς γραφὰς· αὐτὸς συνῆψε τοὺς δύο λαοὺς, εἰς p. 186. a.
ἕνα καινὸν ἄνθρωπον· ποιῶν εἰρήνην, καὶ ἀπο-
καταλλάξας ἀμφοτέρους ἐν ἑνὶ σώματι, πρὸς
τὸν πατέρα· αὐτὸς συνῆψε τοῖς ἄνω τὰ κάτω·
πῶς οὖν ἔφη οὐκ ἦλθον εἰρήνην δοῦναι; τί φῂς
ὦ δέσποτα; οὐκ ἦλθες βαλεῖν εἰρήνην; καί τοι
γέγονας ἡμῖν εἰρήνη, καὶ λύσας τὸ μεσότοιχον
τοῦ φραγμοῦ, ἠφάνισας τὴν διϊστῶσαν ἡμᾶς ἁ-
μαρτίαν· εὐηγγελίσω τοῖς μακρὰν καὶ τοῖς ἐγ-
γὺς· συνῆψας ἀγέλαις, ἀγέλας· ταῖς ἰουδαίων,
τὰς ἐξ ἐθνῶν· κατειρήνευσας διὰ τοῦ σταυροῦ,
τά τε ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, κα-
θὰ γέγραπται, γέγονας ἡμῖν διαλλάκτης καὶ
μεσίτης, καὶ τὴν διὰ μέσου κειμένην ἁμαρτίαν

XII. περιελὼν συνῆψας δι' ἑαυτοῦ τῷ θεῷ καὶ πατρὶ· καὶ τὴν εἰρήνην, ἰδίαν εἶναι ἔφης, εἰπὼν· εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· πῶς οὖν οὐκ ἦλθες βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν; πρὸς τίνας ἡμῖν ἡ μάχη; καὶ ὁ τοῦ πολέμου τρόπος, πῶς ἂν γένοιτο παρ' ἡμῶν; ἵνα τὸ ἐπίπληκτον ἔχοι, καὶ ἀρέσῃ σοι τῷ τὴν εἰρήνην ἰδίαν εἶναι λέγοντι, καὶ ταύτην ἡμῖν δεδωκότι; οὐκοῦν λυέτω τὸ ζητούμενον Παῦλος, φήσας· εἴ τις ἀδελφὸς πόρνος, καὶ τὰ ἑξῆς, τῷ τοιούτῳ μὴ δὲ συνεσθίειν· δεῖ γὰρ οἶμαι παραιτεῖσθαι πόρνους, καὶ τὴν πρὸς τούτους εἰρήνην, ζημίας ἡγεῖσθαι πρόξενον· φθείρουσι γὰρ ἤθη χρηστὰ, ὁμιλίαι κακαί· καὶ καθά φησι Δαβὶδ, μετὰ ὁσίου ὁσιωθήσῃ· καὶ μετὰ στρεβλοῦ, διαστρέψεις· βούλει καὶ ἑτέρους ἰδεῖν πρὸς οὓς τὸ ἀσπάζεσθαι τὴν εἰρήνην ἐπιζήμιον; ἄκουε γράφοντος ἑνὸς τῶν ἁγίων μαθητῶν· εἴ τις ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει, τούτῳ μὴ δὲ χαίρειν λέγετε· διδαχὴν δὲ ποίαν, ἢ πάντως ἐκείνην ἣν παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται; λύκοις ἐοίκασι τῶν αἱρέσεων οἱ προεστηκότες, εἶτα πῶς εἰρηνεύσει πρὸς λύκον τὸ πρόβατον; καὶ σκοτεινοὶ μὲν ἐκεῖνοι· ὁ θεὸς γάρ φησι τοῦ αἰῶνος τούτου, ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων· ἡμεῖς δὲ υἱοὶ φωτὸς· διηύγασε γὰρ ἡμῖν ἡ διὰ τοῦ πνεύματος χάρις· τίς οὖν κοινωνία

φωῖ πρὸς σκότος; οὐκοῦν ἀγαπήσωμεν τὴν πρὸς XII.
ἀδελφοὺς καὶ ὁμοπίστους εἰρήνην· παραιτώμεθα
δὲ τὴν πρὸς ἐκείνους· δῆλον γὰρ, ὅτι χρῆμα
μὲν ἡ εἰρήνη, καλὸν· ἀλλ' οὐ πᾶσα πάντως εἰ-
ρήνη τὸ ἀκατάψεκτον ἔχει· ἀλλ' ἔστιν ἐπισφα-
λὴς πολλάκις, καὶ τῆς εἰς θεὸν ἀγάπης ἀποκο-
μίζουσα· ἀλυσιτελὴς γὰρ ἡ πρὸς τοὺς ἑτερό-
φρονας εἰρήνη, κατά γε τὸ τὰ ἴσα ἐκείνοις φρο-
νεῖν· διὰ τοῦτο γὰρ καὶ τῶν ἐπὶ γῆς φίλτρων
οἱ πιστοὶ ἀφίστανται· καὶ συγγενεῖς ἀγνοοῦσι,
καὶ πατὴρ υἱοῦ φιλίαν ἀναναίνεται· καὶ υἱὸς,
πατρὸς τιμὴν ἀγνοεῖ· καὶ μήτηρ, θυγατρὸς φίλ-
τρον ἀπώσατο· δεῖ γὰρ τοῖς ὑγιαίνουσι τὸν νοῦν,
ἕπεσθαι τοὺς πεπλανημένους, καὶ οὐκ αὐτοῖς
μᾶλλον τοὺς ὀρθὰ φρονεῖν αἱρουμένους· τοῦτο
καὶ ἑτέρως ἡμῖν ἔφη ὁ Χριστὸς· ὁ φιλῶν πατέ-
ρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος· καὶ
ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι
μου ἄξιος· οὐκοῦν ὅταν εὐσεβείας ἕνεκα τῆς εἰς
Χριστὸν, ἐπίγειον ἀρνήσῃ πατέρα, τότε πλουτή-
σεις πατέρα τὸν ἐν οὐρανοῖς· κἂν ἀφῇς ἀδελ-
φὸν ἀτιμάζοντα θεὸν, διὰ τὸ βούλεσθαι λα-
τρεύειν αὐτῷ, παραδέξεταί σε Χριστὸς εἰς ἀδελ-
φὸν, δέδωκε γὰρ ἡμῖν μετὰ τῶν ἄλλων, καὶ
τοῦτο· ἀπαγγελῶ γάρ φησι τὸ ὄνομά σου τοῖς
ἀδελφοῖς μου· γένος εὑρήσεις λαμπρὸν καὶ μέ-

XII. γα, τὴν τῶν ἁγίων πληθύν· ἔσῃ σὺν αὐτοῖς κληρονόμος τῶν παρ' αὐτοῦ χαρισμάτων.

v. 54. p. 187. a. Ἐπισημαίνονται τὰ τοιάδε τινὲς, καὶ ὡς ἐκ πολλῆς ἄγαν ἐπιτηρήσεως, προαπαγγέλλουσιν ὑετῶν καταδύσεις, ἢ σκληρῶν ἀνέμων ἐφόδους· πῶς οὖν, φησὶ, τὰ ἐν οὐρανῷ δοκιμάζοντες, τὰ ἐν γῇ γινόμενα σημεῖα οὐ βλέπετε; οὐ δὲ δοκιμάζετε τὸν καιρὸν ἐὰν ἦλθεν ὁ προσδοκώμενος.

Ἔδει τοίνυν τοὺς τὰ τῶν καιρῶν σημεῖα τεκμαιρομένους, καὶ τοὺς ἐσομένους ἔσθ' ὅτε χειμῶνας προαπαγγέλλοντες, καὶ τοῖς ἀναγκαίοις πράγμασιν ἰσχνὸν ἐπαφεῖναι τῆς διανοίας τὸν ὀφθαλμόν· καὶ ποῖα ταῦτα ἐστὶ; προκατέδειξεν ὁ νόμος τὸ Χριστοῦ μυστήριον, καὶ ὅτι πάντη τε καὶ πάντως ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς ἐπιλάμψειν ἔμελλε τοῖς ἐπὶ γῆς, καὶ τὴν ὑπὲρ τῆς ἁπάντων σωτηρίας ὑπομεῖναι σφαγήν· καὶ γοῦν προστέταχε θύεσθαι τὸν ἀμνὸν εἰς τύπον αὐτοῦ, πρὸς ἑσπέραν καὶ ὑπὸ λύχνοις· ἔμελλε δὲ πάντως τοῖς μὲν εἰς αὐτὸν πιστεύσασιν, ἡ τῆς σωτηρίας ἀνευρύνεσθαι πύλη, καὶ πολλὴ πραγμάτων ὑπάρξειν εὐδία· καὶ γοῦν ἐν τῷ ἄσματι τῶν ἀσμάτων τὴν γραφομένην νύμφην, ἥ τις καὶ τὸ τῆς ἐκκλησίας ἐπέχει πρόσωπον, καλῶς εὑρίσκεται Χριστὸς καὶ λέγων· ἀνάστα, ἐλθὲ ἡ πλησίον μου, καλή μου περιστερά, ὅτι ἰδοὺ ὁ χειμὼν παρῆλθεν, ὁ ὑετὸς ἀπῆλθεν, ἐπο-

ρεύθη ἑαυτῷ, τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ, καιρὸς XII.
τῆς τομῆς ἔφθασεν· οὐκοῦν ὡς ἔφην, ἐαρινή τις
ὥσπερ εὐδία τοῖς πιστεύουσιν εἰς αὐτὸν ἀνί-
σχειν ἔμελλεν· ὅτι δὲ καὶ οἱ μακάριοι προφῆ-
ται πολυτρόπως διηγγέλκασι τὸ Χριστοῦ μυ-
στήριον, οὐκ ἂν ἐδοιάσει τίς· ἔδει δὴ οὖν ἔδει
συνετοὺς ὄντας, φησὶ, καὶ τὸ πρόσωπον τοῦ οὐ-
ρανοῦ καὶ τῆς γῆς εἰδότας καταγνοεῖν, καὶ πρὸς
τὰ ἐσόμενα βλέπειν, καὶ τοὺς μετὰ τόνδε τὸν
βίον χειμῶνας, μὴ ἀγνοεῖν· νότος γὰρ ἔσται καὶ
ὄμβρος· τουτέστιν ἡ διὰ πυρὸς κόλασις· θερμὸς
γὰρ ὁ νότος, καὶ δεινὴ καὶ ἄφυκτος τιμωριῶν
καταφορὰ, ὑετοῦ δίκην κατεμπίπτουσα τῶν ἁ-
λωκότων, ἔδει τὸν τῆς σωτηρίας μὴ ἀγνοῆσαι
καιρὸν· οὗτος δὲ ἦν, ὁ τῆς τοῦ σωτῆρος ἡμῶν
ἐπιδημίας, καθ' ἣν ἡ τελειοτάτη γνῶσις τῆς
εὐσεβείας εἰσβέβηκε· καθ' ἣν ἀνέλαμψεν ἡ χά-
ρις δικαιοῦσα τὸν ἀσεβῆ, καὶ οὐ διά γε τοῦ
νόμου· τετέλειωκε γὰρ οὐδένα, τύπους ἔχων καὶ
σκιάς· διὰ πίστεως δὲ μᾶλλον τῆς ἐν Χριστῷ,
οὐκ ἐκβαλλούσης τὸν νόμον, ἀποπεραινούσης δ'
αὐτὸν, διὰ λατρείας πνευματικῆς· οὐ δοκιμά-
ζετε τὸν καιρὸν, οὐκ ἐκ τῶν λόγων τὰ σπέρμα-
τα, οὐκ ἐκ τῶν πραγμάτων τοὺς λόγους· βλέ-
πετε θαύματα, καὶ ὁρᾶτε σημεῖα βεβαιοῦντα
τοὺς λόγους· εἰ μὴ πείθει ὑμᾶς ταῦτα, πειθέ-
τωσαν οἱ μέλλοντες ὑμᾶς καταλήψεσθαι πειρα-

XII. σμοὶ, τοῦ λαοῦ ἡ καθαίρεσις, τῆς μητροπόλεως ἡ ἅλωσις, ἡ διαφθορὰ τοῦ ἔθνους· οὐδὲ ταῦτα ὑμᾶς εἰς συναίσθησιν ἄγει;

v. 58. p. 187. b. Θέα δὲ τοῦ λόγου τὸ εὐτεχνὲς· ὑποκείσθω τίς φησι ἐφ' ἑνὸς τῶν τεταγμένων εἰς ἀρχὴν, αἰτίασίν τινα ποιησάμενος κατὰ σοῦ, εἶτα τοῖς ἀπάγουσιν ἐπὶ τὸ δικαστήριον ὑποδείξας, ἀποφέρεσθαι ποιεῖ· ἕως τοίνυν μετ' αὐτοῦ εἶ ἐν τῇ ὁδῷ, τουτέστι πρὶν ἀφικέσθαι πρὸς τὸν κριτὴν, δὸς ἐργασίαν· ἀντὶ τοῦ πᾶσαν θέσθαι μὴ ὀκνήσῃς σπουδὴν, ἵνα ἀπαλλαγῇς αὐτοῦ· εἰ δὲ μὴ τοῦτο γένοιτο, παραδώσει σε τῷ κριτῇ· εἶτα, ὅταν ἔνοχος τοῖς ὀφλήμασιν εὑρεθῇς, παραδοθήσῃ τῷ πράκτορι, τουτέστι τοῖς ἀπαιτηταῖς· κἀκεῖνοί σε καθακλείσαντες, ἀπαιτήσουσι καὶ τὸ ἔσχατον λεπτὸν· οὐκοῦν ἔνοχοι μὲν πλημμελήματι ἐσμὲν ἅπαντες οἱ ὄντες ἐπὶ τῆς γῆς· ἑκάστου γε μὴν ἀντίδικος καὶ κατήγορος, ὁ σατανᾶς· ἐχθρὸς γάρ ἐστι καὶ ἐκδικητὴς· ἕως τοίνυν ἐσμὲν ἐν τῇ ὁδῷ, τουτέστιν ἕως οὔπω πρὸς τὸ τῆς ἐνθάδε ζωῆς κατηντήσαμεν τέλος, ἀπαλλαγῶμεν αὐτοῦ· λύσωμεν τὰς κατ' ἑαυτῶν αἰτίας· τὴν διὰ Χριστοῦ χάριν ἁρπάσωμεν, ἐλευθεροῦσαν ἡμᾶς παντὸς ὀφλήματος, καὶ δίκης ἔξω τιθεῖσαν, κολάσεώς τε καὶ φόβου, μὴ ἄρα πῶς ἀναπόνιπτον ἐσχηκότας τὸν μολυσμὸν, ἀπενεχθῶμεν πρὸς τὸν κριτὴν, καὶ παραδοθῶμεν

τοῖς πράκτορσιν, ἤτοι τοῖς κολασταῖς, ὧν οὐκ XII.
ἄν τις διαφύγοι τὸ ἀπηνὲς· ἀπαιτηθήσεται δὲ
μᾶλλον τὰς ἐπὶ παντὶ πλημμελήμασι δίκας μι-
κρῷ καὶ μεγάλῳ· τούτων ἔσονται μακρὰν, οἱ
τὸν τῆς Χριστοῦ παρουσίας καιρὸν δοκιμάζον-
τες, καὶ τὸ ἐπ' αὐτῷ μυστήριον οὐκ ἠγνοηκότες.]

CAP. XIII.

Ἐοίκασιν οἱ Γαλιλαῖοι κατὰ τοὺς χρόνους Πι- XIII. v. 1.
λάτου ἐσπασιακέναι, δόγμασιν ἑπόμενοι Ἰούδα p. 188. a.
τοῦ γαλιλαίου, οὗ καὶ ὁ Λουκᾶς ἐν ταῖς πρά-
ξεσι τῶν ἀποστόλων ἐμνήσθη· ἦν δὲ τὸ δόγμα
τοῦ Ἰούδα, ὡς καὶ Ἰώσηπος ἐν τοῖς τελευταίοις
τῆς ἰουδαϊκῆς ἀρχαιολογίας ἔδειξε, φαντασίαν
ἐξαποστέλλον πολλὴν, δι' εὐσέβειαν εὐτονίας·
κύριον γὰρ μὴ δὲ μέχρι στόματος ἔφασκε δεῖν
τινα λέγειν, μηδὲ καλά τινα φιλοφροσύνην· οὕ-
τω δὲ μὴ δὲ τὸν βασιλεύοντα· καὶ πολλοί γε
αὐτῶν περὶ τοῦ μὴ εἰπεῖν Καίσαρα κύριον, χα-
λεπωτάτας αἰκίας ὑπέμειναν· οἳ καὶ ἐδίδασκον·
μὴ δεῖν παρὰ τὰς διατεταγμένας ἐν τῷ Μωϋ-
σέως νόμῳ θυσίας, ἑτέρας ἀναφέρεσθαι τῷ θεῷ·
διόπερ ἐκώλυον τὰς ὑπὸ τῆς γερουσίας τοῦ λαοῦ
παραδεδομένας γίνεσθαι περὶ τῆς σωτηρίας τοῦ
βασιλέως καὶ τοῦ Ῥωμαίων ἔθνους· εἰκὸς οὖν
ἐπὶ τούτοις ἀγανακτοῦντα πρὸς Γαλιλαίους τὸν

XIII. Πιλάτον, κελεῦσαι παρ' αὐταῖς αἷς ἐδόκουν κατὰ τὸν νόμον προσφέρειν θυσίαις, αὐτοὺς ἀναιρεθῆναι· ὡς τότε ἀναμιχθῆναι ταῖς προσφερομέναις θυσίαις, τὸ αἷμα τῶν προσαγόντων· ταῦτα οὖν ἐπείπερ ἐδόκει ὑπὲρ εὐσεβείας γίνεσθαι, ἀπήγγελλον τῷ σωτῆρι, βουλόμενοι τὸ ἐπὶ τούτοις ἀρέσκον αὐτῷ μαθεῖν· ὁ δὲ οἰομένων τῶν ἐκ τοῦ λαοῦ δικαιότατα κατὰ τὰς ἁμαρτίας αὐτῶν πεπονθέναι ταῦτα, ἀναιρεθέντας, ἅτε στάσιν κινήσαντας τῷ λαῷ, καὶ ἐπὶ τὸ μισεῖν ἐρεθίσαντας ἄρχοντας κατὰ τῶν ὑπηκόων, τὸ μὲν εἶναι αὐτοὺς ἁμαρτωλοὺς, τίθησιν· οὐ μήν φησι ταῦτα αὐτοὺς πεπονθέναι, ὡς τῶν μὴ πεπονθότων χείρονας· εἶτ' ἐπὶ τούτοις φησὶν, ὅσον ἐπὶ τῷ ῥητῷ ἀποτρέπων τῆς ἐμφυλίου στάσεως, προφάσει εὐσεβείας ἀναπτομένης, τοὺς ὑπὲρ τοῦ λαοῦ, τὸ ἐὰν μὴ μετανοήσητε, τουτέστιν ἐὰν μὴ μεταβάλησθε τοῦ στασιάζειν καὶ ἀνθίστασθαι τοῖς ἄρχουσιν, ὅπερ οὐ κατὰ βούλημα ποιεῖτε θεοῦ, πάντες ὁμοίως ἀπολεῖσθε, καὶ τὸ ὑμέτερον αἷμα ταῖς ὑμετέραις θυσίαις ἀναμιχθήσεται.

v. 6. p. 189. b. Εἰ μὲν οὖν τίς βούλοιτο λέγειν, ἄγγελον εἶναι τὸν παρὰ θεοῦ ταχθέντα προεστάναι τῆς ἰουδαίων συναγωγῆς, οὐ κἂν ἁμάρτοι τοῦ πρέποντος· μεμνήμεθα γὰρ τοῦ προφήτου Ζαχαρίου γεγραφότος, ὅτι εἱστήκει τὶς τῶν ἁγίων ἀγγέ-

λων, τὰς ὑπὲρ τῆς Ἱερουσαλὴμ ἀναφέρων λι- XIII.
τὰς· καὶ λέγων, κύριε παντοκράτορ, ἕως τίνος
οὐ μὴ ἐλεήσῃς τὴν Ἱερουσαλὴμ, καὶ τὰς πό-
λεις Ἰούδα ἃς ὑπερεῖδες τοῦτο ἑβδομηκοστὸν
ἔτος; γέγραπται δὲ καὶ ἐν τῷ ἐξόδῳ ὡς καθα-
διώκοντος τοὺς ἐξ Ἰσραὴλ ὁμοίως τοῖς ἰδίοις
ὑπασπισταῖς τοῦ τῆς Αἰγυπτίων ἐξάρχοντος γῆς,
εἶτα μέλλοντος συμπλέκεσθαι πρὸς μάχην αὐ-
τοῖς, ἔστη ἄγγελος θεοῦ ἀνὰ μέσον τῆς παρεμ-
βολῆς τῶν υἱῶν Ἰσραὴλ, καὶ ἀνὰ μέσον τῶν Αἰ-
γυπτίων, καὶ οὐ συνέμιξαν ἀλλήλοις ὅλην τὴν
νύκτα· ἔστι τοίνυν τὸ ἀπεικὸς οὐδὲν, κἀνθάδε
νοεῖν τὸν προεστηκότα τῆς συναγωγῆς ἄγγελον,
ἀνατεῖναι ὑπὲρ αὐτῆς τὰς ἱκετηρίας· εἰ δὲ δή
τις λέγοι τὸν υἱὸν εἶναι τὸν γηπόνον, ἔχοι ἂν
καὶ τοῦτο τοῖς καθήκουσι λογισμοῖς οὐκ ἀπεοι-
κότα λόγον· παράκλητος γὰρ ἡμῶν ἐστὶ πρὸς
τὸν πατέρα, ἱλαστήριόν τε καὶ γεωργὸς τῶν
ἡμετέρων ψυχῶν· καὶ γοῦν αὐτὸς ἔφη περὶ ἑαυ-
τοῦ· ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον
αὐτοῦ· ἀδικήσει δὲ τοῦτο εἰς δόξαν οὐδὲν τὸν
υἱὸν, τὸ περικεῖσθαι φημὶ τοῦ γηπόνου τὸ πρόσ-
ωπον· εὑρίσκεται γὰρ καὶ αὐτὸς ὁ παλὴρ τοῦτο
λαβὼν, μῶμον οὐδένα ταύτης ἕνεκα τῆς αἰτίας
ὑπομείνας πώποτε· ἔφη γὰρ ὁ υἱὸς τοῖς ἁγίοις
ἀποστόλοις· ἐγώ εἰμι ἡ ἄμπελος· ὑμεῖς τὰ κλή-
ματα· ὁ παλήρ μου, ὁ γεωργός ἐστι· πρὸς ἕκα-

XIII. στα γὰρ τῶν προκειμένων θεωρημάτων ἔσθ' ὅτε, καὶ ἡ τοῦ λόγου γίνεται διεκβολή· ὅτι δὲ ἔμελλε τὴν ἐκβολὴν ὑπομένειν ὁ Ἰσραὴλ διὰ πολλὴν ἀκαρπίαν, ὑπεσήμαινέ πως καὶ ὁ μακάριος Βαπτιστὴς, λέγων· ἤδη δὲ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται, καὶ τὰ ἑξῆς· ἔοικε τοίνυν συκῇ παραβάλλειν τὴν τῶν ἰουδαίων συναγωγὴν· ὡς καὶ ἑτέροις αὐτὴν παραβάλλει φυτοῖς τὸ γράμμα τὸ ἱερὸν· ἀμπέλῳ φημὶ καὶ ἐλαίᾳ καὶ δρυμοῖς· καὶ γοῦν ὁ προφήτης Ἱερεμίας ποτὲ δὲ πάλιν πρὸς αὐτὴν· ἐλαίαν ὡραίαν, εὔσκιον τῷ εἴδει, ἐκάλεσε κύριος τὸ ὄνομά σου· εἰς καιρὸν περιτομῆς αὐτῆς· ἀνήφθη πῦρ ἐπ' αὐτὴν· μεγάλη ἡ θλῖψις ἐπ' αὐτὴν, ἠχρειώθησαν οἱ κλάδοι αὐτῆς· ἕτερος δὲ τῶν προφητῶν, Λιβάνῳ τῷ ὄρει παρεικάζων αὐτὴν, οὕτω φησὶ· διάνοιξον ὁ Λίβανος τὰς θύρας σου, καὶ καταφαγέτω πῦρ τὰς κέδρους σου· δεδαπάνηται γὰρ ὡς ὑπὸ πυρὸς, ὁ ἐν τοῖς Ἱεροσολύμοις δρυμὸς, τοὐτέστιν ὁ ἐν αὐτῇ δῆμος· οὐκοῦν εἰς εἰκόνα δέχεται τῆς Ἰουδαίων συναγωγῆς, ὡς ἔφην, ἤγουν τῶν ἐξ Ἰσραὴλ, τὴν ἐν τῇ παραβολῇ λεγομένην συκῆν· ἦλθε δέ φησι ζητῶν καρπὸν, καὶ οὐχ' εὗρε· τοῦτο τρίτον ἦλθε· τὸ πρῶτον, διὰ Μωϋσέως καὶ Ἀαρὼν· δεύτερον, καθ' ὃν ἦν Ἰησοῦς ὁ τοῦ Ναυῆ, καὶ μετ' αὐτὸν οἱ κριταὶ· τρίτον δὲ μετὰ τούτους, καθ' ὃν γεγόνασιν οἱ

μακάριοι προφῆται μέχρις Ἰωάννου τοῦ βαπτι- XIII.
στοῦ· ἐν τούτοις γέγονε τοῖς καιροῖς ἄκαρπος
ὁ Ἰσραὴλ· ὅσον γὰρ ἦκεν εἰς τὸ ἀγαθὸν θέλη-
μα τοῦ θεοῦ καὶ πατρὸς, δῆλον δὲ ὅτι καὶ τοῦ
υἱοῦ, ἀπαράδεκτος ἦν ὡς ἐν σκιαῖς καὶ τύποις
λατρεία, ἄκαρπος παντελῶς τό γε ἦκον εἰς πνευ-
ματικὴν εὐοσμίαν· γέγονεν οὖν καὶ ἀπόβλητος·
καὶ τοῦτο διδάξει λέγων αὐτὸς ὁ σωτὴρ πρὸς
τὸν ἐν τοῖς οὐρανοῖς πατέρα καὶ θεόν· θυσίαν
καὶ προσφορὰν οὐκ ἠθέλησας, ὁλοκαυτώματα
καὶ περὶ ἁμαρτίας, οὐκ εὐδόκησας· καὶ διὰ Ἡ-
σαΐου· τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν
ὑμῶν; πατεῖν τὴν αὐλήν μου οὐ προσθήσεσθε,
ἐὰν φέρητε σεμίδαλιν, μάταιον θυμίαμα βδέ-
λυγμά μοί ἐστιν· ὃ δὴ μισεῖ καὶ βδελύσσεται
θεὸς, πῶς ἂν νοηθείη καρπὸς εἶναι ψυχῆς νοη-
τὸς καὶ πνευματικὸς καὶ εὐπαράδεκτος αὐτῷ;

Ἦν δὲ ἐν τῇ συναγωγῇ γυνὴ ὀκτωκαίδεκα v. 117
ἔτη ἐξ ἀσθενείας συγκύπτουσα· ὀνίνησιν οὐ με- p. 190. a.
τρίως τοὺς εὖ φρονοῦντας, καὶ τοῦτο· δεῖ γὰρ
ἡμᾶς πανταχόθεν τὸ χρήσιμον ἐρανίζεσθαι· ἔξε-
στι δὴ οὖν ἐντεῦθεν ἰδεῖν, ὅτι δέχεται πολλά-
κις τὴν κατά τινων ἐξουσίαν ὁ σατανᾶς, πλημμε-
λούντων δηλονότι, καὶ τῶν εἰς εὐσέβειαν σπου-
δασμάτων ἀνθῃρημένων τὸ ῥᾴθυμον· οὓς δ' ἂν
λάβοι, τοιούτους ἐνίησιν ἀῤῥωστήμασιν ἔσθ' ὅτε
σωματικοῖς, κολαστὴς ὑπάρχων καὶ ἀπηνὴς· δί-

XIII. δωσι δὲ χώραν αὐτῷ πρὸς τοῦτο οἰκονομικώτατα λίαν ὁ παντεπόπτης θεὸς· ἵνα τῷ τῆς δυσπράγιας βάρει κατηχθισμένοι, μεταφοιτᾷν ἔλοιντο πρὸς τὰ βελτίω· καὶ γοῦν ὁ σοφώτατος Παῦλος, ἐν Κορίνθῳ τινὰ διαβεβλημένον ἐπὶ πορνείᾳ, παραδέδωκε τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ· οὐκοῦν ἡ συγκεκύφυῖα γυνὴ τοῦτο λέγεται παθεῖν ἐξ ἀγριότητος διαβολικῆς· ἤτοι, καθάπερ ἔφην, παρεωραμένη παρὰ θεοῦ δι' οἰκεῖα πλαίσματα, ἢ γοῦν τῷ καθόλου λόγῳ καὶ γενικῷ· παραίτιος γὰρ τοῖς ἀνθρωπίνοις σώμασι τοῦ νοσεῖν ὁ ἀλιτήριος γέγονε σατανᾶς· ὅτι καὶ δι' αὐτοῦ τὴν παράβασιν τὴν ἐν Ἀδὰμ ἠρτύθαι φαμὲν, δι' ἧς εἰς ἀσθένειαν καὶ φθορὰν, τὰ τῶν ἀνθρώπων κατεκομίσθη σώματα· πλὴν ὄντων τῶν ἀνθρώπων ἐν τούτοις, οὐ παρεῖδεν ἡμᾶς ἀγαθὸς ὢν φύσει θεὸς, μακρᾷ δὲ καὶ ἀφύκτῳ κεκολασμένους νόσῳ τοὺς κάμνοντας, καὶ ἀπήλλαττε τῶν δεσμῶν, λυτικὴν τῶν ἀνθρωπίνων παθῶν ἀποφαίνων εὖ μάλα τὴν ἐν τῷδε τῷ κόσμῳ παρουσίαν τὲ καὶ ἀνάδειξιν αὐτοῦ· ἀφίκετο γὰρ ἐμορφώσων τὰ καθ' ἡμᾶς πρὸς τὸ ἐν ἀρχαῖς· ὁ γὰρ θεὸς θάνατον οὐκ ἐποίησε, κατὰ τὸ γεγραμμένον· οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων· ἔκτισε γὰρ εἰς τὸ εἶναι τὰ πάντα· καὶ σωτήριοι αἱ γενέσεις τοῦ κόσμου· καὶ οὐκ ἔστιν ἐν αὐτοῖς φάρ-

μακον ὀλέθρου· φθόνῳ δὲ διαβόλου, θάνατος XIII.
εἰσῆλθεν εἰς τὸν κόσμον.

Ἕως ἀνατροπῆ θανάτου, καὶ φθορᾶς, καὶ v. 14. p. 190. b.
φθόνου τοῦ καθ' ἡμῶν γεγονότος παρὰ τοῦ πονηροῦ καὶ ἀρχεκάκου δράκοντος, ἡ τοῦ λόγου γέγονε σάρκωσις, ἤγουν ἐνανθρώπησις· καὶ τοῦτο σαφῶς ἡμῖν, δι' αὐτῶν ἐκφαίνεται τῶν πραγμάτων· ἠλευθέρου τοίνυν τὴν Ἀβραὰμ θυγατέρα, τῆς οὕτω μακρᾶς ἀῤῥωστίας, ἐπιφωνῶν τε καὶ λέγων· γύναι, ἀπολέλυσαι τῆς ἀσθενείας σου· θεοπρεπεστάτη λίαν ἡ φωνὴ, ἐξουσίας γέμουσα τῆς ἀνωτάτω· νεύματι γὰρ βασιλικῷ τὴν νόσον ἐλαύνει· προσεπιτίθησι δὲ καὶ χεῖρας αὐτῇ· καὶ ἀνωρθώθη φησὶ παραχρῆμα· ἔξεστι δὴ οὖν κἀντεῦθεν ἰδεῖν, ὅτι τὴν τοῦ θεοῦ δύναμίν τε καὶ ἐνέργειαν ἡ ἁγία περιφόρηκε σὰρξ· ἰδία γὰρ ἦν αὐτοῦ, καὶ οὐχ' ἑτέρου τινὸς παρ' αὐτὸν ὄντος υἱοῦ καταμόνας καὶ ἰδικῶς, κατά γε τὸ τισὶν ἀνοσιώτατα δοκοῦν.

Καί τοι πῶς οὐκ ἔδει μᾶλλον θαυμάσαι Χριστὸν ἀπολύσαντα τῶν δεσμῶν τὴν Ἀβραὰμ θυγατέρα; εἶδες αὐτὴν παραδόξως τοῦ πάθους ἀπηλλαγμένην· οὐκ εἶδες εὐχόμενον τὸν ἰατρὸν, οὐχ' ὡς αἴτημα παρ' ἑτέρου λαβόντα τῆς καμνούσης τὴν ἴασιν, ἀλλ' ἐξουσίας ἔργον ἀποτελέσαντα· ἀρχισυνάγωγος ὢν, τὰ Μωϋσέως οἶσθά που γράμματα· εἶδες αὐτὸν εὐχόμενον πλει-

XIII. σταχοῦ, καὶ ἐξ ἰδίας δυνάμεως οὐδὲν ἐνεργέσαντα παντελῶς· καὶ γοῦν λεπρωθείσης τῆς Μαριὰμ διὰ τὸ εἰπεῖν τί μόνον κατ' αὐτοῦ ἐν καταγνώσεως μέρει, καὶ τοῦτο ἀληθὲς· γυναῖκα γάρ, φησιν, αἰθιόπισσαν ἔλαβεν ἑαυτῷ· οὐ γέγονε κρεῖττων τοῦ κακοῦ, προσέπιπτε δὲ μᾶλλον τῷ θεῷ λέγων· ὁ θεὸς, δέομαί σου ἴασαι αὐτήν· καὶ ὅμως οὐδὲ ἱκετεύοντος συνεχωρήθη αὐτῇ τῆς ἁμαρτίας τὸ ἐπιτίμιον· καὶ ἕκαστος δὲ τῶν ἁγίων προφητῶν, εἴ που τί καὶ ἐνήργηκεν ὅλως, ἐν δυνάμει θεοῦ τοῦτο ποιήσας ὁρᾶται· ἐνταῦθα δέ μοι βλέπε τὸν τῶν ὅλων σωτῆρα Χριστὸν· εὐχὴν ἀνατείνεται, ἀλλὰ τῇ ἑαυτοῦ δυνάμει ἀνατεθεικότα τοῦ πράγματος τὴν κατόρθωσιν, φωνῇ θεραπεύοντα, καὶ χειρὸς ἁφῇ· κύριος γὰρ ὢν καὶ θεὸς, ἰσοδυναμοῦσαν ἑαυτῷ πρός γε τὸ δύνασθαι φημὶ νοσημάτων ἐλευθεροῦν, τὴν ἰδίαν ἀπέφηνε σάρκα· ἔδει δὲ οὖν ἐντεῦθεν συνεῖναι λοιπὸν τοῦ κατ' αὐτὸν μυστηρίου τὴν δύναμιν· οὐκοῦν εἴπέρ τις ἦν ἀγχίνους ὁ ἀρχισυνάγωγος, ἐνενόησεν ἂν τίς τε καὶ ὅσος ἐστὶν ὁ σωτὴρ, ἐκ τῆς οὕτω παραδόξου θεοσημείας, καὶ μὴ ταυτὰ λέγειν τοῖς ὄχλοις, μὴ δὲ τοῖς θεραπευομένοις ἐγκαλεῖν τοῦ νόμου τὴν λύσιν, τῆς κατὰ τὸ σάββατον ἀργίας τὴν παράδοσιν· ἐργάσασθαι γὰρ ὅλως ἐστὶ τὸ θεραπεύεσθαι· ἀδικεῖται δὲ νόμος, θεοῦ κατοικτείροντος,

καὶ ἐν ἡμέρᾳ σαββάτου; τίνι προσέταχεν ἀρ- XIII.
γεῖν ἐν σαββάτῳ; ἑαυτῷ μᾶλλον, ἢ σοὶ; εἰ μὲν
οὖν ἑαυτῷ, μὴ διοικείτω τὰ καθ' ἡμᾶς ἐν σαβ-
βάτῳ· ἀργείτω καὶ ὁ τοῦ ἡλίου δρόμος, μὴ πι-
στέτωσαν ὑετοὶ, στήτωσαν αἱ τῶν ὑδάτων πη-
γαὶ, καὶ ποταμῶν ἀεννάων φοραὶ, καὶ ἀνέμων
χρεῖαι· εἰ δέ σοι προστέταχεν ἀργεῖν, μὴ ἐγ-
κάλει θεῷ, τὸ καὶ ἐν σαββάτῳ διδόναί τισι μεῖ'
ἐξουσίας τὸν ἔλεον· διὰ τί δὲ ὅλως καὶ ἀργεῖν
ἐκέλευσεν ἐν σαββάτῳ; ἵνα, φησὶ, ἀναπαύσηται
ὁ παῖς σου, καὶ ὁ βοῦς σου, καὶ τὸ ὑποζύγιόν
σου, καὶ πᾶν κτῆνος σου· ὅταν οὖν ἀναπαύσῃ
τινὰς, νοσημάτων αὐτοὺς ἀνιεὶς, εἶτα τοῦτο κω-
λύῃς αὐτὸς, ἔλυσας ἐναργῶς τὸν ἐπὶ τῷ σαβ-
βάτῳ νόμον, οὐκ ἐῶν ἀναπαύεσθαι τοὺς ἐν ἀλ-
γήμασιν ὄντας καὶ νόσοις, οὓς ἔδησεν ὁ σατανᾶς.

Ἀλλ' ὁ τῆς ἀχαρίστου συναγωγῆς ἀρχισυν- p. 191. b.
άγωγος, ἐπειδὴ εἶδε τὴν τὰ μέλη δεδεμένην γυν-
αῖκα, καὶ ὀρθοποδεῖν μὴ δυναμένην, ἀλλ' εἰς
γῆν καὶ ἐπὶ γαστέρα συννεύουσαν, ὑπὸ Χριστοῦ
ἠλεημένην, καὶ ἀφῇ μόνῃ τέλεον ἀνορθωθεῖσαν,
καὶ τὴν τοῖς ἀνθρώποις οἰκείαν πορείαν ἐν ὀρ-
θίῳ τῷ σχήματι ὁδεύουσαν, καὶ ὑπὲρ τούτου
τὸν θεὸν μεγαλύνουσαν, ἄχθεται τῇ ταύτης λύ-
σει, καὶ ἐπὶ τῇ δόξῃ τοῦ κυρίου πυρπολούμε-
νος, δεσμεῖται τῷ φθόνῳ· καὶ ἐπηρεάζει τῷ θαύ-
ματι, καὶ τὸν κύριον ἀφεὶς τὸν ἐλέγξοντα τὴν

XIII. τούτου ὑποκρισιν, τοῖς ὄχλοις ἐπιτιμᾷ· ὥστε δόξαι ὅτι διὰ τὸ σάββατον ἀγανακτεῖ· ἵνα πείσῃ τοὺς ἐν ταῖς ἄλλαις ἡμέραις διεσκορπισμένους, καὶ ταῖς ἐργασίαις σχολάζοντας, μὴ δὲ ἐν σαββάτῳ θεατὰς εἶναι καὶ θαυμαστὰς τῶν τοῦ κυρίου τερατουργημάτων, μή ποτε καὶ πιστεύσωσιν· ἀλλ' εἰπὲ ἡμῖν, ὦ βασκανίας ἀνδράποδον, ὁποῖον ἔργον ὁ νόμος ἐκώλυσεν, ὁ εἰπών σοι, ἀπὸ παντὸς ἔργου χειροκμήτου, ἀποστήσῃ τῇ ἡμέρᾳ τοῦ σαββάτου; ἆρα τὸ διὰ στόματος καὶ διὰ λόγου; παῦσαι γοῦν ἐσθίων, καὶ πίνων, καὶ ὁμιλῶν, καὶ ψάλλων ἐν σαββάτῳ· καὶ εἰ μὴ ταῦτα πράττεις, μὴ δὲ τὸν νόμον ἀναγινώσκεις, ἵνα τί σοι καὶ τὸ σάββατον; ἀλλὰ τὸ διὰ χειρῶν· καὶ ποῖον διὰ χειρῶν ἔργον, τὸ φωνῇ γυναῖκα ἀνορθῶσαι; εἰ δ' ὅτι ἔργῳ ἡ γυνὴ τεθεράπευται τοῦτο ἐργασίαν καλεῖς, ἔργον ἐργάζῃ καὶ σὺ τὴν θεραπείαν μεμφόμενος· ἀλλ' εἶπε, φησὶ, ἀπολέλυσαι τῆς ἀσθενείας, καὶ ἀπολέλυται· τί δὲ; οὐ καὶ σὺ λύεις τὴν ζώνην ἐν σαββάτῳ; οὐ τῶν ποδῶν ἐκλύεις τὸ ὑπόδημα; οὐ τὴν στρωμνὴν στρωννύεις; οὐ τὴν χεῖρα ἀποσμήχεις ῥυπῶσαν ἐν ἐδέσμασι; πῶς οὖν ἐφ' ἑνὶ μόνῳ λόγῳ τῷ ἀπολέλυσαι ἀγανακτεῖς; ὁποῖον δὲ καὶ ἔργον ἡ γυνὴ μετὰ τὸν λόγον εἰργάσατο; ἆρά γε χαλκευτικῆς, ἢ τεκτονικῆς, ἢ οἰκοδομικῆς ἐφήψατο; ἆρα ἐν αὐτῇ τῇ ἡμέρᾳ ὑφαν-

τικῆς ἢ ἱσ[τ]ουργικῆς ἔρ[γ]ον με[τ]εχειρίσατο; ἀλλ' ἀνωρθώθη, φησὶ· ἔργον γὰρ ὅλως ἐστὶ τὸ θεραπεύεσθαι· ἀλλὰ γ[ὰ]ρ οὐ διὰ τὸ σάββατον ἀληθῶς ἀ[γ]αναχτεῖς, ἀλλὰ τὸν Χριστὸν βλέπων τιμώμενον καὶ ὡς θεὸν προσκυνούμενον, μαίνῃ καὶ ἀποπνίγῃ, καὶ τῇ βασκανίᾳ κατατήκῃ· καὶ ἕτερα μὲν ἐν τῇ καρδίᾳ ἐνδομυχᾷς, ἄλλον δὲ σκήπτῃ καὶ προφασίζῃ· ὅθεν καὶ χαριέστατα ὑπὸ τοῦ κυρίου τοῦ εἰδότος τοὺς μ[α]ταίους σου διαλογισμοὺς ἐλέ[γ]χῃ· καὶ τὴν ἁρμόζουσάν σοι δέχῃ προσηγορίαν, ὑποκριτὴς ἀκούσας καὶ εἴρων καὶ ὕπουλος. XIII.

Οὐ θαυμάζεις γάρ φησι τὸν λύσαντα τὴν τοῦ Ἀβραὰμ θυγατέρα, ἀλλὰ βοῦν μὲν καὶ ὄνον ἀναπαύεις, καμάτων αὐτοὺς ἀνιεὶς καὶ ἀποφέρων ἐφ' ὕδωρ· σωζομένου δὲ παραδόξως ἀνθρώπου νενοσηκότος, καὶ θεοῦ κατοικ[τ]είραντος, ἀμφοτέροις ἐπιτιμᾷς ὡς παρανομήσασι, τῷ μὲν ὅτι τεθεράπευκε, τῷ δὲ ὅτι τοῦ νοσεῖν ἀπηλλάττετο. v. 16. p. 192. a.

Θέα μοι τὸν ἀρχισυνάγωγον· ὅπως ἀτιμότερος αὐτῷ τοῦ κτήνους ἐσ[τ]ὶν ὁ ἄνθρωπος, εἴ γε βοῦν καὶ ὄνον ἐν σαββάτῳ προνοίας ἀξιοῖ· τὴν δὲ συγκεκυφυῖαν γυναῖκα οὐ βούλε[τ]αι βασκαίνων Χριστῷ ἀπαλλαγῆναι τῆς ἀσθενείας, οὐδὲ τὸ κατάλληλον ἀπολαβεῖν σχῆμα.

Ἀλλ' ὁ τῆς συναγωγῆς ἄρχων ὁ βάσκανος p. 192. b.

XIII. ἐβούλετο τὴν ἀνορθωθεῖσαν γυναῖκα, κατὰ τὰ τετράποδα μᾶλλον κάτω κεκυφέναι, ἢ τὸ οἰκεῖον ἀνθρώποις ἀπολαβεῖν σχῆμα· μόνον ἵνα μὴ Χριστὸς μεγαλύνηται, μὴ δὲ θεὸς εἶναι ὑπὸ τῶν πραγμάτων κηρύττηται· ἐλέγχεται μέν τοι ὁ ἀρχισυνάγωγος ὑποκριτὴς ὤν· εἴ γε τὰ μὲν ἄλογα ζῶα ἐν σαββάτῳ ἐπὶ τὸ ὕδωρ ἀπάγοι, τὴν δὲ γυναῖκα, τὴν οὐ μᾶλλον διὰ τὸ γένος ὅσον διὰ τὴν πίστιν Ἀβραὰμ οὖσαν θυγατέρα, οὐκ ἀξιοῖ λυθῆναι τοῦ δεσμοῦ τῆς ἀσθενείας· ἀλλὰ τὴν ἐλευθερίαν τῆς νόσου, παράβασιν κρίνει τοῦ σαββάτου.

v. 17. Κατῃσχύνοντο μὲν οἱ διεφθαρμένας τὰς κρίσεις ἐκφέροτες· οἱ τῷ ἀκρογωνιαίῳ προσκόπτοντες, καὶ διὰ τοῦτο συνθλώμενοι· οἱ τῷ ἰατρῷ ἀνθεστηκότες· οἱ τῷ σοφῷ κεραμεῖ τὴν τῶν διαστραφέντων σκευῶν ἐπανόρθωσιν ποιουμένῳ ἀντιπίπτοντες· καὶ οὐδὲ μία αὐτοῖς ἀπόκρισις ὑπελείπετο· ἀλλ' ἦσαν αὐτοὶ ἑαυτοῖς ἔλεγχος ἀναντίῤῥητος, ἐπιστομιζόμενοι καὶ ἀπορούντες ὅ τι ἄρα καὶ φθέγξονται· οὕτως αὐτῶν ἀπέῤῥαψε τὸ θρασὺ στόμα ὁ κύριος· οἱ δὲ ὄχλοι, οἷα ὠφελούμενοι ἐκ τῶν σημείων, ἔχαιρον· τὸ γὰρ ἔνδοξον τῶν ἔργων καὶ περιφανὲς ἔλυε πᾶσαν ζήτησιν καὶ ἀμφιβολίαν τοῖς μὴ κακοήθως ζητοῦσιν.

v. 19. p. 193. a. Εὐφυὲς τὸ παράδειγμα, καὶ οὐκ ἀνικάνως

ἔχον εἰς παράστασιν τῶν συμβεβηκότων, ἢ γοῦν γενομένων ἐπὶ τῷ θείῳ τε καὶ ἱερῷ κηρύγματι, φημὶ δὴ τῷ εὐαγγελικῷ, ὃ δὴ καὶ βασιλείαν ὀνομάζει τοῦ θεοῦ· δι' αὐτοῦ γὰρ κερδαίνομεν τὸ συμβασιλεῦσαι Χριστῷ· καὶ ἦν μὲν ἐν ἀρχαῖς παρ' ὀλίγοις καὶ συνεσταλμένον, ἐπλατύνθη δὲ καὶ διέδραμε μετὰ ταῦτα εἰς πάντα τὰ ἔθνη· ἐλαλήθη μὲν γὰρ κατὰ μόνην τὴν Ἰουδαίαν, ἐν ᾗ καὶ εὐαρίθμητοι πάντελῶς γεγόνασιν οἱ μακάριοι μαθηταὶ· ἀπειθήσαντος δὲ τοῦ Ἰσραὴλ, τοῖς ἁγίοις ἀποστόλοις ἐνετέλλετο λέγων· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, καὶ τὰ ἑξῆς· ὥσπερ οὖν τὸ σπέρμα τοῦ σινάπεως, τῶν μὲν ἑτέρων λαχανικῶν σπερμάτων, ἥττᾶται λίαν εἰς τὸ ἐν μεγέθει ποσὸν, ἀνίσχει γε μὴν εἰς ὕψος, λαχανοπρεποῦς ἐκείνα μέτρου, ὥστε καὶ στρουθίων ἐναύλισμα γενέσθαι πολλῶν, οὕτω καὶ ἡ βασιλεία τῶν οὐρανῶν, τουτέστι τὸ νέον τε καὶ ἱερὸν καὶ σωτήριον κήρυγμα, δι' οὗ πρὸς πᾶν ὁτιοῦν τῶν ἀρίστων ἀνδραγαθημάτων πεποδηγήμεθα, καὶ τὸν φύσει τε καὶ ἀληθῶς ὄντα ἐγνώκαμεν, ὡς παρ' ὀλίγοις μὲν ἦν ἐν ἀρχαῖς, καὶ οἷον βραχὺ καὶ συνεσταλμένον· προβέβηκε δὲ μετὰ τοῦτο πρὸς αὔξησιν· ὥστε καὶ εἰς σκέπην γενέσθαι τοῖς προσιοῦσιν αὐτῷ· οὓς δὴ καὶ στρουθίοις παρεικαστέον· θεῷ γὰρ τὰ καθ' ἡμᾶς ἐν ὀλίγοις κο- XIII.

XIII. μιδῆ μέτροις εἰσὶν· ἐδόθη μὲν γὰρ τοῖς ἐξ Ἰσραὴλ ὁ διὰ Μωϋσέως νόμος· ἐπειδὴ δὲ ἦν ἀνέφικτον διὰ τῆς ἐν αὐτῷ σκιᾶς, καὶ σωματικῆς λατρείας διασωθῆναι δύνασθαι τοὺς ἐπὶ τῆς γῆς, λοιπὸν ἀναγκαίως τὸ εὐαγγελικὸν καὶ σωτήριον ἀνέφυ κήρυγμα, καὶ εἰς ὅλην ἐκτέταται τὴν ὑπουρανόν· τοῦτο ἡμῖν αἰνιγματωδῶς τὸ μωσαϊκὸν ἐσήμαινε γράμμα· ἔχει δὲ οὕτως· καὶ ἐλάλησε κύριος πρὸς Μωϋσῆν λέγων· ποίησον σεαυτῷ δύο σάλπιγγας ἐλατὰς, ἀργυρᾶς ποιήσαις αὐτὰς, καὶ ἔσονται σοι ἀνακαλεῖν τὴν συναγωγὴν, καὶ ἐξαίρειν τὰς παρεμβολὰς· καὶ μεθ' ἕτερα· καὶ οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς σαλπιοῦσι ταῖς σάλπιγξι· καὶ ἔσται ὑμῖν νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν· ἵν' ἐντεῦθεν ἐννοῆς καὶ τὴν τοῦ νόμου παιδαγωγίαν, καὶ τελείωσιν τὴν διὰ Χριστοῦ, διὰ πολιτείας εὐαγγελικῆς καὶ μυσταγωγίας τῆς ὑπὲρ σκιὰν καὶ τύπους· σάλπιγξ δὲ οὖν ὁ νόμος· ὁμοίως δὲ καὶ τὸ εὐαγγελικὸν καὶ σωτήριον κήρυγμα· οὕτω γὰρ αὐτοῦ διαμνημονεύει καὶ ὁ προφήτης Ἡσαΐας λέγων· καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, σαλπιοῦσι τῇ σάλπιγγι τῇ μεγάλῃ· μεγάλη γὰρ ὄντως ἀνεφώνησε σάλπιγξ, ἡ διά γε τῶν ἁγίων ἀποστόλων· οὐκ ἀθετοῦσα τὴν πρώτην, συνεισδεχομένη δὲ καὶ αὐτὴν· διὰ γὰρ νόμου καὶ προφητῶν, ἐμπεδοῦσιν ἀεὶ τὸν ἐπὶ Χριστῷ λόγον, μαρτυρίαις χρώμε-

νοι ταῖς ἀρχαιοπρέπαις· οὐκοῦν δύο μὲν αἱ σάλ- XIII.
πιγγες, ἀργυραῖ δὲ, καὶ ἐλαταὶ· τοῦ μὲν ἀρ-
γύρου κατασημαίνοντος τὴν φαιδρότητα· λαμ-
πρὸς γάρ ἐστιν ὁ παρὰ θεοῦ λόγος· τοῦ γε μὴν
ἐλάσματος ὑποφαίνοντος, ὅτι προβήσονται καὶ
προκόψουσιν αἱ ἱεραί τε καὶ θεῖαι σάλπιγγες,
ἤγουν τὸ νέον τὲ καὶ ἀρχαῖον κήρυγμα· προκό-
πτει γὰρ ἀεί πως τὸ ἐλαυνόμενον, καὶ εἰς εὖρος
τὲ καὶ μῆκος ἐκτείνεται· ἔμελλον δὲ προκόπτειν,
ἐπιλάμψαντος τοῦ Χριστοῦ· ὁ μὲν παλαιὸς νό-
μος, εἰς θεωρίαν πνευματικὴν· τὸ δὲ κήρυγμα
τὸ εὐαγγελικὸν, εἰς τὸ πᾶσης καταευρυνθήσεσθαι
τῆς ὑπ' οὐρανὸν· πλὴν τοῖς ἱερεῦσιν ὁ νόμος ἐδί-
δου τὸ χρῆναι ταῖς σάλπιγξι διατάττειν τοὺς
λαούς· δέδοται γὰρ παρὰ Χριστοῦ τὸ διακηρύτ-
τειν αὐτὸν καὶ τὰ αὐτοῦ θεσπίσματα, τοῖς τῶν
νέων κηρυγμάτων ἱερουργοῖς, δῆλον δὲ ὅτι τοῖς
ἁγίοις ἀποστόλοις· ὡς δὲ ἔμελλεν εἰς αὔξησιν
ὥσπερ ἀναπηδᾶν, βραχὺς ὢν ἐν ἀρχαῖς τῶν
εὐαγγελικῶν κηρυγμάτων ὁ λόγος, ἀταλαίπω-
ρον ἰδεῖν, προηγορευκότος θεοῦ διὰ φωνῆς Ἡ-
σαΐου περὶ αὐτοῦ· ὅτι ἐνεπλήσθη ἡ σύμπασα,
τοῦ γνῶναι τὸν κύριον· ὡς ὕδωρ πολὺ κατακα-
λύψαι θαλάσσης· θαλάσσης γὰρ δίκην ἐκκέχυ-
ται πανταχοῦ τὸ σωτήριον κήρυγμα, καὶ πα-
σθενεστάτην ἔχει τὴν ἐμβολήν· καὶ τοῦτο πάλιν
ἡμῖν διασαφεῖ λέγων ὁ τῶν ὅλων θεὸς, διὰ προ-

XIII. φήτου φωνῆς· καὶ κυλισθήσεται ὡς ὕδωρ, κρῖμα· καὶ δικαιοσύνη ὡς χειμάῤῥους ἄβατος· κρῖμα μὲν γὰρ καὶ δικαιοσύνην, τὸ εὐαγγελικὸν ὀνομάζει κήρυγμα· οὕτω γε μὴν αὐτὸ κατακυλισθήσεσθαι διεβεβαιοῦτο τῆς ὑπ' οὐρανὸν, ὡς ὕδωρ καὶ χειμάῤῥουν, οὗ δὲ τὰς ὁρμὰς ἐγκόψειεν ἂν οὐδεὶς καταχεομένου λαύρως.

v. 21. p. 194. b. Ὁ αὐτὸς δ' ἂν γένοιτο λόγος, καὶ περὶ τοῦ ζύμῃ παραβεβλῆσθαι τὴν βασιλείαν τοῦ θεοῦ· μικρὰ μὲν γὰρ ἡ ζύμη, πλὴν τοῦ παντὸς φυράματος ἀμελητὶ καταδράττεται· καὶ τὴν ἰδίαν αὐτῷ ποιότητα καταμίσγει γοργῶς· τοιοῦτόν τι καὶ ἐν ἡμῖν ὁ θεῖος ἐργάζεται λόγος· γεγονὼς γὰρ ἐν ἡμῖν, ἁγίους καὶ ἀμώμους ἀποτελεῖ· καὶ εἰς νοῦν καὶ καρδίαν εἰσδεδυκὼς, πνευματικοὺς ἀποφαίνει· ἵν' ὡς ὁ Παῦλος φησὶ, ὁλόκληρον ἡμῶν τὸ πνεῦμα καὶ τὸ σῶμα καὶ ψυχὴ ἀμέμπτως τηρηθείη ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ· ὅτι γὰρ ἐν τῷ βάθει τῆς διανοίας ἡμῶν ὁ θεῖος εἰσχεῖται λόγος, σαφηνιεῖ λέγων ὁ τῶν ὅλων θεὸς δι' ἑνὸς τῶν προφητῶν· ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ, καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινὴν· διδοὺς νόμους μου εἰς τὰς διανοίας αὐτῶν, καὶ ἐπὶ τὰς καρδίας αὐτῶν ἐπιγράψω αὐτούς· οὐκοῦν εἰς νοῦν καὶ καρδίαν, τὴν νοητὴν καὶ θείαν δεχόμεθα ζύμην·

ἵνα διὰ τῆς οὕτω σεπτῆς καὶ ἁγίας ζύμης ἄζυ- XIII.
μοι. νοητῶς εὑρισκώμεθα· εἰσδύνουσα γὰρ εἰς
νοῦν τῆς εὐαγγελικῆς παιδεύσεως ἡ ζωοποιὸς
ἐνέργεια, ψυχήν τε καὶ σῶμα καὶ πνεῦμα, πρὸς
τὴν ἰδίαν ὥσπερ ποιότητα, μεταστοιχειοῖ.

Δοκεῖ πως ἡ ἀπόκρισις, ἔξω φέρεσθαι σκο- v. 23. p. 195. b.
ποῦ τοῦ ἐρωτήσαντος· ὁ μὲν γὰρ ἠξίου μα-
θεῖν, εἰ ὀλίγοι οἱ σωζόμενοι· ὁ δὲ τὴν τοῦ δύν-
ασθαι δικαιωθῆναι τρίβον ἐξηγεῖτο, λέγων·
ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης· τί
οὖν ἄρα πρὸς τοῦτο φαμὲν; ἔθος ἦν τῷ πάντων
σωτῆρι Χριστῷ, τοῖς ἐρωτῶσιν αὐτὸν ὑπαντᾶν,
οὐχὶ πάντως κατὰ τὸ αὐτοῖς δοκοῦν, ἀλλ' εἰς
τὸ χρήσιμόν τε καὶ ἀναγκαῖον τοῖς ἀκροωμένοις
ὁρᾶν· ἔδρα δὲ τοῦτο μάλιστα, ὅτέ τις ἠξίου
μαθεῖν τι, τῶν ὅσα περιττὰ ἐστὶ καὶ ἀνόνητα·
τί γὰρ ἔδει φιλοπευστεῖν, πότερόν ποτε πολ-
λοί τινες εἶεν ἢ ὀλίγοι οἱ σωζόμενοι; τί τὸ ἐν-
τεῦθεν ὄφελος ἐκβέβηκεν ἂν τοῖς ἀκροωμένοις;
ἦν δὲ ἀναγκαῖον καὶ λυσιτελὲς τὸ εἰδέναι μᾶλ-
λον τὸν τρόπον δι' οὗπερ ἄν τις ἴοι πρὸς σω-
τηρίαν· οὐκοῦν οἰκονομικῶς πρὸς μὲν τὸ τῆς ἐρω-
τήσεως εἰκαῖον, ἀποσιγᾷ· μεθίστησι δὲ τοὺς λό-
γους ἐφ' ὅπερ ἦν ἀναγκαῖον· τοῦτο δὲ ἦν τὸ
εἰδέναι δρᾶν ἐκεῖνα δι' ὧν ἦν δύνασθαι τὴν στε-
νὴν καὶ τεθλιμμένην εἰσελάσαι πύλην· τοῦτο
γάρ που καὶ ἑτέρωθι διδάσκων φησὶν, εἰσέλθε-

XIII. τε διὰ τῆς στενῆς πύλης· ὅτι πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς· στενὴ δὲ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν· ὀλίγοι δέ εἰσιν οἱ εὑρίσκοντες αὐτὴν· τοῖς γὰρ ἐθέλουσιν ἐλθεῖν, δεῖ δὴ πάντως πίστεως μὲν, καὶ πρό γε τῶν ἄλλων, ὀρθῆς· εἶτα, βίου ἀληπτου κατά γε τὸ μέτρον τῆς ἀνθρωπίνης δικαιοσύνης· οὕτω γάρ που καὶ ὁ προφήτης Δαβὶδ τὰς πρὸς θεὸν ἱκεσίας ἐποιεῖτο λέγων· κρῖνον με κύριε κατὰ τὴν δικαιοσύνην μου· πλὴν οὐκ ἔνεστι τοῖς ἐθέλουσι βιοῦν ἁγίως, ἀκλητὶ δύνασθαι τοῦτο δρᾷν· ἀεὶ γάρ πως ἐστὶ σκληρὰ καὶ ἀνάντης, καὶ οὐ βάσιμος τοῖς πολλοῖς, ἡ εἰς ἀρετὴν ἀποφέρουσα τρίβος· εἰσελάσει δὲ ῥᾳδίως διὰ τῆς στενῆς πύλης, καὶ δραμεῖται τὴν τεθλιμμένην ὁ ἀγωνιζόμενος καὶ τοὺς τοιούτους πόνους αἱρούμενος· γέγραπται γοῦν ὅτι ἀνὴρ ἐν πόνοις, πονεῖ ἑαυτῷ, καὶ ἐκβιάζεται ἑαυτοῦ τὴν ἀπώλειαν· ὡς γὰρ αὐτὸς πάλιν ἔφη ὁ κύριος, βιαστή ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βιασταὶ ἁρπάζουσιν αὐτὴν· πλατεῖα δὲ ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς, ἡ πολλοὺς εἰς ὄλεθρον καταφέρουσα· καὶ ὁποῖον ἂν νοηθείη τὸ πλάτος αὐτῆς, αἰσχρὰ καὶ φιλήδονος ζωὴ, τρυφαὶ, καὶ κῶμοι, καὶ μέθαι, καὶ πάντα τὰ τῆς κακίας ἐπίηδεύματα,

ἡ φιλαργυρία, καὶ τῶν ϖροσκαίρων δοξαρίων XIII.
φαντασία κενὴ, τὸ ἀμνημονεῖν τῶν θείων ἐνταλμάτων, τὸ μὴ ἔχειν τὸν τοῦ Θεοῦ φόβον ϖρὸ ὀφθαλμῶν· οὐκοῦν τῶν μὲν τοιούτων, ἀϖοφοιτᾷν ἀναγκαῖον τοὺς εἰσβάλλειν ἐθέλοντας διὰ τῆς στενῆς πύλης, συνεῖναι δὲ καὶ συνεορτάζειν Χριστῷ.

Ὅτι γὰρ οἱ μὴ τοιοῦτοι ἀπόβλητοι, δι' ἐναρ- v. 25.
γοῦς ϖαραδείγματος διέδειξεν ὁ σωτὴρ εἰϖὼν· p. 197. a.
ἀφ' οὗ ἂν ἐγερθῇ ὁ οἰκοδεσπότης κ. τ. λ.

Ὡς ἐπί τινος οἰκοδεσπότου ϖολλοὺς τῶν ἐϖιτηδείων συναγηγερκότος εἰς ἑστίαν καὶ τράπεζαν, εἶτα ϖροεισβεβηκότος μεθ' ὧν ἔδει τοῦτο δρᾷν· ἀϖοκλείσαντός τε τὴν θύραν, τοὺς μετὰ τοῦτο κρούοντας ἀκούσεσθαι φησὶν, οὐκ οἶδα ὑμᾶς· γνῶσιν δὲ ἐνταῦθα, οὐχ' ἁϖλῶς τὴν εἴδησιν λέγει, ἀλλὰ τὴν οἰκειότητα τὴν ἐν μεθέξει, τὴν ὡς ἐν χάριτι καὶ τιμῇ· εἴϖερ γὰρ ἡ γνῶσις μόνον ἡμῖν κατασημαίνεται εἴδησιν, ϖῶς ἠγνόησε τῶν ὄντων τινὰς, ὁ ϖάντα ἔχων γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, ὁ καὶ ϖρὶν γενέσεως ϖάντα εἰδὼς; οὐκοῦν οὐ μόνον ἀνόητον ἀλλὰ καὶ δυσσεβὲς, τὸ ἀγνοῆσαι τινὰς ὑϖοτοϖῆσαι τὸν κύριον· οἰησόμεθα δὲ μᾶλλον εἰϖεῖν αὐτὸν, ὡς οὐδαμόθεν τὴν οἰκειότητα τὴν ϖρὸς αὐτὸν καὶ σχέσιν ἐϖάγονται· οὐκ οἶδα γάρ ϕησι γεγονότας ἀρετῆς ἐραστὰς· οὐ τὸν ἐμὸν τι-

XIII. μήσαντας λόγον, ἀλλ' οὐδὲ συναφθέντας ἐμοὶ διὰ πράξεων ἀγαθῶν· ἀκολούθως καὶ πρὸς Μωϋσέα εἴρηται· οἶδα σε παρὰ πάντας, καὶ χάριν εὗρες παρ' ἐμοὶ· ἀντὶ τοῦ ἐν οἰκειότητι τῇ ὑπὲρ πάντας, ἐτέθης παρ' ἐμοὶ, καὶ πολλὴν ἐπορίσω τὴν χάριν· οὐκοῦν καὶ περὶ τῶν οὐδαμόθεν οἰκειωθέντων αὐτῷ, λέγει· οὐκ οἶδα ὑμᾶς· ἀπόστητε ἀπ' ἐμοῦ, ἐργάται τῆς ἀδικίας· οὐδὲ μία γὰρ κοινωνία φωτὶ πρὸς σκότος· τίνες δ' ἂν νοηθεῖεν οἱ λέγοντες τῷ Χριστῷ τὸ ἐφάγομεν καὶ ἐπίομεν ἐνώπιόν σου; ἁρμόσειεν ἂν ὁ τοιόσδε λόγος μάλιστα τοῖς ἐξ Ἰσραὴλ· οἷς δὴ καὶ ἔφη Χριστὸς· ὅτι ὄψεσθε τοὺς περὶ τὸν Ἀβραὰμ καὶ τοὺς προφήτας, ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ, ἑαυτοὺς δὲ ἐκβαλλομένους ἔξω· ὡς οὖν ἥσθιον καὶ ἔπινον ἐνώπιον τοῦ θεοῦ; τὴν νομικὴν τελοῦντες λατρείαν· προσκομίζοντες γὰρ τῷ θεῷ τὰς δι' αἵματος θυσίας, ἥσθιον καὶ ὑφραίνοντο· ἠκροῶντο δὲ καὶ ἐν ταῖς συναγωγαῖς, τῶν Μωϋσέως βιβλίων· οὐ τὰ ἑαυτοῦ γεγραφότος μᾶλλον, ἑρμηνεύοντος δὲ τὰ παρὰ τοῦ θεοῦ· προαντείθει γὰρ ἀεὶ τῶν ἑαυτοῦ φωνῆς, τὸ τάδε λέγει κύριος· ἀλλ' οὐκ ἀρκεῖ πρὸς δικαίωσιν, ἡ δι' αἱμάτων λατρεία· οὐδ' ἂν ἀπονίψαιτό τις μολυσμοὺς, ἀκροατὴς μὲν τῶν θείων γενόμενος νόμων, πεπραχὼς δὲ οὐδὲν τῶν κεκελευσμένων· καὶ ἑτέρως δὲ τὴν πίστιν οὐ προσκάμενοι τὴν

δικαιοῦσαν τὸν ἀσεβῆ, οὐδὲ τοῖς εὐαγγελικοῖς XIII.
θεσπίσμασιν ἀκολουθήσαντες, δι' ὧν ἦν δύνασθαι τὴν εὐφυᾶ καὶ ἐξειλεγμένην ἐξασκῆσαι ζωὴν, πῶς ἂν εἰσελάσειαν εἰς τὴν βασιλείαν τοῦ θεοῦ; ἐπαριθμήσεις τοῖς ὠνομασμένοις καὶ ἑτέρους τινὰς δυναμένους εἰπεῖν ἔσθ' ὅτε τῷ πάντων κριτῇ· ἐφάγομεν ἐνώπιόν σου, καὶ ἐν ταῖς πλατείαις ἡμῶν ἐδίδαξας· καὶ τίνες ἂν εἶεν οὗτοι πάλιν; πολλοὶ πεπιστεύκασιν εἰς Χριστὸν, καὶ τὰς ἁγίας ἐπ' αὐτῷ τελοῦσιν ἑορτὰς, φοιτῶντες δὲ καὶ ἐν ἐκκλησίαις, τῶν εὐαγγελικῶν ἀκροῶνται παιδευμάτων· ἀποτίθενται δὲ εἰς νοῦν, τῶν γεγραμμένων οὐδέν· ἀλλὰ καὶ πνευματικῆς εὐκαρπίας γυμνὴν ἔχουσι τὴν καρδίαν· κλαύσονται οὖν καὶ οὗτοι πικρῶς, καὶ βρύξουσι τοὺς ὀδόντας· ἀρνήσεται γὰρ καὶ αὐτοὺς ὁ κύριος· ἔφη γοῦν· οὐ πᾶς ὁ λέγων μοι κύριε κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν νοῦ θεοῦ, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς.

Ὅτι δὲ ἔμελλον Ἰουδαῖοι τῆς πρὸς αὐτὸν οἰκειότητος, δῆλον δὲ ὅτι πνευματικῆς, ὁλοπρόπως ἀπολισθεῖν, ἀντεισενεχθήσεσθαι τῶν ἐθνῶν ἡ πληθὺς, διέδειξεν εἰπών· ὅτι ἐξ ἡοῦς καὶ δυσμῶν καὶ βορρᾶ καὶ νότου κεκλημένοι πολλοὶ συνανα παύσονται τοῖς ἁγίοις· αὐτοί γε μὴν ἐξωσθήσονται, καὶ ἥξουσιν ἀπὸ ἀνατολῶν καὶ δυ- v. 29. p. 198. a.

XIII. σμῶν καὶ βορρᾶ καὶ νότου, καὶ ἀνακλιθήσονται ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.

v. 30. Οἱ τὴν πρώτην φησὶ ἐσχηκότες τάξιν, πότε τὴν δευτέραν ἕξουσι, προτεταγμένων ἑτέρων· ὃ δὴ καὶ γέγονε· προτετίμηνται γὰρ τὰ ἔθνη, τῆς Ἰουδαίων ἀγέλης· εἰ καὶ περὶ πολλῶν ἑτέρων, καὶ ἀδιορίστως τοῦτο εἴρηται.

p. 198. b. Καὶ πρῶτον μὲν καιρὸν λογιούμεθα ὡς εἴρηται, καθ' ὃν ἦν ἐν παραδείσῳ Ἀδὰμ· δεύτερον, ὡς ἐν ὥρᾳ τρίτῃ δηλούμενον, καθ' ὃν ἦν Νῶε· τρίτον, ὡς ἐν ἕκτῃ, καθ' ὃν ἦν Ἀβραάμ· τέταρτον, ὡς ἐν ἐνάτῃ, καθ' ὃν ἦν Μωϋσῆς καὶ οἱ προφῆται· περὶ δὲ τὴν ἑνδεκάτην, τουτέστιν ἐν τῷ πέμπτῳ καιρῷ, συστελλομένης ἤδη τῆς ἡμέρας, ἤγουν τοῦ παρόντος αἰῶνος, ἐμισθώσατο τὰ ἔθνη ὁ Χριστὸς, κεκλημένα πρὸς ἐπίγνωσιν, παρ' οὐδενὸς ἑτέρου.

v. 32. Πρόσχες ἀκριβῶς τῇ τοῦ λόγου δυνάμει· δοκεῖ μὲν γάρ πως τετράφθαι καὶ βλέπειν εἰς τὸ Ἡρῴδου πρόσωπον, τὸ εἰρημένον, ὥς τινες ἐνόμισαν· ἔρχεται δὲ μᾶλλον κατὰ τῆς τοῦ φαρισαίου σκαιότητος· καί τοι γὰρ δυνάμενος εἰπεῖν, εἰπὲ τυχὸν τῇ ἀλώπεκι ἐκείνῃ, τοῦτο μὲν παρίησιν· εὐφυέστατα δὲ μέσῃ τινὸς χρώμενος φωνῇ, μονονουχὶ κατέδειξεν ἐγγὺς ὄντα τὸν φαρισαῖον, εἰπὼν τῇ ἀλώπεκι ταύτῃ (*)· τῇ ἀλώ-

(*) Confer scholia in Lucam apud nos T. IX. p. 448.

πεκι δὲ παρεικάζει τὸν ἄνθρωπον· πανοῦργον XIII.
γὰρ ἀεί πως ἐστὶ καὶ δύστροπον τὸ θηρίον· τοιοῦτοι καὶ οἱ φαρισαῖοι.

Ἰδοὺ ἐκβάλλω δαιμόνια καὶ ἰάσεις ἐπιτελῶ σήμερον καὶ αὔριον· καὶ τῇ τρίτῃ, τελειοῦμαι.

Ὁρᾷς ὅτι τοῦθ' ὅπερ ᾔδει λυπεῖν τὸ τῶν φαρισαίων στίφος ἀπροπληροῦν ἐπαγγέλλεται; ἐδίωκον αὐτὸν ἐκ τῶν Ἱεροσολύμων, ἵνα μὴ τῇ τῶν παραδόξων ἐπιδείξει χρώμενος, σαγενεύῃ πολλοὺς εἰς τὸ πιστεύειν αὐτῷ· ἐπειδὴ δὲ θεὸς ὢν, οὐκ ἠγνόησε τοὺς ἐπὶ τούτῳ διαλογισμούς, αὐτὸ τὸ ἀπηχθημένον αὐτοῖς ἐπιτελεῖν ἐπαγγέλλεται· φάσκων ὅτι καὶ ἀκαθάρτοις ἐπιτιμήσει πνεύμασι, καὶ ἀπαλλάξει παθῶν τοὺς ἐν ἀῤῥωστίαις, καὶ τελειωθήσεται· τοὐτέστιν ἑκὼν ὑπομενεῖ τὸ ἐπὶ τῷ σταυρῷ πάθος, ὑπέρ γε τοῦ σῶσαι τὴν ὑπ' οὐρανὸν· ᾔδει δὴ οὖν ἄρα καὶ πῶς καὶ πότε τὸν κατὰ σάρκα θάνατον ὑποστήσεται, πλὴν ᾠήθησαν οἱ φαρισαῖοι κατοῤῥωδήσειν αὐτὸν τὴν Ἡρώδου χεῖρα, καί τοι τῶν δυνάμεων ὄντα κύριον· ὅτι δὲ τῆς ἐξ ἀνθρώπων πλεονεξίας οὐδένα ποιεῖται λόγον, διέδειξεν εἰπών· πλὴν δεῖ με σήμερον κ. τ. λ.

Τὸ δὲ δεῖ με λέγων, οὐκ ἀνάγκην ἀδιάφυ- v. 33.
κτον ἐπηρτημένην ὥσπερ ἑαυτῷ ἐδήλωσεν· ἀλλ' ὅτι μᾶλλον ἐξουσίᾳ τῶν αὐτοῦ θελημάτων ἀνυπόπτως, ὅπου περ ἂν ἐθέλῃ, βαδιεῖται καὶ περι-

XIII. νοσῆσει τὴν Ἰουδαίαν, οὐδενὸς ἐπιόντος ἢ ἐπιβουλεύοντος, ἄχρις ἂν αὐτὸς ἑκὼν καταδέξηται τὴν τελείωσιν, τὴν διά γε φημὶ τοῦ τιμίου σταυροῦ, τέως μέν τοι ἐνεργῶ δυνάμεις· καὶ τούτου νῦν ὁ καιρὸς· καὶ οὔτι γε ἐπὶ πλείονα χρόνον· τοῦτο γὰρ τὸ σήμερον καὶ τὸ αὔριον.

Καὶ τοῦτο δέ φησιν ἀποκείσεσθαι Ἱερουσαλὴμ· καὶ οὐχ' ἑτέρως οἷόν τε γενέσθαι· ἀλλ' ἢ τοὺς προφήτας ἀεὶ μελετηκυῖα φονεύειν, ἥξει καὶ ἐπὶ τὸν τῶν προφητῶν κύριον.

v. 34. Πολλοῖς δὲ ἁγίων αἵμασι πεποιεῖται ἔνοχον τὴν Ἱερουσαλὴμ· καὶ τί τὸν ἐντεῦθεν, ἀπολισθεῖν τὴν πρὸς θεὸν οἰκειότητος, δῆλον δὲ ὅτι πνευματικῆς ἔμελλον ἀποπέμπεσθαι τῆς τῶν ἁγίων ἐλπίδος· τοῦτο λέγων, τὸν τόπον ἐδήλου ἐφ' οὗ τὸ πάθος ἔμελλεν ὑπομένειν.

p. 199. a. Ὅτι δὲ ἦσαν ἀμνήμονες τῶν παρὰ θεοῦ χαρισμάτων, δυσάγωγοί τε καὶ ὀκνηροὶ πρὸς πᾶν ὁτιοῦν τῶν ὠφελούντων αὐτοὺς, διέδειξεν εἰπών.

Πεπαιδαγώγηκε γὰρ διὰ τοῦ πανσόφου Μωϋσέως, νενουθέτηκε δὲ προφητῶν ἁγίων· ἠθέλησεν ὑπὸ πτέρυγας, τουτέστιν ὑπὸ σκέπην τῆς ἑαυτοῦ δυνάμεως ἔχειν αὐτοὺς, οἱ δέ γε τῶν οὕτως εὐκταιοτάτων διημαρτήκασιν ἀγαθῶν, ἀμνήμονες καὶ ἀχάριστοι ὄντες.

v. 35. p. 199. b. Ἀποπεφοίτηκε γὰρ τῶν Ἱεροσολύμων ὁ κύριος, ὡς ἀναξίους ὄντας τῆς ἑαυτοῦ παρουσίας,

ἀφεὶς τοὺς εἰπόντας, ἔξελθε καὶ πόρευου ἐν- XIII.
τεῦθεν· εἶτα περινοστήσας τὴν Ἰουδαίαν, καὶ διασώσας πολλοὺς, καὶ σημείων ἀποτελεστὴς τῶν ὑπὲρ λόγον γεγενημένος, ὑπενόστησε πάλιν ἐν τοῖς Ἱεροσολύμοις· τότε δὴ τότε κεκάθικεν ἐπὶ τὸν πῶλον τῆς ὄνου· ὄχλοι δὲ πολλοὶ καὶ παῖδες ἄνηβοι, τὰ κάλυντρα τῶν φοινίκων ἀνατείνοντες, προεβάδιζον, εὐφημοῦντές τε καὶ λέγοντες, ὡσαννὰ τῷ υἱῷ Δαβὶδ· εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι κυρίου· οὐκοῦν ἀναξίους ὄντας ἀφεὶς, τότε πάλιν αὐτοῖς ὀφθήσεσθαι φησὶν, ὅταν ὁ τοῦ πάθους ἐνστῇ καιρὸς· τότε γὰρ ἀνέβη πάλιν εἰς Ἱεροσόλυμα, καὶ εἰσήλασεν εὐφημούμενος· καὶ καθ' ἐκεῖνο τοῦ καιροῦ, τὸ σωτήριον ὑπὲρ ἡμῶν ὑπέστη πάθος.

CAP. XIV.

Ἤρετο τοὺς νομικοὺς καὶ τοὺς φαρισαίους, ὁ XIV. v. 3.
κύριος· πότερόν ποτε ἔξεστι τῷ σαββάτῳ θε- p. 200. a.
ραπεύειν, ἢ οὔ· οἱ δέ, φησιν, ἐσίγησαν· ἀνθότου σεσίγηκας ὦ νομικὲ; εἰπέ τι τῶν γεγραμμένων· ἐπίδειξον τὸν διὰ Μωϋσέως νόμον, διαβεβλημότα ποτὲ τὸ εὖ ποιεῖν ἐν σαββάτῳ, εἰ σκληροὺς ἡμᾶς καὶ ἀφιλοικτείρμονας εἶναι βούλεται διὰ τὴν τῶν σαββάτων ἀργίαν· ἀλλ' οὐκ ἂν, ἔχοις ἐπιδεῖξαι τοῦτο πόθεν· ἐπειδὴ δὲ δυ-

XIV. στρόπως σεσιγήκασι, παραλύει Χριστὸς τὴν ἄ-
θραυστον αὐτῶν ἀναισχυντίαν, λογισμοῖς ἀνάγ-
v. 5. καίοις εἰς τοῦτο χρώμενος. Εἰ κεκώλυκε, φησὶν,
ὁ νόμος ἐλεεῖν ἐν σαββάτῳ, πῶς ἐποικτείραις
αὐτὸς τὸν εἰς φρέαρ καταπεσόντα; μὴ φροντί-
σῃς υἱοῦ κινδυνεύοντος ἐν σαββάτῳ; ἐπτίμησον
τῷ τῆς διαθέσεως κέντρῳ, εἴπερ οἶσθα σκληρὸν
ὄντα τὸν νομοθέτην καὶ ἀφιλοκτείρμονα· μὴ δὲ
νέμε χεῖρα τῷ κάμνοντι, προτιθεὶς αὐτοῦ τὴν
εἰς τὸν νόμον αἰδῶ, μᾶλλον δὲ τὴν ἀργίαν τὴν
ἀλογωτάτην, εἰ μή σοι δοκεῖ πνευματικὸν εἰ-
δέναι σαββατισμὸν· οὐ καταλήγει τοῦ εἶναι χρη-
στὸς ὁ τῶν ὅλων θεὸς, ἀγαθός ἐστι καὶ φιλάν-
θρωπος, οὐκ ἀπανθρωπίας τὸν Μωϋσέως νόμον
ἐτίθει διδάσκαλον, ἀγάπης δὲ μᾶλλον τῆς εἰς
τὸν πέλας εἰσηγητὴν· εἶτα, πῶς ἦν εἰκὸς τὴν
οὕτω σεπτὴν καὶ ἀξιάγαστον ἐντολὴν ἀτονεῖν ἐν
σαββάτῳ, καὶ τὰ βούλησιν θεοῦ; τί οὖν σεσίγη-
κας νομικὲ; ἠπόρησας ὁμολογουμένως· μακρὰ
τοιγαροῦν χαίρειν εἰπὼν ταῖς βασκανίαις τῶν
Ἰουδαίων, ἀπαλλάττει τοῦ νοσεῖν, τὸν ὑδέρῳ
κεκρατημένον· ὃς δεδιὼς τοὺς φαρισαίους, οὐ
προσῆλθεν αἰτῶν θεραπευθῆναι διὰ τὸ σάββα-
τον, ἀλλὰ μόνον ἔστη ἐνώπιον αὐτοῦ, ἵνα ἐκ
τῆς θέας ἐλεήσας αὐτὸν, θεραπεύσῃ· ὅπερ εἰδὼς
ὁ κύριος, ὡς ἐμβατεύων αὐτοῦ τὴν ψυχὴν ὡς
θεὸς, οὐκ ἐρωτᾷ αὐτὸν εἰ θέλει ὑγιὴς γενέ-

σθαι, ἀλλ' εὐθέως ἐθεράπευσεν αὐτὸν, ἤδει γὰρ ὅτι ἤθελε· καὶ γὰρ ἵνα τύχῃ τῆς θεραπείας, ἵστατο ἔμπροσθεν αὐτοῦ καὶ ἐσιώπα. XIV.

Ἐπειδὴ τῶν κεκλημένων ἐθεᾶτο τινὰς, ὡς μέγά τι χρῆμα καὶ ἀξιόλογον, τὰς πρωτοκλισίας ἀσυνέτως ἁρπάζοντας, ἀναγκαίως ἵν' αὐτούς τε καὶ ἡμᾶς ὠφελῇ, ματαίας δόξης καταφρονεῖν παραγγυᾷ· καὶ δοκεῖ μὲν ἴσως τισὶ, μικρά πως εἶναι ταυτὶ, καὶ οὐ πολλῆς ἄξια φροντίδος· ὅταν δέ τις αὐτοῖς τὸν τῆς διανοίας ὀφθαλμὸν ἐνερείσῃ, τὸ τηνικάδε μαθήσεται ὁποίου μὲν ἀπαλλάττει μώμου τὸν ἄνθρωπον, ὅσον δὲ τὸ κόσμιον αὐτῷ ἐνεργάζεται· τὸ μὲν γὰρ τιμαῖς ἡμᾶς ταῖς ἀναρμόστοις, ἤγουν οὐ πάντη τε καὶ πάντως ὀφειλομέναις ἡμῖν προχείρως ἐπιπηδᾷν, ἀσυνέτους ἡμᾶς ἀποφαίνει· ὅταν γάρ, φησι, ἔλθῃ ὁ ἐντιμότερός σου, ἐρεῖ σοι ὁ σὲ καὶ αὐτὸν καλέσας· δὸς τούτῳ τόπον· ὢ πόσης αἰσχύνης τὸ πρᾶγμα μεμέστωται; σώφρων δὲ καὶ ἀξιοθαύμαστος, ὁ μετὸν αὐτῷ ἀνεπιπλήκτως τοῖς πρώτοις καταστεμνύνεσθαι, τούτου μὲν οὐκ ἐφιέμενος, μόνον δὲ οὐχὶ τὰ ἑαυτοῦ παραχωρῶν ἑτέροις, ὑπέρ γε τοῦ μὴ δοκεῖν ἡττᾶσθαι φιλοδοξίας, ὁ τοιοῦτος ὡς ὄφλημα λήψεται τιμήν· ἀκούσεται γὰρ παρὰ τοῦ κεκληκότος, προσανάβηθι ὧδε· μέγα δὴ οὖν καὶ ἐξαίρετον ἀγαθὸν, τὸ μέτριον φρόνημα· εἰ γάρ τις v. 7.

XIV. ἑτέρων προτάττεσθαι ζητεῖ, κερδαινέτω τοῦτο διὰ τῆς ἄνωθεν ψήφου, καὶ στεφανούσθω τιμαῖς ταῖς παρὰ θεοῦ, νικάτω πολλοὺς τῇ τῶν ἀρετῶν λαμπρότητι, τῇ ταπεινογροσύνῃ· ὑψηλὸν γὰρ παρὰ θεῷ τὸ συνεσταλμένον φρόνημα· μιμητὴς γίνεται Χριστοῦ τοῦ εἰπόντος, μάθετε ἀπ' ἐμοῦ· ὅτι πραΰς εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ· ταῦτα δὲ λέγων, οὐκέτι ἐπιπλήττει βαρέως, ἀλλ' ἐπιτιμᾷ χρηστῶς· ταύτης ποιούσης καὶ τῆς παραινέσεως· μᾶλλον δὲ καὶ πλέον ἐπὶ τῶν εὐαισθήτων, ὅτι καὶ προαγωγότερον ἀφίστησιν ἀπὸ τῆς φιλοτιμίας, ἡ πρὸς τὰ τῆς φιλοτιμίας ἀποτροπή· μικρῷ δὲ οὕτω τῷ παραδείγματι τῷ κατὰ τὰ δεῖπνα, τὴν τῶν φιλοτίμων καθαίρεσιν ὑποδεικνὺς, καὶ τὴν τῶν ἀφιλοτίμων ὕψωσιν, μέγα τῷ μικρῷ προστίθησι, καθολικὸν ἐπιφέρων τὸ, ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν, ὑψωθήσεται· ὅπερ τῆς θείας ἥρτηται κρίσεως, καὶ οὐ πάντως κατὰ τὴν τῶν ἀνθρώπων ἐπιτελεῖται συνήθειαν· ἐπεὶ, πολλοὶ καὶ τιμῆς ὀρεχθέντες, ἐπέτυχον τῆς εὐτελοῦς ταύτης τιμῆς· καὶ ἄλλοι ἑαυτοὺς ταπεινώσαντες, ἔμειναν ἀγεράστοι.

v. 8. p. 200. b. Μέγαν εἰσάγει τῆς παρὰ ἀνθρώποις δεξιώσεως, τὸν σκοπὸν, καὶ τὸν καρπὸν ἀξιοσπούδαστον, εἰ καὶ μακρὰν οὗτος· καὶ οὐκ ἔχων παρὰ χρῆμα τὴν ἀνταπόδοσιν, ὅπερ οἱ μικρόψυχοι

ποιοῦσι· φίλους καλοῦντες, ἀδελφοὺς· συγγε- XIV.
νεῖς, γείτονας, ἵν' εὐθὺς ἀντικληθέντες, κομί-
σαιντο τοῦτο οὗ καὶ ἦρξαν εἰς ἐκείνους· οὗ πολ-
λῷ κάλλιον, καὶ μεγαλοπρεπέστερον εἰσήγαγεν
ὁ κύριος, τὸ τοὺς δεομένους καλεῖν· τὸ πρὸς
τοὺς ἀσθενεῖς καὶ λελωβημένους φιλανθρωπεύε-
σθαι· παρ' ὧν οὐκ ἔστιν ἀνταπόδοσις, ἀλλὰ
θεὸς ὁ ἀνταποδιδοὺς τῆς φιλανθρωπίας τὴν τι-
μὴν, ἐπὶ τῆς μελλούσης ζωῆς· τοῦτο δέ φησιν,
οὐχ' ἵνα τῆς πρὸς τοὺς ἰδίους ἀπείρξῃ τιμῆς,
ἀλλ' ἵνα διδάξῃ μὴ πιπράσκειν τὰς φιλοφροσύ-
νας τῶν ἴσων ἀνταποδόσεων, ἀλλ' ὠφελίμους
ποιεῖσθαι ταύτας, ἐπὶ μεγάλαις ἀνταδόσεσι ταῖς
παρὰ θεοῦ· ἐρεῖ γὰρ· δεῦτε κληρονομήσατε τὴν
ἡτοιμασμένην ὑμῖν βασιλείαν· ἐπείνασα γάρ, καὶ
ἐδώκατέ μοι φαγεῖν, καὶ τὰ ἑξῆς· ἐφόσον γὰρ
ἐποιήσατε ἑνὶ τούτων, ἐμοὶ ἐποιήσατε.

Εἰκὸς δή που τὸν ἄνθρωπον, οὔπω μὲν εἶναι v. 15.
p. 201. a.
πνευματικὸν, ψυχικὸν δὲ μᾶλλον· καὶ ἀνεπιτη-
δείως ἔχοντα πρὸς σύνεσιν ἀκριβῆ τῶν λαλου-
μένων παρὰ Χριστοῦ, ἦν γὰρ τῶν ἀπίστων ἔτι
καὶ οὔπω πεφωτισμένων· ᾠήθη δὲ οὖν, σωμα-
τικὰς ἔσεσθαι τῶν ἁγίων τὰς ἀμοιβὰς ὧν ἂν
δράσειαν, εἰς ἑτέρους ἀγαθοῦργεῖν ᾐρημένοι.

Πολυπραγμονήσωμεν πρό γε τῶν ἄλλων, ὁ- v. 16.
p. 201. b.
ποία τίς ἦν ἡ πρόφασις· τῷ μὴ ἐπ' ἀρίστῳ μᾶλ-
λον ἀλλ' ὡς ἐπὶ δείπνῳ κεκλῆσθαι πολλοὺς·

XIV. μᾶλλον δὲ πρὸ τούτων, τίς ἂν νοηθείη πρὸς ἡμῶν ὁ ἄνθρωπος ὁ τὸν δειπνοκλήτορα πεπομφὼς· τίς δὲ καὶ ὁ δειπνοκλήτωρ, καὶ τίνες ὅλως οἱ κεκλημένοι μὲν, ἀτιμάσαντες δὲ τὴν κλῆσιν· οὐκοῦν ὁ μὲν ἄνθρωπος, νοηθείη ἂν ὁ θεὸς καὶ πατὴρ· αἱ γὰρ εἰκόνες, πλάττονται πρὸς τὸ ἀληθὲς, οὐκ αὐταὶ πάντως εἰσὶν ἡ ἀλήθεια· οὗτος δὴ οὖν ὁ τῶν ὅλων δημιουργὸς καὶ πατὴρ τῆς δόξης, μέγα πεποίηκε δεῖπνον, τουτέστιν οἰκουμενικὴν εἰργάσατο πανήγυριν, δῆλον δὲ ὅτι τὴν ἐπὶ Χριστῷ· ἐν ἐσχάτοις δὲ τοῦ αἰῶνος καιροῖς, καὶ οἷον ἐπὶ δυσμαῖς αἰῶνος τοῦ καθ' ἡμᾶς, ἐπέφανεν ἡμῖν ὁ υἱὸς· ὅτε καὶ τὸν δι' ἡμᾶς ὑπέστη θάνατον, καὶ δέδωκεν ἡμῖν τὴν ἑαυτοῦ σάρκα φαγεῖν, ἄρτος ὢν ἐξ οὐρανοῦ, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ· πρὸς ἑσπέραν δὲ καὶ ὑπὸ λύχνοις, καὶ ὁ ἀμνὸς ἐσφάζετο κατὰ τὸν Μωϋσέως νόμον· δεῖπνον οὖν εἰκότως ἡ ἐν Χριστῷ κλῆσις, ὠνόμασται· εἶτα, τίς ἐστιν ὁ ἀπεσταλμένος, ὃν δὴ καὶ δοῦλον εἶναι φησὶν; αὐτός που τάχα Χριστὸς· θεὸς γὰρ ὢν φύσει, καὶ υἱὸς ἀληθινὸς τοῦ θεοῦ καὶ πατρὸς, ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών· ἔστι τοίνυν κύριος μὲν τῶν ὅλων, ὡς θεὸς ἐκ θεοῦ· τήν γε μὴν τοῦ δούλου κλῆσιν ἐφαρμόσειέ τις ἂν εἰκότως, τοῖς τῆς ἀνθρωπότητος αὐτοῦ μέτροις· πότε δὲ ἀπεστάλη; τῇ ὥρᾳ τοῦ δείπνου φησὶ· οὐ γὰρ ἐν ἀρχαῖς τοῦ

αἰῶνος τούτου καταπεφοίτηκεν ἐξ οὐρανῶν ὁ μο- XIV.
νογενὴς τοῦ πατρὸς λόγος, καὶ γέγονεν ἐν εἴ-
δει τῷ καθ' ἡμᾶς, ἐν καιροῖς δὲ μᾶλλον καθ'
οὓς αὐτὸς ἠθέλησεν ὁ δυνάστης, δῆλον δὲ ὅτι
τοῖς τελευταίοις, κατὰ φθάσαντες εἴπωμεν· ὁ-
ποῖος δὲ γέγονεν ὁ τοῦ κεκληκότος λόγος; ἔρ-
χεσθε ὡς ἤδη ἕτοιμά ἐστι πάντα· ἡτοίμασε γὰρ
τοῖς ἐπὶ γῆς ὁ θεὸς καὶ πατὴρ ἐν Χριστῷ, τὰ
δι' αὐτοῦ τῷ κόσμῳ δεδωρημένα ἀγαθὰ, ἁμαρ-
τιῶν ἀπόθεσιν, πνεύματος ἁγίου μέθεξιν, υἱο-
θεσίας λαμπρότητα, βασιλείαν οὐρανῶν· ἐπὶ
ταῦτα κέκληκεν ὁ Χριστὸς, διὰ τῶν εὐαγγελι-
κῶν θεσπισμάτων· καὶ πρό γε τῶν ἄλλων, τὸν
Ἰσραήλ· ἆρ' οὖν ἐβουλεύσαντό τι χρηστὸν ἐν
ἑαυτοῖς; ἆρα τεθαυμάκασι τοῦ κεκληκότος τὴν
ἡμερότητα, τοῦ διακονοῦντος τῇ κλήσει τὴν οἰ-
κονομίαν; οὔ μεν οὖν· ἀλλ' ἠτίμασαν καὶ τὸν
καλοῦντα καὶ τὸν ἀπεσταλμένον.

Ὁρᾷς ὅτι τοῖς γεωδεστέροις ἀσυνέτως προσ- v. 18.
νενευκότες οὐχ ὁρῶσι τὰ νοητὰ, καὶ τῶν ἐν ἐλ-
πίσι ταῖς παρὰ θεῷ οὐδένα ποιοῦνται λόγον·
εἶτα, τίνες νοηθεῖεν ἂν οἱ παραιτησάμενοι ἀγρῶν
τε καὶ γεωργίας ἕνεκα, καὶ παιδοποιΐας σαρκι-
κῆς; ἢ τάχά που τῆς ἰουδαίων συναγωγῆς οἱ
προεστηκότες; ἄνδρες ἀδροὶ τὰ βαλάντια, καὶ
φιλοκερδείας ἡττώμενοι, καὶ πᾶσαν εἰς τοῦτο
δαπανῶντες σπουδὴν· διὰ πάσης γὰρ ὡς ἔπος

XIV. εἰπεῖν τῆς θεοπνεύστου γραφῆς, ἐπ' αὐτοῖς δὲ τούτοις διαβεβλημένους ἔνεστιν ἰδεῖν.

p. 202. b. Καὶ ὅταν ἀκούσῃς, ὅτι ἀπέστειλεν ὁ ἑστιάτωρ τὸν δοῦλον αὐτοῦ, τῇ μετὰ σαρκὸς οἰκονομίᾳ, καὶ τὴν δουλείαν λογίζῃ καὶ τὴν ἀποστολήν· τί ποτε δὲ εἰπεῖν ἀπεστάλη τοῖς διὰ νόμου κεκλημένοις ἰουδαίοις; ἔρχεσθε, ἤδη ἕτοιμά ἐστι πάντα.

v. 21. p. 203. a. Πλὴν τῶν ἰουδαϊκῶν ἀρχόντων τὴν κλῆσιν παραιτησαμένων, καθὼς αὐτοὶ ἔλεγον, μή τις τῶν ἀρχόντων ἢ τῶν φαρισαίων ἐπίστευσεν εἰς αὐτὸν, ὠργίσθη ὁ οἰκοδεσπότης, ὡς ἄξιον ὄντων παθεῖν τὰ ἀπὸ τοῦ θυμοῦ καὶ τῆς ὀργῆς.

Καὶ νῦν οὖν ὠργίσθαι λέγεται ὁ οἰκοδεσπότης κατὰ τῶν ἰουδαϊκῶν ἀρχόντων, ὡς τὸ μέγα δεῖπνον ὑβρισάντων· καὶ δὴ κέκληνται ἀντ' ἐκείνων, οἱ εἰς τὰς πλατείας καὶ τὰς ῥύμας, οἱ ἐκ τῆς ἰουδαϊκῆς πληθύος, ἀσθενῆ τε καὶ ἀγεννῆ τὴν διάνοιαν ἔχοντες, ἀφεγγῆ τε καὶ χωλεύουσαν· τυφλοὶ γὰρ οὗτοι καὶ χωλοὶ νοηθεῖεν ἂν, ἀλλ' εὐῤῥωστοι καὶ ὑγιεῖς γεγόνασιν ἐν Χριστῷ· ἐδιδάχθησαν ὀρθοποδεῖν, τὸ θεῖον εἰς νοῦν ἐδέξαντο φῶς· ὡς δὲ πεπιστεύκασι τῶν ἰουδαίων οὐκ εὐαρίθμητοι, μάθοι τίς ἂν, ταῖς τῶν ἁγίων ἀποστόλων πράξεσιν ἐντυχών· ἐκεῖ γὰρ Πέτρου δημηγορήσαντος, πρῶτον τρισχίλιοι ἐπίστευσαν, καὶ πάλιν πολὺς ὄχλος· ἀλλὰ ταῦτα μὲν διδά-

σκων, τοῦτο δὲ θαυμαΐουρΓῶν, τὸ ἄδολον πλῆ- XIV.
θος ὑπήγετο, καὶ πολλοὶ τῶν Ἰουδαίων ἐπί-
στευον εἰς αὐτόν· οὓς καὶ ἐπαράτους οἱ φαρι-
σαῖοι ὠνόμαζον, ὡς εἰς Χριστὸν πιστεύοντας·
ἔλεγον γὰρ· μή τις ἐκ τῶν φαρισαίων ἐπίστευ-
σεν εἰς αὐτόν; ἀλλ' ὁ λαὸς οὗτος, ὁ μὴ γι-
νώσκων, ἐπικατάρατοί εἰσιν· ἐνταῦθα ἑκάτερον
δείκνυται, καὶ ὡς οἱ ἄρχοντες οὐκ ἐπίστευον,
καὶ ὡς πολλοὶ ἐκ τοῦ πλήθους ἐπίΣΤευον· ἄπερ
ἀμφότερα καὶ ἡ παραβολὴ ᾐνίξατο, τοὺς μὲν
εἰσάγουσα παραιτουμένους, τοὺς δὲ καλουμέ-
νους καὶ ὑπακούοντας.

Ἐνταῦθά μοι βλέπε τὴν τῶν ἐθνῶν κλῆσιν v. 22.
μετά γε τοὺς ἐξ αἵμαΤος Ἰσραὴλ, εἰσενηνεγμέ-
νων διὰ τῆς πίστεως· πάλαι μὲν Γὰρ ἦσαν οἱ ἐξ
ἐθνῶν, ἄγροικοι τὰς φρένας, ἀπηΓριωμένοι τὸν
νοῦν· καὶ οἷον ἔξω πόλεως, διὰ τὸ μὴ ζῆν ἐν
εὐνομίᾳ· κΠηνοπρεπῶς δὲ μᾶλλον, καὶ σὺν ἀλο-
γίᾳ πολλῇ· ταύτῃ τοι καὶ εἰς τὰς ἔξω πόλεως
ὁδοὺς, καὶ τοὺς ἐν ἀγροῖς ὄΥΠας φραγμοὺς, ὁ
δειπνοκλήτωρ ἀπεσΤάλη· πλὴν προστέτακΤαι πα-
ρὰ τοῦ πεπομφότος, οὐχ ἁπλῶς καλέσαι, καὶ
μόνην αὐτοῖς προτεῖναι τὴν προτροπήν, ἀλλὰ
γὰρ καὶ ἀναγκάσαι· καί τοι προαιρετικὸν ἅπα-
σι τὸ πιστεύειν ἐστὶ, καὶ δεκτὸν τοῦτο παρὰ
θεῷ, εἶτα πῶς ἀναγκάζονταί τινες; καὶ τοῦτο
ναὶ γέΓονεν οἰκονομικῶς· ἔδει γὰρ ἔδει τοῖς ἔθ-

XIV. νεσιν, ὡς ἀφορήτῳ πλεονεξίᾳ κατεζευγμένοις, καὶ ὑπὸ ζυγὰ πεσοῦσι διαβολικὰ, καὶ οἱονεὶ σειραῖς ἀῤῥήκτοις τῶν οἰκείων πλημμελημάτων ἐνισχυμένοις, καὶ οὐκ εἰδόσιν ὅλων τὸν φύσει τὲ καὶ ἀληθῶς ὄντα θεὸν, συντονωτέρας κλήσεως μιμουμένους χρείαν, ἵν' ἰσχύσειαν ἀναβλέψαι πρὸς θεὸν, καὶ τῶν ἱερῶν γεύσασθαι μαθημάτων, καὶ ἀποφοιτῆσαι μὲν τῆς ἀρχαίας ἀπάτης, ἀποπηδῆσαι δὲ τρόπον τινὰ, τῆς τοῦ διαβόλου χειρὸς· καὶ γοῦν ἔφη Χριστὸς· οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ πατὴρ ὁ πέμψας με ἑλκύσαι αὐτὸν· ἡ δὲ λέξις ὅλως ἰσχύος ἔργον τῆς θεοπρεποῦς ἀποφαίνει τὴν κλῆσιν· τοιοῦτόν τι καὶ ὁ προφήτης Δαβὶδ εὑρίσκεται λέγων πρὸς θεὸν περὶ αὐτῶν· ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις τῶν μὴ ἐγγιζόντων πρὸς σὲ· ὁρᾷς ὅπως τινὶ χαλινῷ περιτρέπει πρὸς ἑαυτὸν ὁ τῶν ὅλων θεὸς τοὺς ἀγρίως ἀποσκιρτήσαντας; ἀγαθὸς γάρ ἐστι καὶ φιλάνθρωπος, καὶ πάντας τοὺς ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

v. 26. p. 204. a. Οὐκοῦν λέγων τὸ εἴ τις ἔρχεται πρός με, καὶ οὐ μισεῖ τοὺς καθ' αἷμα καὶ αὐτὴν τὴν ψυχὴν, οὐ τοὺς τῆς ἐμφύτου φιλοστοργίας ἀτιμάζει νόμους, οὐδὲ τῆς φυσικῆς διαθέσεως, τῆς ὀφειλομένης γονεῦσι μὲν παρὰ τέκνων, γυναιξὶ δὲ παρὰ τῶν συνηρμοσμένων, ἀδελφοῖς δὲ πρὸς

ἀδελφοὺς, καὶ ἀφροντίστους εἶναι διδάσκει· ἐχθροὺς ποιησαμένους τοὺς οἰκειοτάτους, ἵνα συνῶμεν αὐτῷ καὶ ἀκολουθεῖν ἰσχύσωμεν· ὁ γὰρ κελεύων ἀγαπᾶν τοὺς ἐχθροὺς, πῶς ἂν ἠθέλησε μισεῖν τοὺς κατὰ φύσιν οἰκείους; οὔτε οὖν ἀγνοῆσαι τὴν φύσιν, οὔτε δουλεῦσαι, προστάττει Χριστὸς, ἀλλὰ χρῆσθαι τῇ φύσει πρὸς τὸ ἄμεινον καὶ σωτήριον· συνεπάγεσθαι γὰρ τὸ οἰκεῖον θέλει εἰς τὴν αὐτοῦ Χριστοῦ φιλίαν· ἀλλὰ μὴ ἀφέλκεσθαι διὰ τοῦ οἰκείου τῆς θείας ἀγάπης· ἐπεὶ, τό γε τιμᾶν γονέας, καὶ αὐτῷ τῷ κυρίῳ δοκεῖ· καὶ τὸ ἐκτρέφειν τὰ τέκνα, Παῦλος εἰσηγεῖται· ἀλλὰ καὶ γονεῦσιν ὑπακούειν δεῖ φησὶ ἐν κυρίῳ, καὶ νουθεσίᾳ κυρίου, καὶ τὰς ἑαυτῶν γυναῖκας ἀγαπᾶν τοῖς ἀνδράσιν εἰσηγήσατο, ἀλλ' ἐν μιμήσει Χριστοῦ τοῦ τὴν ἐκκλησίαν ἀγαπήσαντος· καὶ ταῖς γυναιξὶ δὲ τοὺς ἄνδρας φοβεῖσθαι, ἀλλ' ἐκκλησίας τύπῳ τῆς φοβουμένης Χριστὸν· οὐ γὰρ οἰκείους γε ὄντας τῇ πίστει τοὺς οἰκείους μισητέον· εἰ γάρ τις τῶν ἰδίων φησὶ, καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται· ἑνὶ δὲ λόγῳ προκειμένου σκοποῦ, τοῦ Χριστῷ ἀκολουθεῖν, εἴ τι τούτῳ σύμφωνον, αἱρετέον· τὸ δὲ μὴ σύμφωνον, παραιτητέον· καὶ γὰρ εἰ ζῶντας τὴν ἐν σαρκὶ ζωὴν ἔνεστι τὸ Χριστοῦ σέβας διαφυλάττειν, οὐ φευκτέον τὴν ἐν σώματι ζωὴν, ἀλλὰ συνληρητέον ταύτην, ὡς ὁ Παῦ- XIV.

XIV. λος· ἡνίκα διὰ θυρίδος ἐν σαργάνῃ χαλασθεὶς, ἐκφεύγει τὰς Ἀρέτα χεῖρας, ἵνα ζῶν ἔτι κηρύττῃ Χριστὸν, καὶ μὴ θᾶττον ἀναιρεθεὶς, ἐμποδίσῃ τὸ κήρυγμα· ὅπου δὲ ἔδει καὶ τῆς ζωῆς καταφρονεῖν ὑπὲρ τοῦ τελειῶσαι τὸν δρόμον, οὐδὲ τὴν ψυχὴν ἔφη ποιεῖσθαι τιμίαν ἑαυτῷ· καὶ Χριστὸν ἐφ' ἑκάτερα προὐτίθετο σκοπὸν, ἐπί τε τὸ τεθνάναι· ἐμοὶ γάρ φησι τὸ ζῆν, Χριστὸς· καὶ τὸ ἀποθανεῖν, κέρδος.

v. 28. p. 205. a. Ὁποία τίς ἡ πρόφασις, ἡ πρός γε τούτους παρενεγκοῦσα τοὺς λόγους, εἰπεῖν ἀναγκαῖον· τὸ εὐαγγελικὸν δεῖπνον ἐν τοῖς προλαβοῦσιν, ἔφη τελεῖσθαι μέγα, εἰς ὃ κέκληνται πολλοὶ παρὰ τοῦ προσθέντος αὐτοῖς τὴν παννήγυριν· ἀλλ' ἦσαν πρὸς τοῦτο ῥᾳθυμοί τινων· παρῃτοῦντο γάρ φησιν ἀπὸ μιᾶς, λέγοντες· ὁ μὲν ὅτι ἀγρὸν ἠγόρασα, ὁ δὲ ὅτι ζεύγη βοῶν ἐπριάμην, ὁ δὲ ὅτι γυναῖκα ἔγημα, καὶ οὐ δύναμαι ἐλθεῖν· καὶ τοιαύταις τισὶν εὐρεσιλογίαις χρώμενοι, λελυπήκασι τὸν κεκληκότα· ἔδει τοίνυν ἡμᾶς εἰδέναι καὶ μάλα σαφῶς, ὅτι θεοῦ καλοῦντος εἰς ἑαυτὸν, τῶν εἰς σάρκα καὶ περὶ αὐτὴν ἐπιθυμιῶν καταφρονητὰς εἶναι προσήκει· εἶτα, δυσὶ κέχρηται παραδείγμασιν, ἀκονῶν εἰς ἄμαχον εὐανδρίαν τοὺς ἑαυτοῦ γνωρίμους· εἰ γὰρ δή τις βούλοιτο, φησὶ, οἰκοδομῆσαι πύργον, τὰ πρὸς ἀπαρτισμὸν ἑτοιμασάμενος πρότερον, οὗ-

τως τῇ οἰκοδομῇ ἐπιβάλλεται, ἵν' ἢ θαῤῥήσῃ τὸν πόλεμον, ἢ τὴν εἰρήνην ἕλοιτο· μὴ εὐσθενὴς ὢν πρὸς ἀντίστασιν· ταυτὸ δὴ τοῦτο καὶ τοὺς πιστεύοντας ἀπαιτεῖ· δεῖ γὰρ τοὺς τὴν εὐκλεᾶ καὶ ἀμώμητον ζωὴν κατορθοῦν ἑλομένους, τὴν ἀρκοῦσαν εἰς τοῦτο προθυμίαν ἐγκαταθέσθαι τῷ νῷ· μεμνῆσθαί τε τοῦ λέγοντος· τέκνον, εἰ προσέρχῃ δουλεύειν κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμὸν· εὔθυνον τὴν καρδίαν σου, καὶ καρτέρησον· οἷς δὲ οὐκ ἔνεστι προθυμία τοιαύτη, οὗτοι πῶς ἂν ἰσχύσειαν τὸν προτεθέντα αὐτοῖς ἀποπεράναι σκοπόν;

Τί τὸ ἐντεῦθεν ὑποδηλούμενον; οὐκ ἔστιν v. 31.
ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, ἐν τοῖς ἐπουρανίοις· ἔστι δέ τις καὶ ἑτέρων ἡμῖν πολεμίων ἐσμὸς, τὸ φρόνημα τῆς σαρκὸς, ὁ ἐν τοῖς μέλεσιν ἡμῶν ἀγριαίνων νόμος τὰ πολύτροπα πάθη· πρὸς ταῦτα ἡμῖν ἡ πάλη, αὕτη τῶν ἐχθρῶν ἡ ἀγρία πληθὺς· πῶς οὖν ἄρα περιεσόμεθα; ὅταν πιστεύωμεν ὅτι ἐν τῷ θεῷ ποιήσομεν δύναμιν, κατὰ τὸ γεγραμμένον, καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς· οὕτως αὐτὸς ἑαυτὸν διαθεὶς, ἔφη τίς τῶν ἁγίων προφητῶν, ἰδοὺ κύριος βοηθεῖ μοι, τίς κακώσει με; ψάλλει δέ που καὶ ὁ θεσπέσιος Δαβὶδ· κύριος φωτισμός μου καὶ σωτήρ

XIV. μου, τίνα φοβηθήσομαι; καὶ τὰ λοιπὰ· αὐτὸς γάρ ἐστιν ἡμῶν ἡ ἰσχύς.

v. 34. p. 206. a. Ὥσπερ δὲ ἄνευ ἁλὸς, οὔτε ἄρτος, οὔτε ὄψον ἐδώδιμον, οὕτως ἄνευ τῆς ἀποστολικῆς συνέσεως καὶ διδασκαλίας, πᾶσα ψυχὴ μωρὰ καὶ ἄνοστος, καὶ οὐχ' ἡδεῖα παρὰ θεῷ.

CAP. XV.

XV. v. 1. Πέπομφεν ἐξ οὐρανοῦ τὸν υἱὸν ὁ θεὸς καὶ πατὴρ, οὐχ' ἵνα κρίνῃ τὸν κόσμον, καθὰ φησὶν, αὐτὸς, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ· εἶτα πῶς ἔδει σωθῆναι τὸν κόσμον, τοῖς τῆς ἁμαρτίας ἁλόντα βρόχοις; ἆρα δίκας ἀπαιτούμενον, ἢ μᾶλλον εὐεργετούμενον ἀνεξικακοῦντος θεοῦ, καὶ οἷον λήθῃ παραδιδόντος τὰ πεπωχηκότα, καὶ εἰς ἁλίαν ζωὴν ἀναπλάττοντος τοὺς εὖ βιοῦν οὐκ εἰδότας; τί οὖν εἰπέ μοι διαγογγύζεις ὦ φαρισαῖε, τελώναις καὶ ἁμαρτωλοῖς οὐκ ἀπαξιώσαντος συνεῖναι Χριστοῦ, καὶ ταύτην αὐτοῖς τῆς σωτηρίας ὁδὸν οἰκονομικῶς κατασκευάζοντος; ταύτης ἕνεκα τῆς αἰτίας καθῆκεν ἑαυτὸν εἰς κένωσιν, καὶ ἐν ὁμοιώσει γέγονε τῇ πρὸς ἡμᾶς· ἆρ' οὖν ἐπιπλήττεις τῇ μετὰ σαρκὸς οἰκονομίᾳ τοῦ μονογενοῦς; καί τοι τεθαυμάκασιν οἱ μακάριοι προφῆται τοῦ μυστηρίου τὸ εὐτεχνὲς· ψάλλει γὰρ ὁ προφήτης Δαβὶδ καὶ φησὶ· ψά-

λάτε συνεῖῶς, ἐβασίλευσεν ὁ θεὸς ἐπὶ τὰ ἔθνη· ὁ δέ γε Ἀμβακοὺμ ἀκηκοέναι φησὶ τὴν ἀκοὴν, κατανοῆσαι δὲ καὶ τὰ ἔργα, καὶ εἰς ἔκστασιν ἐλθεῖν· πῶς οὖν ἃ θαυμάζειν ἐχρῆν, ταῦτα καταψέγων οὐκ ἐρυθριᾷς; πεπλάνηται τὸ ἐπὶ γῆς γένος, ἀπώλισθε τῆς χειρὸς τοῦ ἀρχιποίμενος· γέγονε διὰ τοῦτο καθ' ἡμᾶς, ὁ τὰς ἄνω καὶ ἐν οὐρανῷ ϖοιμαίνων ἀγέλας, ἵνα καὶ ἡμᾶς τοῖς ἰδίοις ἐναυλίσῃ σηκοῖς· ἵνα συνάψῃ τοῖς μὴ πεπλανημένοις, καὶ ἀποσοβήσῃ τὸν θῆρα τὸν ἀλιτήριον, ἀϖοστήσῃ δὲ καὶ ὥσϖερ τι λῃστρικὸν καὶ ἀνόσιον σῖφον, τοὺς ἀκαθάρτους δαίμονας, οἳ πεπλανήκασι τὴν ὑπ' οὐρανὸν· ἐζήτησε τοίνυν τὸ ἀπολωλὸς, καὶ τὰς τῶν Ἰουδαίων ἐπ' αὐτῷ δὴ τούτῳ φιλοψογίας, εἰκαίας καὶ κενὰς ἀϖέδειξεν. XV.

Ἀλλά μοι σύνες ἐνταῦθα, ἀγαπητὲ, τῆς τοῦ σωτῆρος ἡμῶν βασιλείας τὸ πλάτος, καὶ τῆς ἐφ' ἡμῖν οἰκονομίας τὸ εὐτεχνὲς· ἑκατὸν μὲν γὰρ εἶναι φησὶ τὰ πρόβατα, εἰς πληθὺν ἀναφέρων τὴν ἀρτίως ἔχουσαν καὶ τελειοτάτην, τῶν ὑποζευγμένων αὐτῷ λογικῶν τὸν ἀριθμὸν· ἀεὶ γάρ πως ἐστὶ τέλειος, ὁ ἑκατὸν ἀριθμὸς, ἐκ δέκα δεκάδων συγκείμενος· μεμαθήκαμεν δὲ καὶ ἐκ τῆς Θεοπνεύστου γραφῆς, ὅτι χίλιαι χιλιάδες λειτουργοῦσι θεῷ, καὶ μύριαι μυριάδες τὸν ὑπέρτατον αὐτοῦ ϖεριεστήκασι θρόνον· ἑκατὸν οὖν v. 4. p. 207. a.

xv. ἆρα τὰ πρόβατα· πεπλάνηται δὲ ἓν ἐξ αὐτῶν, τοὐτέστι τὸ ἐπὶ γῆς γένος, ὃ δὴ καὶ ἐζήτησεν ὁ πάντων ἀρχιποίμην, ἀφεὶς ἐν τῇ ἐρήμῳ, τῷ ἄνω τόπῳ καὶ οὐρανίῳ τῷ πλήρει γαλήνης, τὰ ἐνενηκονταεννέα· ἆρ' οὖν ἀφειδήσας τῶν πολλῶν, τῆς ἐφ' ἑνὶ μόνῳ γέγονε φειδοῦς; οὐκ ἀφειδήσας· πόθεν; εἰσὶ γάρ εἰσιν ἐν ἀσφαλείᾳ, περιφραττούσης αὐτὰ τῆς πανσθενεστάτης χειρὸς· κατοικτείρεσθαι δὲ μᾶλλον ἐχρῆν τὸ ἀπολωλὸς, ἵνα μηδὲν ὁρῷτο τὸ ἐλλελοιπὸς τῇ ἑτέρᾳ πληθύϊ· προσεπεννενεσμένου δὲ τοῦ ἑνὸς, ἔχῃ τὸ ἴδιον κάλλος ἡ ἑκατοντὰς· καὶ φέρε τὸ χρῆμα καὶ δι' ἑτέρου παραστήσωμεν παραδείγματος, συναγορεύοντες πανταχοῦ τῇ ἀπαραβλήτῳ γαληνότητι τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ· ὑποκείσθω γὰρ ἐν ἑνὶ μὲν οἴκῳ διαιτᾶσθαι πολλοὺς, ἑνὶ δὲ συμβῆναι τὸ ἀῤῥωστίᾳ περιπεσεῖν· ἆρ' οὖν ἐπὶ τίνι κληθεῖεν ἂν οἱ θεραπεύειν εἰδότες; οὐκ ἐπὶ νόμῳ πεσόντι εἰς ἀῤῥωστίαν, ἀλλ' οὐκ ἀφειδήσαντες τῶν πολλῶν, δρῷεν ἂν τοῦτο οἱ κεκλημένοι πρὸς θεραπείαν, ἑνὶ δὲ τῷ κάμνοντι τὰς ἐκ τῆς τέχνης ἐπικουρίας δωρούμενοι, καὶ καιροῦ καὶ χρείας καλούσης εἰς τοῦτο· ἔδει δὴ οὖν ἔδει τὸν τῶν ὅλων καὶ ἐξουσιάζοντα θεὸν, τῷ πεπλανημένῳ χεῖρα νεῖμαι τὴν σώζουσαν· σέσωκεν ὁ ἀρχιποίμην· ἐζήτησε γὰρ τὸ πεπλανημένον, ἔστησεν αὐλὴν ἡμῖν ἄσυλον

καὶ ἀνάλωτον, καὶ θηρσὶ καὶ λῃστα῀ις, φημὶ δὲ XV.
τὴν ἐκκλησίαν· ἣν δὴ καὶ θαυμάζοντες, ἐκεῖνο
φαμὲν τὸ διὰ τῆς τοῦ προφήτου φωνῆς, ἰδοὺ
πόλις ὀχυρὰ καὶ σωτήριος ἡμῖν, θήσει τεῖχος
καὶ περίτειχος. Ὁ αὐτὸς δ' ἂν εἴη νοῦς τῆς εὐ-
θὺς καὶ ἐφεξῆς κειμένης παραβολῆς, ἐν ᾗ γυν-
αῖκα φησὶ δραχμὰς ἔχουσαν δέκα, μίαν ἐξ αὐ-
τῶν ἀπολέσαι· εἶτα λύχνον ἅψασαν καὶ εὑροῦ-
σαν, ᾐσθῆναι λίαν ἐπ' αὐτῷ δὴ τούτῳ, καὶ θυ-
μηδίας τῆς ἀνωτάτω πρόφασιν τὸ χρῆμα ποιή-
σασθαι· ἔχει δὲ οὕτως ἡ παραβολή.

Διὰ μὲν τῆς προτέρας παραβολῆς ἐν ᾗ πρό- v. 8.
βατον πεπλανημένον τὸ ἐπὶ τῆς γῆς ἀπεδείκνυ-
το γένος, ἐμανθάνομεν ὅτι κτίσις ἐσμὲν τοῦ ἐπὶ
πάντας θεοῦ, ὡς παρενεχθὲν εἰς ὑπάρξιν οὐκ
ὄντα ποτὲ· αὐτὸς γὰρ ἐποίησεν ἡμᾶς, καὶ οὐχ'
ἡμεῖς κατὰ τὸ γεγραμμένον· καὶ αὐτὸς μέν ἐστι
ὁ θεὸς ἡμῶν, ἡμεῖς δὲ λαὸς νομῆς αὐτοῦ, καὶ
πρόβατα τῆς χειρὸς αὐτοῦ· διὰ δὲ τῆς δευτέ-
ρας ταύτης, ἐν ᾗ δραχμῇ παρεικάζεται τὸ ἀπο-
λωλὸς, ὡς ἐκ δέκα πάλιν, τουτέστιν ἐκ τελειό-
τητος, ἤτοι πληθύος τῆς ἀρτίως ἐχούσης εἰς
ἀριθμὸν· τέλειος γὰρ καὶ ὁ δέκα, τὴν ἐκ μο-
νάδος ἀναφοίτησιν ἔχων εἰς τὸν ἑπτάκεινα δρό-
μον, διαδείκνυται σαφῶς ὅτι καθ' ὁμοίωσιν καὶ
κατ' εἰκόνα γεγόναμεν τὴν βασιλικὴν, τουτέστι
τὴν τοῦ ἐπὶ πάντας θεοῦ· ἡ γάρ τοι δραγμὴ,

xv. νόμισμά που πάντως ἐστὶ, χαρακτῆρας ἔχον βασιλικοὺς· ὅτι δὲ πεσόντες τρόπον τινὰ καὶ ἀπολωλότες εὑρήμεθα παρὰ Χριστοῦ, καὶ πρὸς αὐτὸν μεμορφώμεθα δι' ἁγιασμοῦ καὶ δικαιοσύνης, πῶς ἂν ἐνδοιάσειέ τις; γεγραφότος ὡδὶ τοῦ μακαρίου Παύλου· ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δύναμιν κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα, ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ κυρίου πνεύματος· ἐπιστέλλει δὲ καὶ Γαλάταις ὡδὶ· τεκνία, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν· γέγονε δὲ τοῦ πεσόντος ἡ ζήτησις, λύχνον ἁψάσης τῆς γυναικὸς· εὑρήμεθα γὰρ παρὰ τῆς τοῦ θεοῦ καὶ πατρὸς σοφίας, ἥ τις ἐστὶν ὁ υἱὸς, φωτὸς ἐν ἡμῖν ἀναλάμψαντος τοῦ θείου καὶ νοητοῦ ἑωσφόρου, καὶ τοῦ ἡλίου τῆς δικαιοσύνης ἀνατείλαντος, καὶ διαυγαζούσης ἡμέρας, κατὰ τὸ γεγραμμένον· καὶ γοῦν δι' ἑνὸς τῶν ἁγίων προφητῶν, ἔφη που θεὸς περὶ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ· ἐγγίζει ταχὺ ἡ δικαιοσύνη μου καὶ τὸ ἔλεός μου ἀποκαλυφθῆναι, καὶ τὸ σωτήριόν μου ὡς λαμπὰς καυθήσεται· καὶ αὐτὸς δέ φησι περὶ ἑαυτοῦ, ποτὲ μὲν ὅτι ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ποτὲ δὲ πάλιν, ὅτι ἐγὼ φῶς εἰς τὸν κόσμον τοῦτον ἐλήλυθα· ὁ ἀκολουθῶν ἐμοὶ, οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς· οὐκοῦν ἐν

φωλὶ σέσωσται τὸ ἀπολωλὸς, καὶ γέγονε ταῖς ἄνω δυνάμεσι θυμηδία τὸ χρῆμα· χαίρουσι γὰρ καὶ αὐταὶ καὶ ἐφ' ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι· καὶ τοῦτο αὐτὸς ἡμᾶς ἐδίδαξεν ὁ πάντα εἰδὼς· εἰ δὲ ἐφ' ἑνὶ τῶν σωζομένων ἑορτάζουσι, τὸν θεῖον που πάντως ἰχνηλατοῦντες σκοπὸν, καὶ ἀκαταλήκτοις εὐφημίαις τὴν τοῦ σώζοντος ἡμερότητα κατακρατεῖν εἰθισμένοι, ὁποίας ἄν τις αὐτοὺς εὐφροσύνης ἀναπίμπλασθαι φαίη ἂν, ὅλης ἀνασεσωσμένης τῆς ὑπ' οὐρανὸν, καὶ διὰ τῆς ἐν Χριστῷ πίστεως κεκλημένης εἰς ἐπίγνωσιν ἀληθείας; XV.

Δοκεῖ μέν τισι διὰ τῆς τῶν υἱῶν δυάδος, τοὺς ἁγίους ἀγγέλους κατασημαίνεσθαι, καὶ ἡμᾶς δὲ τοὺς ὄντας ἐπὶ τῆς γῆς· τὸ μὲν τοῦ πρεσβυτέρου πρόσωπον, ἅτε δὲ καὶ ζῶντος ἐπιεικῶς, τὸ τῶν ἁγίων ἀγγέλων τάγμα δηλοῦν· τὸ δέ γε τοῦ νεωτέρου τὲ καὶ ἀσώτου, τὸ γένος τὸ ἀνθρώπινον· εἰσὶ δὲ τῶν ἐν ἡμῖν τινὲς, οἳ δὴ καὶ ἑτέραν ἰόντες τρίβον, διὰ μὲν τοῦ πρεσβυτέρου καὶ εὖ βεβιωκότος υἱοῦ, καταδηλοῦσθαι φασὶ τὸν καθὰ σάρκα Ἰσραὴλ, διὰ δέ γε τοῦ ἑτέρου, ὃς καὶ ζῆν εἵλετο φιληδόνως, καὶ ἀπεφοίτησε τοῦ πατρὸς, τὴν τῶν ἐθνῶν γράφεσθαι πληθὺν· ἀπόψηφος δὲ ταῖς περὶ τούτων δόξαις, εἰμὶ μὲν ἐγὼ· δοκιμαζέτω δὲ τὸ ἀληθὲς ὁ φιλομαθὴς· ὅταν μὲν γὰρ εἰς τὸ τῶν v. 11. p. 208. a.

xv. ἀγγέλων πρόσωπον ἀναγάγωμεν τὸν γνήσιον υἱὸν, οὐχ' εὑρήσομεν αὐτὸν τὰς τοῖς ἁγίοις ἀγγελοις πρεπούσας εἰπόντα φωνὰς, οὔτε μὴν οὕτω διακείμενον καθάπερ ἐκεῖνοι περὶ τοὺς ἐπιστρέφοντας ἐξ ἁμαρτιῶν εἰς μετάνοιαν· ὁ μὲν γὰρ τῶν ὅλων σωτὴρ καὶ κύριος, χαρὰν εἶναι φησὶν ἐν οὐρανοῖς ἐνώπιον τῶν ἁγίων ἀγγέλων, ἐφ' ἑνὶ ἀνθρώπῳ ἁμαρτωλῷ μετανοοῦντι· ὅ γε μὴν ἐν τῇ προκειμένῃ παραβολῇ γραφόμενος υἱὸς ὡς εὐπαράδεκτος τῷ πατρὶ, καὶ ἀδιάβλητον ἐσχηκὼς τὸν βίον, ὀργισθῆναι λέγεται· καὶ ἀφιλαλλήλου γνώμης εἰς τοῦτο ἐλθεῖν, ὥστε καὶ ἐγκαλέσαι τῷ πατρὶ τὴν ἐπὶ τῷ σεσωσμένῳ φιλοστοργίαν· οὐ γὰρ ἠθέλησε, φησὶν, εἰς τὴν ἑστίαν εἰσελθεῖν, ἀσχάλλων ὅτι καὶ εἰσεδέχθαι μετανοῶν ὁ ἀνανήψας μόλις· τέθυται δὲ καὶ ὁ μόσχος ὑπὲρ αὐτοῦ, καὶ ὅτι τετέλεκεν ἐπ' αὐτῷ πανήγυριν ὁ πατὴρ· μάχεται δὲ τοῦτο, ὡς ἔφην, τῷ σκοπῷ τῶν ἁγίων ἀγγέλων· χαίρουσι γὰρ καὶ δοξολογοῦσι θεὸν, σωζομένους ὁρῶντες τοὺς ἐπὶ τῆς γῆς· καὶ γοῦν, ὅτε τὴν ἐν Βηθλεὲμ ἀπότεξιν καθὰ σάρκα ἐκ γυναικὸς ὑπέμεινεν ὁ υἱὸς, τοῖς μὲν ποιμέσιν εὐηγγελίζοντο λέγοντες, μὴ φοβεῖσθε ὑμεῖς· ἰδοὺ γὰρ εὐαγγελιζόμεθα ὑμῖν χαρὰν μεγάλην, ἥ τις ἔσται παντὶ τῷ λαῷ· ὅτι ἐτέχθη ὑμῖν σήμερον σωτὴρ, ὅς ἐστι Χριστὸς κύριος ἐν πόλει Δαβὶδ· ὑμνῳδίαις δὲ καὶ δο-

ξολογίαις στεφανοῦντες τὸν γεγεννημένον, ἔφα- XV.
σκον, δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰ-
ρήνη, ἐν ἀνθρώποις εὐδοκία· εἰ δὲ δή τις λέ-
γοι, τὸν κατὰ σάρκα Ἰσραὴλ σημαίνεσθαι διὰ
τοῦ γνησίου καὶ ἐπιεικοῦς υἱοῦ, ἀφίστησι πάλι-
ν ἡμᾶς τοῦ χρῆναι συναινεῖν τῇ τοιᾷδε δό-
ξῃ, τὸ καθ' οὐδένα τρόπον ἁρμόσαι τῷ Ἰσραὴλ
τὸ ἀκαταψέκτως ἐλέσθαι βιοῦν· διὰ πάσης γὰρ
ὡς ἔπος εἰπεῖν τῆς θεοπνεύστου γραφῆς, δια-
βεβλημένους ἔστιν ἰδεῖν· ὡς γὰρ ἀποστάτας καὶ
ἀπειθεῖς, εἴρηται γοῦν πρὸς αὐτοὺς διὰ φωνῆς
Ἱερεμίου, τί εὗροσαν οἱ πατέρες ὑμῶν ἐν ἐμοὶ
πλημμέλημα, ὅτι ἀπέστησαν μακρὰν ἀπ' ἐμοῦ,
καὶ ἐπορεύθησαν ὀπίσω τῶν ματαίων, καὶ ἐμα-
ταιώθησαν; συνῳδὰ δὲ τούτοις καὶ διὰ φωνῆς
Ἡσαΐου περὶ αὐτῶν ἔφη που θεὸς· ἐγγίζει μοι
ὁ λαὸς οὗτος τοῖς χείλεσιν· ἡ δὲ καρδία αὐ-
τοῦ, πόρρω ἀπέχει ἀπ' ἐμοῦ· μάτην δὲ σέβον-
ταί με διδάσκοντες διδασκαλίας ἐντάλματα ἀν-
θρώπων· εἶτα πῶς τούτοις οὕτω καταγνωσμέ-
νοις, περιθείη τίς ἂν τὰς ἐν τῇ παραβολῇ φω-
νὰς, ὡς παρὰ τοῦ γνησίου καὶ ἐπιεικοῦς υἱοῦ
προενηνεγμένας; ἔφη γάρ· ὅτι ἰδοὺ τοσαῦτα ἔτη
δουλεύω σοι, καὶ οὐδέποτε ἐντολήν σου παρῆλ-
θον· ἀλλ' οὐκ ἂν ἐσχήκασι διαβεβλημένην τὴν
ζωὴν, εἰ μὴ τὰς θείας παρατρέχοντες ἐντολὰς
πρὸς ἐξίτηλον ἐτράποντο ζωήν. Ἄλλως τε. Χρῆ-

XV. ναι γὰρ οἶμαι κἀκεῖνο εἰπεῖν· βουλόνται τινες εἰς τὸ τοῦ σωτῆρος ἡμῶν πρόσωπον ἀναφέρειν τὸν μόσχον τὸν σιτευτὸν, ὃν τέθυκεν ὁ πατὴρ κεκλιμένου πρὸς ἐπιστροφὴν τοῦ υἱοῦ· εἶτα πῶς ὁ γνήσιος υἱὸς, ὁ σοφὸς καὶ ἐπιστήμων καὶ γεγονὼς εὐπάρεδρος, ὃν δὴ καὶ εἰς πρόσωπον τῶν ἁγίων ἀγγέλων εἰσκομίζουσί τινες, ὀργῆς καὶ λύπης ἐποιεῖτο πρόφασιν τὸ σφαγῆναι τὸν μόσχον; οὐ γάρ τι λελυπημένας κατίδοι τὶς ἂν τὰς ἄνω δυνάμεις τὸν κατὰ σάρκα θάνατον ὑπομείναντος τοῦ Χριστοῦ, καὶ οἷον σφαγέντος ὑπὲρ ἡμῶν· ἔχαιρον γὰρ μᾶλλον, ὡς ἔφην, αἵματι τῷ ἁγίῳ σωζομένην ὁρῶντες τὴν ὑπ' οὐρανὸν· ἀνθότου δὴ οὖν καὶ φησὶν ὁ γνήσιος υἱὸς τὸ, ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον· τίνος γὰρ τῶν ἀγαθῶν ἐνδεῖ τοῖς ἁγίοις ἀγγέλοις; καί τοι πλούσια χειρὶ τῶν πνευματικῶν χαρισμάτων τὴν χορηγίαν ἐκνενέμηκεν αὐτοῖς ὁ τῶν ὅλων δεσπότης· ἢ καὶ ποίας ἂν ἐδεήθησαν θυσίας ἔν γε τοῖς καθ' ἑαυτοὺς; οὐ γάρ που καὶ ὑπὲρ αὐτῶν ἔδει παθεῖν τὸν Ἐμμανουήλ· εἰ δὲ δή τις οἴοιτο, καθάπερ ἤδη προεῖπον, τὸν κατὰ σάρκα Ἰσραὴλ σημαίνεσθαι διὰ τοῦ γνησίου καὶ ἐπιεικοῦς γεγονότος υἱοῦ, πῶς ἀληθεύσει λέγων· ὅτι ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον; εἴτε γὰρ μόσχος εἴτε ἔριφος ὑπὲρ ἁμαρτίας θῦμα νοοῖτο Χριστὸς, ἀλλ' οὐχ' ὑπέρ γε μόνων τέθυται τῶν

ἐθνῶν, ἀλλ' ἵνα καὶ αὐτὸν ἐξελεῖται τὸν Ἰσ- XV.
ραὴλ, ἐπὶ τῇ τοῦ νόμου παραβάσει πολλὴν ὑπο-
μείναντα τὴν κατάῤῥησιν· καὶ μαρτυρήσει γρά-
φων ὁ σοφώτατος Παῦλος· διὸ καὶ ὁ υἱὸς, ἵνα
ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαὸν, ἔξω
τῆς πύλης ἔπαθε· τίς οὖν ἄρα ἐστὶ τῆς παρα-
βολῆς ὁ σκοπὸς; πολυπραγμονήσωμεν τὴν αἰ-
τίαν, ἐφ' ᾗ καὶ γέγονεν· εἰσόμεθα γὰρ οὕτω τὸ
ἀληθὲς· ἔφη τοίνυν ὁ μακάριος οὗτος Λουκᾶς
ἐν τοῖς ὀπίσω βραχὺ περὶ πάντων ἡμῶν σωτῆ-
ρος Χριστοῦ· ἦσαν δὲ πάντες αὐτῷ ἐγγίζοντες
οἱ τελῶναι καὶ οἱ ἁμαρτωλοὶ ἀκούειν αὐτοῦ,
καὶ ἐγόγγυζον οἵ τε φαρισαῖοι καὶ οἱ γραμ-
ματεῖς, λέγοντες ὅτι οὗτος ἁμαρτωλοὺς προσ-
δέχεται, καὶ συνεσθίει αὐτοῖς· καίτοι κεκραγότων
τοίνυν τῶν γραμματέων καὶ φαρισαίων τῆς ἐν-
ούσης αὐτῷ γαληνότητος καὶ φιλανθρωπίας,
καὶ ἐγκαλούντων αὐτῷ τὸ προσδέχεσθαί τινας
τῶν ἐν βεβηλώσει ζωῆς, καὶ διδάσκειν αὐτοὺς,
ἀναγκαιοτάτην αὐτοῖς ἐποιήσατο Χριστὸς τῆς
προκειμένης παραβολῆς τὴν παράθεσιν, δι' ἧς
ἔξεστιν ἰδεῖν ἐκεῖνο καλῶς· βούλεται γὰρ ὁ τῶν
ὅλων θεὸς, καὶ τὸν εὐπάρεδρόν τε καὶ γνήσιον
ἀληθῶς, καὶ βιοῦν εἰδότα σεπτῶς, καὶ τῆς εἰς
ἄκρον ἐπιεικείας λαχόντα τὴν δόξαν, ἀκολου-
θεῖν ἐπείσεσθαι τοῖς θελήμασιν αὐτοῦ, καὶ τοῖς
καλουμένοις εἰς μετάγνωσιν, κἂν εἴ τινες εἶεν

XV. τῶν σφόδρα κατεγνωσμένων, ἐφήδεσθαι μᾶλλον, ἢ γοῦν ἀφιλάλληλον ἐπ' αὐτοῖς εἰσδέχεσθαι λύπην· πάσχομεν γὰρ ἔσθ' ὅτε τί τοιοῦτον, καὶ ἡμεῖς αὐτοὶ· ζῶσι μὲν γάρ τινες τὴν παγκάλην τὲ καὶ παναρίστην ζωὴν· ἕτερος δέ τις ἀσθενεῖ καὶ ἥττηται, πρὸς πᾶν εἶδος φαυλότητος κατενηνεγμένος· οὗτος πρὸς αὐτῷ τῷ γήρᾳ πολλάκις ἐπιστρέφει πρὸς θεὸν, καὶ τὴν ἐπὶ τοῖς προημαρτημένοις συγγνώμην αἰτεῖ, τῶν ἀμεινόνων γενόμενος ἐραστὴς, ἢ τάχά που καὶ μέλλων τὸν ἀνθρώπινον καταλύειν βίον, ἀξιοῦται τοῦ θείου βαπτίσματος, καὶ ἀποσκευάζεται τὰ ἐγκλήματα τοῦ θεοῦ κατοικτείροντος· εἶτα χαλεπαίνουσιν ἔσθ' ὅτε τινὲς ἐπ' αὐτῷ δὴ τούτῳ, καὶ φασὶν· οὗτος ὁ τὸ δέ τι πράξας, κἀκεῖνο εἰπὼν, οὐκ ἐκτέτικε τῷ κριτῇ τῶν βεβιωμένων τὰς δίκας, καὶ ἠξιώθη τῆς οὕτω λαμπρᾶς καὶ ἀξιαγάστου χάριτος, ἐν υἱοῖς ἐγράφη θεοῦ, καὶ τῇ τῶν ἁγίων τετίμηται δόξῃ· ταῦτα γὰρ ἔσθ' ὅτε παραπτύουσί τινες ἐξ ἀκαίρου μικροψυχίας, οὐχ' ἑπόμενοι τῷ σκοπῷ τοῦ πάντων πατρὸς· χαίρει γὰρ λίαν, σωζομένους ὁρῶν τοὺς ἀπολωλότας, καὶ ἀνακομίζει πρὸς τὸ ἐν ἀρχαῖς σχῆμα, διδοὺς αὐτοῖς τὸ ἐλεύθερον, καὶ στολῇ τῇ πρώτῃ καταλλύνων αὐτοὺς, καὶ δακτύλιον διδοὺς εἰς τὴν χεῖρα· τοῦτο δέ ἐστιν ἐλευθέροις πρέπουσα θεοφιλὴς εὐκοσμία.

Τοιοῦτόν τι παθόντα καταθρήσαιμεν ἂν, καὶ τὸν ὡς ἐν τύπῳ παραβολῆς γραφόμενον ἄσωτον, ὃς τὴν πατρῴαν οὐσίαν ἐν ἀλλοδαπῇ κατεδήδοκεν· ἐνδείᾳ τε τῶν ἄνωθεν ἀγαθῶν ἐφθείρετο, καὶ λιμὸς οἷά τις τῶν οὐρανίων αὐτὸν κατεβόσκετο μαθημάτων, ἐπεθύμει τε χορτασθῆναι ἀπὸ τῶν κερατίων ὧν ἤσθιον οἱ χοῖροι, ἀλλὰ διαῤῥέουσα ἡ διάκενος ἡδονὴ, κενὸν αὐτὸν κατελίμπανε, καὶ ἦν ἐν ἐνδείᾳ παντάπασιν. XV. v. 16. p. 210. b.

Ἴσως ἐρεῖς κατὰ σαυτὸν· κεκηλίδωμαι διὰ πολλῆς ἁμαρτίας· εἶτα, πῶς ἂν γενοίμην καθαρὸς ὁ οὕτω μεμολυσμένος; ἄκουε τοιγαροῦν καὶ τὰ παρ' ἡμῶν· οἶδας ὅτι πεπλημμέληκας ὅλως; ὁμολογεῖς τὴν ἀσθένειαν; διαμέμνησαι τῶν ὀλισθημάτων; ἐγγὺς εἶ τοῦ σώζεσθαι· καθάρσεως γὰρ ἀρχὴ τὸ ὁμολογεῖν ἁμαρτίας· οὕτω καὶ γέγραπται, λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς· οὐ γάρ ἐστι σκληρὸς ὁ πάντων δεσπότης· οὐκ ἀμείλικτος, χρηστὸς δὲ μᾶλλον καὶ φιλοικτείρμων καὶ ἀγαθὸς καὶ εἰδὼν τὸ πλάσμα· καὶ γὰρ, μέγα καὶ ὁμολογία καὶ φυγὴ τοῦ κακοῦ· οὕτως ἐδέχθη ὁ ἄσωτος. v. 18. p. 212. b.

Ἀλλὰ τίς ὁ μόσχος ὁ σιτευτὸς, ἢ πάντως Χριστὸς, τὸ ἄμωμον ἱερεῖον, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὁ θυόμενος καὶ ἐσθιόμενος; καθὸ γὰρ τὴν ἄλογον φύσει καὶ κτηνώδη σάρκα περιεβάλετο, κἂν αὐτὴν τῶν οἰκείων αὐχη- v. 23.

XV. μάτων πεπλήρωκε, μόσχος νοεῖται, ἀπειρόζυγος μὲν τοῦ νόμου τῆς ἁμαρτίας, σιτευτὸς δὲ καθὸ πρὸ καταβολῆς κόσμου προώριστο τὸ κατὰ Χριστὸν μυστήριον, ἡ φρικώδης καὶ μεγάλη θυσία, ἧς μετασχεῖν ἐφεῖται τοῖς ἐπανιοῦσιν ἐξ ἁμαρτίας.

CAP. XVI.

XVI. v. 1. p. 215. a. Πλὴν κἀκεῖνο φαμὲν τοῖς φιλομαθέσιν, ὅτι πλαγίως καὶ ἀσυμφανῶς ἡμῖν αἱ παραβολαὶ. πραγμάτων ὀνησιφόρων δήλωσιν εἰσκομίζουσιν ὅταν αὐτῶν ἐν βραχεῖ καὶ συνεσταλμένως τὸν νοῦν καταθρήσωμεν· οὐ γὰρ ἅπαντα τῆς παραβολῆς τὰ μέρη πολυπραγμονεῖσθαι χρὴ λεπτῶς καὶ ἐξητασμένως, ἵνα μή τε πρὸς τὸ πέρα μέτρου βαδίζων ὁ λόγος καταλυπήσῃ τῷ περιττῷ τοὺς φιλακροάμονας, μήτε μὴν ἀθολεσχίας ὄχλον ἐνεργάσηταί τισιν· οἷον καὶ ἐπὶ τῆς προκειμένης παραβολῆς· εἰ γὰρ βούλοιτό τις διατρανοῦν, τίς μὲν ἂν νοηθείη πρὸς ἡμῶν ὁ ἄνθρωπος, ὁ τὸν διαβεβλημένον ἔχων οἰκονόμον, ἢ καὶ τίς ἂν εἴη τυχὸν ὁ διαβεβληκὼς αὐτὸν, τίνες δὲ καὶ οἱ τοῖς ὀφλήμασιν ἔνοχοι, καὶ τὰς τῶν ὀφλημάτων ποιοῦντες ἀποκοπὰς, καὶ διὰ ποίαν αἰτίαν ὁ μὲν ἔλαιον, ὁ δὲ σίτον ἐποφλῆσαι λέγεται, σκοτεινὸν ἅμα καὶ περιττὸν ἀπο-

τελέσει τὸν λόγον· οὐκοῦν οὐ πάντη τε καὶ πάν- XVI.
τως ἅπαντα τῆς παραβολῆς τὰ μέρη τῇ τῶν δη-
λουμένων εἰσὶ θεωρίᾳ χρήσιμα, εἰς εἰκόνα δὲ
ληφθεῖεν ἂν ἀναγκαίου πράγματος ἀμυδρῶς
ὑποφαίνουσαν τὸ τελοῦν εἰς ὄνησιν τοῖς ἀκροω-
μένοις· ἐστὶ τοίνυν τῆς παραβολῆς τοιοῦτος ὁ
νοῦς· ὁ τῶν ὅλων θεὸς πάντας ἀνθρώπους θέ-
λει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλ-
θεῖν· ταύτῃ τοι καὶ νόμον εἰς βοήθειαν ἔδωκε,
κατὰ τὴν τοῦ προφήτου φωνήν· νόμον δὲ φαμὲν
ἐν τούτοις, οὐχὶ δή που πάντως τὸν διακονη-
θέντα διὰ Μωϋσέως, ἅπασαν δὲ μᾶλλον τὴν
θεόπνευστον γραφήν, δι' ἧς ἔνεστι μαθεῖν τὴν
εὐθὺ παντὸς ἀγαθοῦ καὶ σωτηριώδους πράγμα-
τος ἀποκομίζουσαν τρίβον· βούλεται τοίνυν ὁ
τῶν ὅλων δεσπότης, ὁλοτρόπως ἡμᾶς τοῖς εἰς
ἀρετὴν ἀνακεῖσθαι σπουδάσμασι, καὶ διαβιοῦν
ἐλέσθαι σπουδαίως καὶ ἁγίως, ἀπαλλάττοντας
ἑαυτοὺς τῶν τοῦ παρόντος βίου περισπασμῶν,
ἵνα εὐπαρέδρως καὶ ἀπερισπάτως ὑπηρετῶμεν
αὐτῷ· καὶ γοῦν διὰ μὲν τῆς τοῦ ψάλλοντος λύ-
ρας, σχολάσατε φησὶ καὶ γνῶτε ὅτι ἐγώ εἰμι
ὁ θεὸς· δι' ἑαυτοῦ δὲ πάλιν ὁ τῶν ὅλων σωτὴρ
τοῖς τὸν πλοῦτον ἔχουσι τὸν ἐπὶ τῆς γῆς, πω-
λήσατε φησὶ τὰ ὑπάρχοντα, καὶ δότε ἐλεημο-
σύνην, ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιού-
μενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς·

XVI. καὶ ἡ μὲν ἐντολὴ σωτήριος, ἀσθενὴς δὲ λίαν ὁ ἀνθρώπινος νοῦς, καὶ ἀεί πως προσπέπηγε τοῖς γεωδεστέροις· καὶ τοῦτο εἰδὼς αὐτὸς ὁ σωτὴρ ἔφησε ποῦ περὶ αὐτῶν· πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες εἰσελεύσονται εἰς τὴν βασιλείαν τοῦ θεοῦ; καὶ πάλιν· εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυπήματος ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὸν βασιλείαν τοῦ Θεοῦ· ἕως γὰρ ἔστι τις ἐν τῷ πλουτεῖν καὶ τρυφᾶν, ἀνεπιτήδευτον ἔχει τὴν εἰς Θεὸν εὐσέβειαν· ἆρ' οὖν οὐδὲ μία τοῖς πλουτοῦσι σωτηρίας ὁδὸς, ἀλλὰ πῦρ αὐτοῖς πυτρέπιστται, τὸ τῷ διαβόλῳ πρέπον καὶ τοῖς ἀγγέλοις αὐτοῦ; οὔ μεν οὖν· ἰδοὺ γὰρ ἰδοὺ πρόφασιν αὐτοῖς σωτηρίας ἀνέδειξεν ὁ σωτὴρ διὰ ταύτης τῆς παραβολῆς· ἐθαῤῥήθησαν, τὸν ἐπὶ τῆς γῆς πλοῦτον ἀφέντος αὐτοῖς ἀνεξικάκως τοῦ ἐπὶ πάντων Θεοῦ, πλὴν κατά γε τὸν ἐνόντα σκοπὸν αὐτῷ οἰκονόμοι τινὲς τίθενται τῶν πτωχευομένων· οἰκονόμοι δὲ λέγονται παρὰ τῷ τὰ οἰκεῖα ἑκάστῳ νέμειν· ἀλλ' οἰκονομοῦσιν οὐκ ὀρθῶς, οἱονεὶ σκορπίζοντες τὰ δοθέντα αὐτοῖς παρὰ τοῦ δεσπότου· μόναις γὰρ ταῖς ἑαυτῶν δαπανῶσι τρυφαῖς, καὶ προσκαίρους ὠνοῦνται τιμὰς, ἀμνημονοῦντες Θεοῦ λέγοντος, ἀνοίγων ἀνοίξεις τὰ σπλάγχνα τῷ ἀδελφῷ σου, τῷ ἐπιδεομένῳ ἐν σοὶ· ναὶ μὴν καὶ αὐτοῦ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, γενέ-

σθε οἰκτείρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν ὁ XVI.
οὐράνιος οἰκτείρμων ἐστίν· ἀλλ' οὐδεὶς αὐτοῖς,
ὡς ἔφην, τοῦ κατοικτείρειν ἀδελφοὺς ὁ λόγος,
μόνης δὲ ποιοῦνται φροντίδα τῆς ἑαυτῶν ἀγερω-
χίας· τοῦτο διαβέβληκεν αὐτοὺς παρὰ τῷ πάν-
των δεσπότῃ· δεῖ δὲ πάντως αὐτοὺς ἀποπεσεῖν
τῆς οἰκονόμιας ἐπιπηδῶντος θανάτου, καὶ τῶν
καθ' ἡμᾶς πραγμάτων ἐξέλκοντος· ἀδιάφυκτον
γὰρ ἀνθρώπῳ παντὶ τοῦ θανάτου τὸ λῖνον· τί
οὖν ἄρα δρᾶν αὐτοὺς βούλεται Χριστὸς; ἕως εἰ-
σὶν ἐν τῷδε τῷ κόσμῳ, κἂν εἰ μὴ πάντα βού-
λοιντο τὸν ἑαυτῶν πλοῦτον διανεῖμαι πτωχοῖς,
κἂν γοῦν ἐκ μέρους καταλτήσασθαι φίλους, καὶ
πολλοὺς τῆς εὐσπλαγχνίας μάρτυρας, τοὺς εὖ
πεπονθότας δηλονότι· ἵνα ὅταν αὐτοὺς ὁ ἐπίγειος
ἐκλείπῃ πλοῦτος, ἔχωσί τινα τόπον ἐν ταῖς ἐκεί-
νων σκηναῖς· καὶ γάρ ἐστι τῶν ἀμηχάνων ἄμι-
σθον γενέσθαι ποτε τὸν φιλόπτωχον, ἀλλ' εἴ-
τε ἅπαντά τις τὸν ἑαυτοῦ πλοῦτον διαδοίη τι-
σὶν, εἴτ' οὖν ἐκ μέρους, ὀνήσει πάντως τὴν ἑαυ-
τοῦ ψυχήν.

Συχνῶς ἔσθ' ὅτε ὁ τῶν ὅλων σωτὴρ, τοὺς p. 217. a.
αὐτοὺς ποιεῖται λόγους, καὶ διαφόροις περὶ
τοῦ αὐτοῦ θεωρήματος κέχρηται παραδείγμα-
σιν, ἵνα πρὸς σύνεσιν ἀκριβῆ τῶν παρ' αὐτοῦ
λεγομένων, ὁ τῶν ἀκροωμένων ἐμβιβάζηται νοῦς·
ἄθρει δέ μοι πάλιν τῶν προκειμένων ἀναγνω-

XVI. σμάτων τὴν δύναμιν· δοκεῖ δέ μοι καὶ πρό γε τῶν ἄλλων, ἐκεῖνο χρησίμως κατιδεῖν, τίνας ὅλως ὁ τοιόσδε λόγος ἔχει τὰς ἀφορμὰς· ἔσται γὰρ οὕτως εὐσύνοπτος τῶν προκειμένων ὁ νοῦς· ἐδίδασκε τοίνυν τοὺς ἐν πλούτῳ Χριστὸς ἀγαπᾶν ὅτι μάλιστα τὴν φιλοπτωχίαν, καὶ θησαυρίζειν ἐν οὐρανῷ, καὶ τῆς εἰς τὸ μέλλον εὐημερίας ποιεῖσθαι πρόνοιαν· ἀλλ' εὖ ἠπίσταλο θεὸς ὢν φύσει, τῆς ἀνθρώπου διανοίας τὸν ὄκνον, τὸν ἐπὶ παντὶ σπουδαίῳ τε καὶ ἀγαθῷ πράγματι, καὶ ὡς φιλόπλουτοι λίαν ὄντες· ἀλλ' ἠπίσταλο θεὸς ὢν φύσει, καὶ τῷ τοιῷδε πάθει τυραννούμενοι παντελῶς, οὐδένα τοῖς πτωχευομένοις νέμουσιν ἔλεον· ὅτι τοίνυν τοῖς οὕτως ἔχουσι γνώμης, οὐδὲν ὑπάρξει τῶν παρὰ θεοῦ χαρισμάτων, δῆλον δὲ ὅτι πνευματικῶν, ἐξ ἐναργεστάτων παραδειγμάτων διαδείκνυσι λέγων, ὁ πιστὸς ἐν ἐλαχίστῳ, καὶ ἐν πολλῷ πιστός ἐστι, καὶ τὰ ἑξῆς· λύσον ἡμῖν δέσποτα τὸ ζητούμενον, ἄνοιξον ἡμῶν τῆς καρδίας τὸν ὀφθαλμὸν· ἄκουε τοίνυν σαφῶς τε καὶ ἀκριβῶς, ὅπερ ἔφη· εἰ ἐν τῷ ἀδίκῳ μαμωνᾷ πιστοὶ οὐκ ἐγένεσθε, φησὶ, τὸ ἀληθινὸν τίς δώσει ὑμῖν; ἔστι δὴ οὖν τὸ ἐλάχιστον, ὁ ἄδικος μαμωνᾶς, τουτέστιν ὁ ἐπίγειος πλοῦτος· ἐξ ἁρπαγῆς ἔσθ' ὅτε καὶ πλεονεξίας συνειλεγμένος, τοῖς γε μὴν εὖ εἰδόσι βιοῦν· καὶ τὴν εἰς τὸ μέλλον ἐλπίδα δὲ δεδιφηκόσι· καὶ

ἀποφέρουσι μὲν τῶν ἐπιγείων τὸν νοῦν, φρονοῦσι δὲ μᾶλλον τὰ ἄνω· καταλογισθείη ἂν φανερῶς οὐδὲν ὁ ἐπίγειος πλοῦτος, ἀλλ' εἰς τοὺς ἐνδεεῖς ὅλον δαπανήσουσι, καλῶς αὐτὸν οἰκονομοῦντες· τοῦτο οἶμαι ἐστὶ τὸ ἐν ὀλίγῳ γενέσθαι τινὰ πιστὸν, τὸ τοῖς ἐν ἐσχάτῃ ταλαιπωρίᾳ τὴν ἀπό γε τῶν ὄντων διανέμειν ἐπικουρίαν· εἰ οὖν ἐν ὀλίγῳ γεγόναμεν ἄπιστοι, πῶς ἂν λάβοιμεν παρ' αὐτοῦ τὸ ἀληθινόν; τουτέστι τῶν θείων χαρισμάτων ἀμφιλαφῆ χορηγίαν, ψυχὴν ἀνθρώπου καλλακαλλύνουσαν, καὶ τὸ θεῖον αὐτῇ κάλλος ἐγγράφουσαν· ὅτι δὲ εἰς τοῦτο βλέπει, καὶ τέτραπται τῶν τοῦ σωτῆρος ῥημάτων ὁ σκοπὸς, καὶ διὰ τῶν ἑφεξῆς εἰδείη τίς ἂν εὖ μάλα· ἔφη γὰρ, εἰ ἐν τῷ ἀλλοτρίῳ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ὑμέτερον τίς δώσει ὑμῖν; ἀλλότριον δὲ εἶναι φαμὲν, τὴν τῶν χρημάτων περιουσίαν· οὐ γὰρ γεγεννήμεθα μετὰ πλούτου, γυμνοὶ δὲ μᾶλλον· καὶ ἀληθὲς εἰπεῖν ὅτι κατὰ τὸ γεγραμμένον, οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον· οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα· γενώμεθα οὖν πιστοὶ ἐν τῷ μικρῷ τούτῳ καὶ γηΐνῳ πλούτῳ· ὃς ἐλάχιστός ἐστι, καὶ οὐδὲν ὅτι ῥευστὸς· καὶ μὴ σφετεριζώμεθα τὰ εἰς κοινὴν τῶν ἀδελφῶν χρείαν δοθέντα ἡμῖν· ὥστε ἄδικον τὸν πλοῦτον ποιεῖν, διὰ τοῦ κατέχειν αὐτὸν· καὶ ταῦτα, ἀλλότριον ὄντα· τὸ μὲν ὅτι οὐδὲν εἰσ- XVI.

XVI. ηνέγκαμεν, τὸ δὲ ὅτι τῶν πτώχων ἐστὶν· ἵνα τὸν ἡμέτερον θεῖον καὶ οὐράνιον πλοῦτον πιστευθῶμεν, τὸν ἀληθινὸν καὶ μένοντα· ἀλλότριον μὲν γὰρ ἀνθρώπου παντὸς φυσικῶς, τὸ πλουτεῖν· ἔξωθεν γὰρ προσγίνεται καὶ ἐπισυμβαίνει τισὶ· κἂν ἀπωσυμβῇ καὶ ἀπόλοιτο, παραβλάψοι ἂν οὐδὲν παντελῶς τοὺς τῆς ἀνθρώπου φύσεως λόγους· οὐ γὰρ ἔν γε τῷ εἶναι πλούσιοι, λογικοὶ τέ ἐσμεν, καὶ ἀπάσης ἀγαθοεργίας ἐπιστήμονες, ἀλλ' ἡ τῆς φύσεως ἐπιτηδειότης, δεκτικὴ τῶν τοιούτων ἐστὶν, ὅπερ ἐστιν ἡμέτερον· ὡς γὰρ ὁ μακάριος γράφει Παῦλος, ἐκτίσθη μὲν ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ θεὸς ἵνα ἐν αὐτοῖς περιπατήσωμεν· ὅταν τοίνυν ἐν τῷ ἀλλοτρίῳ, τουτέστιν ἐν τοῖς ἔξωθεν προσγενομένοις, ἄπιστοί τινες εἶεν, πῶς ἂν λάβοιεν τὰ ἑαυτῶν; τουτέστι πῶς ἂν ἐν μεθέξει γένοιντο τῶν θεοσδότων ἀγαθῶν; ἢ πῶς κομισόμεθα τὸ ἱερόν τε καὶ ἀξιάγαστον κάλλος, ὁ ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἐγγράφει θεὸς, διαμορφῶν αὐτὰς πρὸς ἑαυτὸν; γεγόναμεν γὰρ οὕτως ἐν ἀρχαῖς· ὅτι δ' ἐστὶ τῶν ἀμηχάνων, ἕνα καὶ τὸν αὐτὸν μερίζεσθαι πρὸς τὰ ἐναντία, καὶ ἀκαταψέκτως δύνασθαι βιοῦν, διαδείκνυσι λέγων· οὐδεὶς οἰκέτης δύναται δυσὶ κυρίοις δουλεύειν κ. τ. λ.

Παράδειγμα τοῦτό σαφές τε καὶ ἐναργὲς, καὶ τῇ τῶν προκειμένων θεωρίᾳ πρεπωδέστατον· συμ-

πέρασμα δὲ ὥσπερ τοῦ παντὸς λόγου, τὸ ἐφε- XVI.
ξῆς· οὐ δύνασθε γὰρ θεῷ δουλεύειν καὶ μαμω-
νᾷ· εἰ γὰρ δή τις γένοιτο, φησὶ, δύο κυρίων
οἰκέτης, μεμερισμένων τοῖς θελήμασιν εἰς τὸ
ἐναντίον, καὶ ἀσύμβατον ἀλλήλοις ἐχόντων τὴν
γνώμην, πῶς ἂν δύναιτο ἀμφοτέροις ἀρέσαι;
μεριζόμενος γὰρ εἰς τὸ ἑκατέρῳ δοκοῦν, τοῖς
ἀμφοῖν θελήμασιν ἀνταναίσταται· πᾶσα γὰρ ἀνάγ-
κη, τὸν αὐτὸν ὁρᾶσθαι πονηρόν τε καὶ ἀγαθὸν·
οὐκοῦν εἴπερ ἔλοιτο γνήσιος ἑνὶ γενέσθαι, φη-
σὶ, μισήσει τὸν ἕτερον· ἀμήχανον δὴ οὖν θεῷ
δουλεῦσαι καὶ μαμωνᾷ· ἐπὶ θάτερον τοίνυν μετα-
θῶμεν τὴν πᾶσαν σπουδὴν, πολλὰ χαίρειν εἰ-
πόντες τῷ μαμωνᾷ· ταῦτα γὰρ ἡμῖν ὁ μέγας
εἰσηγεῖται διδάσκαλος.

Ὥσπερ τὰ τῶν ἐν τοῖς σώμασι παθῶν ἀγριώ- v. 14.
τερα, τὰς ἐκ τῶν φαρμάκων ἐπικουρίας οὐ προσ- p. 217. b.
ίεται, φεύγει δὲ ὥσπερ τὴν ἴασιν· κἂν εἴ τις
προσάγοι τὸ πεφυκὸς ὠφελεῖν, ἐξαγριοῦται μει-
ζόνως, καὶ οἷον ἀγανακτεῖ, καί τοι τῇ τέχνῃ κο-
λακεύομενα, οὕτω τὰ ἐν ταῖς τῶν ἀνθρώπων
ψυχαῖς ἐπισυμβαίνοντα πάθη σκληρὰ καὶ ἀνου-
θέτητά πως εἰσὶν ἔσθ' ὅτε, καὶ οὐδενὸς ἀνέχε-
ται λόγου καλοῦντος εἰς ἀπόστασιν τοῦ κακοῦ,
καὶ τοῖς ἀμείνοσιν ἐμβιβάζοντος· τοῦτο πεπον-
θότας εὑρήσομεν τοὺς φαρισαίους, οἳ διὰ φι-
λαργυρίαν ἐξηυτέλιζον τὰς ἀρίστας παραινέ-

XVI. σεις· καὶ δέον σεβασθῆναι, ἐμυκτήριζον ταῦτα εἰσηγούμενον δεσπότην· ἀλλ' ἡμεῖς ἐξέλωμεν τὸ τῆς φιλανθρώπιας κέντρον, ὃ καὶ εἰς ἀσέβειαν ἐγείρειν δύναται, καθάπερ ἐκείνους· μακρὸν τοιγαροῦν ἐπ' αὐτοῖς διαπανήσας λόγον ὁ τῶν ὅλων σωτὴρ, εἶτα τῶν ἰδίων σκεμμάτων καὶ παθῶν οὐκ ἀποφοιτῶντας ὁρῶν, ἐμφιλοχωροῦντας δὲ μᾶλλον τῇ συντρόφῳ σκαιότητι, τρέπεται λοιπὸν ἐπὶ τὸ δριμὺ τῶν ἐλέγχων, καιροῦ καλοῦντος εἰς τοῦτο, καὶ ἀποφαίνει ὑποκριτὰς ὄντας καὶ βωμολόχους, καὶ δόξης μὲν ἐραστὰς, ἥ περ ἂν πρέποι δικαίοις τὲ καὶ ἀγαθοῖς ἀνδράσιν, οὐ μὴν ὄντας τοῦτο κατὰ ἀλήθειαν.

v. 15. p. 218. a. Τοῦτο καὶ ἑτέρωθί που πρὸς αὐτοὺς εὑρίσκεται λέγων· πῶς δύνασθε πιστεῦσαι, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες; τὴν δὲ δόξαν τὴν παρὰ τοῦ μόνου θεοῦ οὐ ζητεῖτε· τοὺς μὲν γὰρ ἀληθῶς ὄντας ἀγαθοὺς, τοῖς εἰς δικαιοσύνην ἐπαίνοις ὁ θεὸς στεφανοῖ· οἵ γε μὴν ἀφιλάρετοι καὶ ὑποκριταὶ, τάχα τοῖς ἑαυτῶν ψήφοις, τὸ δοκεῖν εἶναι σεμνοὶ παρακλέπτουσιν· ἀλλ' οὐδεὶς, ὦ βέλτιστοι, φαίη τίς ἂν αὐτοῖς, ἑαυτὸν στεφανοῖ· γέγραπται γὰρ· ἐγκωμιαζέτω σε ὁ πέλας, καὶ μὴ τὸ σὸν στόμα· ἀλλότριος, καὶ μὴ τὰ σὰ χείλη· πλὴν κἂν εἰ δύναιντό πως λαθεῖν οἱ ὑποκριταὶ, καὶ τὰς ἐξ ἀνθρώπων ἁρπάσαι τιμὰς, ἀλλ' οὖν ὁ θεός φησι γινώσκει

τὰς καρδίας ὑμῶν, καὶ τιμᾷ μὲν δίκαιον τὸν ἀληθινὸν, σκορπίζει δὲ τὰ τῶν ἀνθρωπαρέσκων ὀστᾶ· ἀνθρωπαρεσκία γὰρ ῥίζα καὶ ἀρχὴ καὶ γένεσις τῆς μεμισημένης παρά τε θεῷ καὶ ἀνθρώποις ὑπεροψίας· καταστίξας τοίνυν τοῖς ἐλέγχοις αὐτοὺς, ἕτερόν τι τούτοις προσεπάγει Χριστὸς· ὅπερ ἔμελλον πείσεσθαι, διά γε τὴν ἐνοῦσαν αὐτοῖς ἀνοσιότητά τε καὶ ἀπείθειαν· φησὶ γὰρ· ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου κ. τ. λ. XVI.

Ἐπικρύπτει πάλιν ἀσαφείᾳ τὸ λυποῦν· καὶ καταστευασμένην ὥσπερ ποιεῖται τὴν προαγόρευσιν τῶν συμβησομένων τοῖς ἀπειθεῖν ἑλομένοις αὐτῷ· Μωϋσῆς γάρ φησι καὶ σὺν αὐτῷ τῶν ἁγίων προφητῶν ὁ χορὸς, τοῦ κατ' ἐμὲ μυστηρίου τὴν δύναμιν προκαταηγγέλκασι τοῖς ἐπὶ τῆς γῆς· καὶ ὁ νόμος ἐδήλου διὰ σκιᾶς καὶ τύπων, ὅτι καὶ τὸν τῆς σαρκὸς ὑπομενῶ θάνατον, ἵνα σώσω τὴν ὑπ' οὐρανὸν· καὶ καταργήσω τὴν φθορὰν, ἐγεγερμένος ἐκ νεκρῶν· συμβαίνοντα δὲ τοῖς Μωϋσέως νόμοις, ἐλάλησαν οἱ προφῆται· ξένον τοίνυν φησὶν οὐδὲν, ἤγουν προεγνωσμένον, ὅταν τοῖς ἐμοῖς ἀπειθήσητε λόγοις· μέχρι γὰρ Ἰωάννου τοῦ βαπτιστοῦ, ὁ τῆς προφητείας τῆς ἐπ' ἐμοὶ καὶ ὑμῖν ἐκτείνεται λόγος· ἀπὸ δέ γε τῶν ἡμερῶν Ἰωάννου, ἡ βασιλεία τῶν οὐρανῶν εὐαγγελίζεται, καὶ πᾶς εἰς αὐτὴν βιάζεται· βασι- v. 16.

XVI. λείαν δὲ οὐρανῶν φησὶν ἐν τούτοις, τὴν ἐν πίστει δικαίωσιν, τὴν τῆς ἁμαρτίας ἀπόνιψιν, τὴν διά γε φημὶ τοῦ ἁγίου βαπτίσματος, τὸν διὰ τοῦ πνεύματος ἁγιασμὸν, τὴν ἐν πνεύματι προσκύνησιν, τῆς υἱοθεσίας τὸ καύχημα, τῆς μελλούσης δοθήσεσθαι τοῖς ἁγίοις δόξης τὴν ἐλπίδα· εὐαγγελίζεται τοίνυν ἡ τῶν οὐρανῶν βασιλεία, παρελθόντος εἰς μέσον τοῦ Βαπτιστοῦ, καὶ λέγοντος· ἑτοιμάσατε τὴν ὁδὸν κυρίου· καὶ καταδεικνύντος ἤδη παρόντα τὸν ἀμνὸν τοῦ θεοῦ, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου· πᾶς δὲ εἴ τις γέγονε τὸν ἱερῶν κηρυγμάτων κατήκοος καὶ ἐραστὴς, εἰσβιάζεται· τουτέστιν ἁπάσῃ προθυμίᾳ καὶ πανὶ σθένει χρώμενος, εἴσω παρελθεῖν τῆς ἐλπίδος ἐπιθυμεῖ· ὡς γὰρ ἑτέρωθί που φησὶν, ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν.

v. 17. p. 218. b. Εὐκοπώτερον εἶναι φησὶ τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν, οὔπω τοῦτο γίνεσθαι θεοῦ προστάττοντος, ἢ τοῦ νόμου μίαν κεραίαν πεσεῖν· νόμον δέ φησιν ἔσθ' ὅτε συλλήβδην ἅπασαν τὴν θεόπνευστον γραφὴν, τουτέστι τὰ Μωϋσέως καὶ προφητῶν· τίνα τοίνυν προαπηγγέλκασιν, ἃ καὶ δεῖ πάντως ἐκβῆναι πρὸς πέρας; προηγόρευσαν ὅτι διὰ πολλὴν ἀπιστίαν καὶ τρόπων ἀνοσιότητα, τῆς πρὸς θεὸν οἰκειότητος ἀπολισθήσει, καί τοι πρωτότοκος ὢν ἐν τέκνοις ὁ Ἰσραὴλ· καὶ

ὅτι τῆς παρ' αὐτοῦ ἀγάπης ἐξωσθήσεσθαι ἡ Ἰε- XVI.
ρουσαλὴμ· καὶ γοῦν ἔφη περὶ αὐτῆς, διὰ φω-
νῆς Ὡσηέ· ἰδοὺ ἐγὼ φράσσω τὴν ὁδὸν αὐτῆς ἐν
σκόλοψι, καὶ ἀνοικοδομήσω τὰς ὁδοὺς αὐτῆς·
καὶ τὴν τρίβον αὐτῆς οὐ μὴ εὕρῃ· ὁδὸς μὲν γὰρ
εὐσεβῶν εὐθεῖα ἐγένετο, καὶ οὐδὲν ἄναντες ἐν
αὐτῇ, λεῖα δὲ πάντα καὶ ἱππήλατα· φράσσεται
δὲ ἡ ὁδὸς τῆς Ἰουδαίων μήτρὸς, τουτέστιν ἀδιό-
δευτος αὐτοῖς ἡ τῆς εὐσεβείας ἀπετελέσθη τρί-
βος· ὅτι δὲ γεγόνασι σκοτεινοὶ τὸν νοῦν, καὶ
οὐ προσήκαντο τῆς τοῦ σωτῆρος δόξης τὸ φῶς,
οὐ γὰρ ἐγνώκασιν αὐτὸν, προαναπεφώνηκε, λέ-
γων, ὡς πρός γε Ἰουδαίων τὸν δῆμον· νυκτὶ ὡ-
μοίωσα τὴν μητέρα σου· ὡμοιώθη ὁ λαός μου,
ὡς οὐκ ἔχων γνῶσιν· ὅτι σὺ ἐπίγνωσιν ἀπώσω,
κἀγὼ ἀπώσομαί σε τοῦ μὴ ἱερατεύειν μοι· καὶ
ἐπελάθου νόμου θεοῦ σου, κἀγὼ ἐπιλάθωμαι
τέκνων σου· ἀκούεις ὅτι σκότῳ καὶ νυκτὶ παρει-
κάζεται, καὶ σφόδρα εἰκότως ἡ τῶν ἀπειθούν-
των πληθὺς; ἀνίσχει μὲν γὰρ τοῖς πιστεύουσιν
εἰς νοῦν καὶ καρδίαν, ὁ νοητὸς ἑωσφόρος, καὶ
ὁ τῆς δικαιοσύνης ἥλιος· σκότῳ δὲ καὶ ἀχλύϊ
νοητῇ καταμελαίνεται τῶν ὑβριζόντων τὴν οὕ-
τω λαμπρὰν καὶ ἀξιόκτητον χάριν ὁ νοῦς· καὶ
ταῦτα μὲν περὶ τῶν ἐξ Ἰσραὴλ· περὶ δὲ τῶν
ἐπεγνωκότων τὴν ἐπιφάνειαν τῆς δόξης τοῦ πάν-
των ἡμῶν σωτῆρος Χριστοῦ, δι' ἑνὸς τῶν ἁγίων

XVI. προφητῶν ὁ θεὸς καὶ παῖδὰρ ὑπισχνεῖτο, λέγων· καὶ καὶισχύσω αὐτοὺς ἐν κυρίῳ θεῷ αὐτῶν, καὶ ἐν τῷ ὀνόμαῖι κυρίου τοῦ θεοῦ αὐτῶν ὑπάρξουσι· συνῳδὰ δὲ τούτοις καὶ ὁ ψαλμῳδὸς ἐν πνεύματι φησὶ πρὸς Χρισῖὸν· κύριε ἐν τῷ φωῖὶ τοῦ προσώπου σου πορεύσονται, καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν· ὅτι καύχημα τῆς δυνάμεως αὐτῶν, σὺ εἶ· καὶ ἐν τῇ δικαιοσύνῃ σου ὑψωθήσεται τὸ κέρας ἡμῶν· καυχώμεθα γὰρ ἐν Χριστῷ, δικαιωθέντες ἐν αὐτῷ· γεγόναμεν ὑψηλοὶ, τὴν ἐκ τῆς ἁμαρτίας ταπείνωσιν ἐβεβληκότες, καὶ τῶν τῆς ἀληθείας δογμάτων τὴν ἀκριβῆ καταπλουτήσαντες γνῶσιν· τοῦτο γὰρ ἡμῖν ἐπηγγέλλετο θεὸς λέγων διὰ φωνῆς Ἡσαΐου· καὶ ἄξω τυφλοὺς ἐν ὁδῷ ᾗ οὐκ ἔγνωσαν, καὶ τρίβους ἃς οὐκ ᾔδεισαν πατῆσαι ποιήσω αὐτοὺς· ποιήσω αὐτοῖς τὸ σκότος εἰς φῶς, καὶ πάῖα τὰ σκολιὰ εἰς εὐθεῖαν· ἡμεῖς μὲν γὰρ ὄντες τυφλοὶ, πεφωτίσμεθα· καὶ τὴν ἀσυνήθη τῆς δικαιοσύνης ἐρχόμεθα τρίβον· οἱ δὲ νόμον αὐχοῦῖες παιδαγωγὸν, ἐν σκότῳ γεγόνασιν· ὡς γὰρ αὐτὸς ἔφη Χριστὸς, ἡ σκοῖία ἐτύφλωσε τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ πώρωσις ἀπὸ μέρους γέγονε τῷ Ἰσραὴλ· ἵνα βλέποντες, μὴ βλέπωσι· καὶ ἀκούοντες, μὴ ἀκούωσι· πεπαρῳνήκασι γὰρ εἰς τοὺς ἁγίους προφήτας, τετολμήκασι δὲ καὶ αὐτῷ τὰς χεῖρας ἐπ-

ενεγκεῖν τῷ καλοῦντι πρὸς σωτηρίαν καὶ ζωήν· XVI.
οὐκοῦν ἂν ἀπειθῆτε, φησὶ, κἂν τοὺς ἐμοὺς ἀσυνέτως διαμυκτηρίζητε λόγους, ἐπὶ τὴν τοῦ χρησίμου καὶ πρέποντος ἀποκομίζοντας θήραν, ἀλλ' οὐκ ἠγνοήθη ταῦτα φησὶ, ἀλλ' ἤδη προείρηται διά τε νόμου καὶ προφητῶν· ἔστι δὲ τῶν ἀμηχάνων, εἰς ἀπραξίαν διαπεσεῖν τὰς θεοῦ φωνάς· ὃ γὰρ ἥδει πάντη τε καὶ πάντως ἐσόμενον, τοῦτο προκαταμεμήνυκε· κατὰ μὲν οὖν τὸ ῥητὸν, δηλοῖ ὅτι ἀφῖκται, καταλύσων μὲν ἥκιστα ἢ ἀναιρέψων τὰ προφητῶν, ἀποπερανῶν δὲ μᾶλλον καὶ προφήτας καὶ νόμον· ἐπειδὴ γὰρ εἶπεν ὅτι ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου· ἵνα μή τις ὑπολάβοι, ὅτι ἐκβέβληνται καὶ ἠθέτηνται, διὰ τοῦτο ἐπήγαγεν· ὅτι οὐ πεσεῖται ἀπὸ τοῦ νόμου ἰῶτα ἕν, ἢ μία κεραία κατὰ τὸν Ματθαῖον.

Πύθοιτο δ' ἄν τις, ἆρά γε κατὰ τὴν εὐαγ- v. 19.
γελικὴν ἱστορίαν, τὴν λέγουσαν τὸν μὲν πτω- p. 220. a.
χὸν εἰς τὴν ἀνάπαυσιν ἀπελθεῖν, τὸν δὲ πλούσιον εἰς τὴν κόλασιν, γέγονεν ἤδη ταῦτα; καὶ ἀνταπόδοσις ἀξία ἐκληρώθη ἑκάστῳ, ἢ τῆς μελλούσης κρίσεως ἀνατυποῖ τὴν εἰκόνα ἐν τούτοις; ἀλλὰ μήν φησιν, ὁπότε ὀνομάζει Λαζάρου προσηγορίαν, ἀληθῶς γέγονε καὶ ἐπράχθη· διὰ τί γὰρ μὴ εἶπε, πτωχὸς δέ τις ἄνθρωπος, ἀλλὰ Λάζαρος; ἵνα τῇ προσηγορίᾳ δείξῃ, πεῖρα καὶ

XVI. ἀληθείᾳ ταῦτα πεπράχθαι· πρὸς ὃν ἐροῦμεν· τὴν κρίσιν (*) ἔσεσθαι μετὰ τὴν ἀνάστασιν τῶν νεκρῶν, ἡ θεία πανταχοῦ λέγει γραφή· ἀνάστασις δὲ οὐκ ἔσται, μὴ αὖθις ἡμῖν ἐπιφοιτήσαντος τοῦ Χριστοῦ ἐξ οὐρανῶν ἐν τῇ δόξῃ τοῦ πατρὸς μετὰ τῶν ἁγίων ἀγγέλων· οὕτω καὶ ὁ πάνσοφος Παῦλος φησὶν, ὅτι αὐτὸς ὁ κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ· σαλπίσει γὰρ, καὶ οἱ νεκροὶ ἐγερθήσονται ἐν Χριστῷ ἄφθαρτοι· οὔπω τοίνυν ἐξ οὐρανῶν καταβεβηκότος τοῦ πάντων κριτοῦ, οὐδὲ ἡ τῶν νεκρῶν γέγονεν ἀνάστασις· εἶτα, πῶς οὐκ ἀπίθανον ἐννοεῖν, ὅτι γέγονεν ἤδη τισὶν ἀνταπόδοσις, ἢ πονηρῶν ἔργων ἢ ἀγαθῶν; ἔστι τοίνυν παραβολῆς τρόπος ἐσχηματισμένος ἀστείως, τά τε ἐπὶ τῷ πλουσίῳ καὶ τῷ Λαζάρῳ εἰρημένα παρὰ Χριστοῦ· ἔχει δὲ ὁ λόγος, ὡς ἡ ἑβραίων παράδοσις ἔχει, Λάζαρον εἶναί τινα κατ' ἐκεῖνο καιροῦ ἐν τοῖς Ἱεροσολύμοις, ἐσχάτῃ συνόντα πτωχείᾳ καὶ ἀῤῥωστίᾳ, οὗ καὶ μνημονεῦσαι τὸν κύριον, ὡς εἰς παράδειγμα λαμβάνοντα τοῦτον εἰς ἐμφανεστέραν τοῦ λόγου δήλωσιν· οὔπω τοίνυν ἐξ οὐρανῶν καταφοιτήσαντος τοῦ Χριστοῦ, οὔτε ἀνάστασις γέγονεν, οὔτε πράξεων ἀνταπό-

(*) Universale iudicium intellige, et plenam illam quam anima simul cum corpore consequetur remunerationem.

δοσις ἠκολούθησέ τισιν· ἀλλ' ὡς ἐν εἰκόνι, τῇ ΧΥΙ.
παραβολῇ γέγραπται πλούσιος τρυφῶν καὶ ἀφιλοικτίρμων, καὶ πένης ἐν ἀῤῥωστίᾳ· ἵν' εἰδεῖεν ὡς οἱ τὸν ἐπὶ γῆς ἔχοντες πλοῦτον, ὡς εἰ μὴ βουληθεῖεν εἶναι χρησταὶ, καὶ εὐμετάδοτοι, καὶ κοινωνικοὶ, καὶ ταῖς τῶν πενήτων ἀνάγκαις ἐπικουρεῖν ἔλοιντο, δεινῇ καὶ ἀφύκτῳ περιπεσοῦνται δίκῃ· ἀναγκαῖον δὲ οἶμαι πρότερον εἰπεῖν, ποία γέγονεν ἡ τοῦ λόγου πρόφασις, ἢ ποίου πράγματος εἰς παράδειξιν, τὴν προκειμένην παραβολὴν ἄρισται διαμορφοῖ καὶ διαπλάττει Χριστὸς· ἀπετέλει τοίνυν ἡμᾶς ὁ σωτὴρ τεχνίτας εἰς ἀγαθοεργίαν, καὶ τοῖς ἐξ ἀρετῶν αὐχήμασιν ἐβούλετο διαπρέπειν· ἤθελε γὰρ εἶναι φιλαλλήλους, καὶ φιλοπτωχίας ἐπιμελητὰς· καὶ τῶν εἰς τοῦτο σπουδασμάτων ἔχεσθαι νεανικῶς· μάλιστα δὲ τοῖς ἐν τῷδε τῷ κόσμῳ πλουσίοις τὰς ἐπ' αὐτῷ δὴ τούτῳ παραινέσεις συντιθεὶς, καὶ εἰς ὁδὸν αὐτοὺς ἀποφέρων τὴν τοῖς ἁγίοις πρεπωδεστάτην, ἔφασκε· πωλήσατε τὰ ὑπάρχοντα, καὶ δότε ἐλεημοσύνην· καὶ ἡ μὲν ἐντολὴ καλή τε καὶ ἀγαθὴ καὶ σωτήριος· οὐκ ἠγνόησε δὲ Χριστὸς, ὅτι τὸ δύνασθαι κατορθοῦν τὸ κεκελευσμένον, οὐκ ἔνεστι τοῖς πολλοῖς· ἀσθενεῖ γὰρ ἀεὶ πρὸς τὰ δυσχερῆ καὶ δυσήνυτα τῶν κατορθωμάτων, ὁ ἀνθρώπινος νοῦς· ἐπειδὴ δέ ἐστιν ἀγαθὸς καὶ φιλανθρώπινος, ἐπενόησέ τι-

XVI. να τρόπον ἐπικουρίας αὐτοῖς· ἵνα μὴ τὸν ἐνταῦθα πλοῦτον διηνεκής τε καὶ ἀναπόβλητος διαδέξηται πτωχεία, καὶ τὰς προσκαίρους τρυφὰς αἰωνία κόλασις· εἰ γὰρ μὴ ἀνέχεσθέ φησι τὸν φιλήδονον ἀφεῖναι πλοῦτον, καὶ ἀπεμπολῆσαι ὁλοκλήρους τὰς οὐσίας, καὶ διαδοῦναι τοῖς δεομένοις, κἂν γοῦν τοῖς ἐλάττοσιν ἐνευδοκιμεῖν σπουδάσατε, ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ ἀδίκου μαμωνᾶ, τουτέστι μὴ μόνον ἑαυτῶν ποιήσησθε τὸν πλοῦτον, ἀλλὰ καὶ τοῖς δεομένοις χεῖρα ἁπλώσατε· συναλγήσατε τοῖς κάμνουσι, παραμυθήσασθε ἁγίους τὴν οὐκ ἀβούλητον ἀγαπῶντας πτωχείαν, ἵν' ἀπερισπάστως τῷ θεῷ λατρεύωσιν· ἔσται δὲ τοῦτο ὑμῖν οὐκ ἄμισθον· ὅταν γὰρ ὑμῖν ὁ ἐπίγειος ἐπιλείψῃ πλοῦτος, τῷ τέλει τοῦ βίου καταλειλημμένοις, τότε κοινωνοὺς ὑμᾶς ποιήσονται τῆς ἑαυτῶν ἐλπίδος, καὶ τῆς δοθησομένης αὐτοῖς ἐκ θεοῦ παρακλήσεως· τοὺς γὰρ καμόντας ἐν τῷδε τῷ βίῳ, καὶ ἐπιεικῶς τὸ δυσαχθὲς τῆς πενίας διενεγκόντας φορτίον, ὡς ἀγαθὸς ἀνακτήσεται· τοιοῦτόν τι καὶ ὁ σοφώτατος Παῦλος τοῖς οὖσιν ἐν πλούτῳ συμβουλεύει, λέγων περὶ τῶν ταλαιπωρουμένων· τὸ ὑμῶν περίσσευμα, εἰς τὸ ἐκείνων ὑστέρημα· τοῦτο δέ ἐστιν· οὐδὲν ἕτερον ἐπιτάττοντος, πλὴν ὅπερ ἔφη Χριστὸς, ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ ἀδίκου μαμωνᾶ· ὅτι δὲ τὸ μὴ ἀνέχεσθαι

τοῦτο δρᾶν, ὀλέθρου πρόξενον καὶ πυρὸς ἀσβέ- XVI.
στου, διαδείκνυσι σαφῶς, τὴν προκειμένην ὑμῖν
ἐξυφήνας παραβολήν· ἄνθρωπος γάρ τις ἦν πλού-
σιος σφόδρα, φησὶν· ἐνταῦθα μοι βλέπε καὶ ἐπι-
τηρήσον ἀκριβῶς τοῦ σωτῆρος τοὺς λόγους, πο-
λύ τι τὸ σοφὸν ἐμφαίνοντας· καί τοι γὰρ ἐξὸν
εἰπεῖν, ὁ δεῖνα τυχὸν πλύσιος ἦν ἄνθρωπος, ὡς
ἐπὶ τοῦ Ἰωβ, τοῦτο μὲν οὐκ ἔφη· ἄνθρωπον δὲ
ἁπλῶς πλούσιον ὀνομάζει, μνημονεύει δὲ τοῦ
πένητος ὀνομαστὶ· ποία τοίνυν ἡ ἐπιτήρησις;
ἀνώνυμος ὁ πλούσιος, ὡς ἀφιλοικτείρμων, πα-
ρὰ θεῷ· ἔφη γάρ που διὰ τῆς τοῦ ψάλλοντος
φωνῆς περὶ τῶν μὴ φοβουμένων αὐτὸν, ὅτι οὐ
μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων
μου· ὀνομαστὶ δὲ ὡς ἔφην ὁ πένης ἐν γλώσσῃ
θεοῦ· πλὴν ἴδωμεν τοῦ πλουσίου ἐπ' οὐδενὶ τῶν
ἀναγκαίων ἠρμένην ὀφρῦν· τί οὖν φησι περὶ αὐ-
τοῦ ὁ Χριστὸς; καὶ ἐνεδιδύσκετο πορφύραν καὶ
βύσσον, τουτέστιν εὐειμαγεῖν ἐσπούδαζε ἐν ἐσθῆ-
τι πολυτελεστάτῃ.

Ὁ δὲ πένης ἔῤῥιπτο παρὰ τὸν πυλῶνα, νό- v. 20.
σῳ καὶ πενίᾳ πεπεδημένος, καὶ οὐδενὸς ἠξιοῦτο p. 220. b.
λόγου, φειδοῦς καὶ φροντίδος ἄμοιρος ἦν, ἐζήτει πρὸς κόρον τῆς τοῦ πλουσίου τραπέζης τὰ
παρολισθαίνοντά τε καὶ ἀχρηστότερα· ἐκολάζε-
το δὲ καὶ ἑτέρως νόσῳ χαλεπωτάτῃ· ἀλλὰ καὶ
οἱ κύνες, φησὶν, ἔλειχον τὰ ἕλκη αὐτοῦ, καὶ

XVI. οὐκ ἀδικοῦντες μᾶλλον καθά γε τὸ εἰκὸς, ἀλλ' οἷον συναλγοῦντες καὶ θεραπεύοντες, γλώττῃ γὰρ ἰδίᾳ καὶ τὰς ἑαυτῶν καθιστῶσι νόσους· οἷον ἀποξύοντες τὸ λυποῦν, καὶ φιλοφρόνως περιαλείφοντες· ὁ δὲ πλούσιος ὢν καὶ θηρῶν ἀπηνέστερος, ἀσυναλγὴς καὶ ἀφιλοικτείρμων καὶ μεστὸς ἁπάσης ἀπανθρωπίας ἠλέγχετο.

p. 223. b. Τοῖς γὰρ ἐλπίδας ἔχουσι τὰς παρὰ θεῷ, μετάστασις ἂν εἴη ἐξ ἀκακίας καὶ πόνων, ἢ ἐκ τῶν καθ' ἡμᾶς ἀπωδημία· καί τι τοιοῦτον ὁ Σολομὼν ἐδίδαξεν εἰπών· ἔδοξεν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι· καὶ ἐλογίσθη κάκωσις, ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία, σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ· καὶ ἡ ἐλπὶς αὐτῶν, ἀθανασίας πλήρης· δίδοται γὰρ αὐτοῖς ἰσοπαλὲς τοῖς πόνοις, τὸ τῆς παρακλήσεως μέτρον· ἢ τάχά που καὶ πλείους τῶν πόνων αἱ ἀμοιβαὶ· ἔφη γὰρ Χριστὸς, ὅτι μέτρον καλὸν πεπιεσμένον· σεσαλευμένον, ὑπερεκχυνομένον, δώσουσιν εἰς
v. 22. τὸν κόλπον ὑμῶν· οὐκοῦν ὁ μὲν Λάζαρος διὰ τῶν ἁγίων ἀγγέλων ἀπενήνεκται φησὶν εἰς κόλπους Ἀβραὰμ· ὁ δὲ πλούσιος ἀπέθανε, φησὶ, καὶ ἐτάφη· θάνατος γὰρ αὐτῷ σκληρῷ γεγονότι καὶ ἀφιλοικτείρμονι, τὸ ἀπαλλαγῆναι σώματος· ἄπεισι γὰρ ἐκ τρυφῆς, εἰς κόλασιν· ἐκ δόξης, εἰς ἀτιμίαν· ἐκ φωτὸς, εἰς σκότος.

CAP. XVII.

Ποίων ἄρα σκανδάλων μνημονεύει Χριστὸς, ἃ δὴ πάντη τε καὶ πάντως συμβήσεσθαι φησί; διττὰ μὲν οὖν τὰ σκάνδαλα· καὶ τὰ μὲν αὐτῶν, τῇ ὑπερτάτῃ μάχεσθαι δόξῃ, καὶ τῆς ἀνωτάτω πασῶν οὐσίας ἅπτεται, τό γε ἧκον εἰς τὸ ἐγχείρημα τῶν ἐξευρηκότων· τὰ δὲ πρὸς ἡμῶν ἔσθ' ὅτε γίνεται· διήκει δὲ μέχρι μόνου τοῦ λυπῆσαι τῶν ἀδελφῶν καὶ ὁμοπίστων τινάς· αἱ μὲν γὰρ τῶν αἱρέσεων παρευρέσεις, καὶ ὃς ἂν γένοιτο κατὰ τῆς ἀληθείας λόγος, αὐτῇ θείᾳ καὶ ὑπερτάτῃ μάχεσθαι δόξῃ· ἀποφέρει γὰρ τοὺς ἁλισκομένους, τῆς τῶν ἱερῶν δογμάτων ὀρθότητός τε καὶ ἀκριβείας· περὶ τῶν τοιούτων σκανδάλων, ἔφη που πάλιν αὐτὸς ὁ σωτὴρ· οὐαὶ τῷ κόσμῳ ἐκ τῶν σκανδάλων· ἀνάγκη γὰρ ἐλθεῖν τὰ σκάνδαλα, πλὴν οὐαὶ τῷ ἀνθρώπῳ δι' οὗ τὸ σκάνδαλον ἔρχεται· τὰ γὰρ τοιαῦτα σκάνδαλα, διά γε φημὶ τῶν ἀνοσίων αἱρετικῶν, οὐ καθ' ἑνὸς ἰδικῶς ἔρχεταί τινος· ἐπιβουλεύει δὲ μᾶλλον τῷ κόσμῳ, τουτέστι τοῖς ἐν ἁπάσῃ τῇ γῇ· τοῖς τῶν τοιούτων σκανδάλων εὑρεταῖς ἐπιπλήττει λέγων ὁ μακάριος Παῦλος· οὕτως δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς, καὶ τύπτοντες αὐτῶν ἀσθενοῦσαν τὴν συνείδησιν, εἰς Χριστὸν ἁ-

XVII. v. 1. p. 230. b.

XVII. μαρτάνεται· ἵνα δὲ τὰ τοιαῦτα σκάνδαλα μὴ καταισχύσωσι τῶν πεπιστευκότων, ἔφη που θεὸς τοῖς τὸν ὀρθὸν τῆς ἀληθείας προσβεύουσι λόγον, καὶ εὖ εἰδόσι μυσταγωγεῖν· πορεύεσθε διὰ τῶν πυλῶν μου, καὶ ὁδοποιήσατε τῷ λαῷ μου, καὶ τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαῤῥίψατε· πικρὰν δὲ τὴν δίκην ἐπήρτησεν ὁ σωτὴρ τοῖς τὰ τοιάδε τιθεῖσι σκάνδαλα· ἔοικε δέ πως, οὐ τῶν τοιούτων σκανδάλων διαμεμνῆσθαι νῦν, ἐκείνων δὲ μᾶλλον, ἅπερ δὴ συμβαίνει πλειστάκις ἐξ ἀνθρωπίνης μικροψυχίας, μεταξὺ φίλων τὲ καὶ ἀδελφῶν· ἀποφέρει δὲ ἡμᾶς, εἰς τὰς ἐπὶ τοῖς τοιούτοις ὑποψίας, ὁ γείτων εὐθὺς καὶ ἐπεννενεγμένος τοῖς πρώτοις λόγος, ὁ περί γε φημὶ τοῦ συγγινώσκειν ἀδελφοῖς, εἰ γένοιτό πως αὐτοῖς εἰς ἡμᾶς πλημμελεῖν· ποῖα τοίνυν τὰ τοιάδε σκάνδαλα; μικροψυχίαι τάχά που καὶ λύπαι, δίκαιοί τε καὶ ἄδικοι παροργισμοὶ, λοιδορίαι, καταλαλιαὶ πολλάκις, καὶ τὰ τούτοις ἀδελφὰ καὶ ὁμοειδῆ τῶν πταισμάτων· ταῦτα φησὶν οὐκ ἐνδέχεται μὴ ἐλθεῖν· ἆρ' ὡς ἀναγκαίως ἐπιφέροντος αὐτὰ τισὶ τοῦ ἐπὶ πάντας θεοῦ; μὴ γένοιτο· φαῦλον γὰρ οὐδὲν παρ' αὐτοῦ, πηγὴ δὲ μᾶλλον ἐστὶ πάσης ἀρετῆς· πῶς οὖν οὐκ ἐνδέχεται μὴ συμβαίνειν αὐτὰ; διὰ τὴν ἡμῶν που πάντως ἀσθένειαν· πολλὰ γὰρ πταίομεν ἅπαντες, κατὰ τὸ γεγραμμένον· πολὺν οὐαὶ μὲν ἔσεσθαι

φησὶ, τῷ φόβῳ τῆς δίκης, τὸ ῥᾴθυμον ἐν τού- XVII.
τοις· ἐπιτάττει γε μὴν ἀνεξικακεῖν τοῖς τιθεῖ-
σιν αὐτά.

Ἐὰν γὰρ ἐπιστρέφῃ φησὶν ὁ ἁμαρτὼν εἰς σὲ, v. 4.
καὶ καταγινώσκῃ ἑαυτοῦ, ἀφήσεις αὐτῷ· καὶ οὐχ
ἅπαξ, ἀλλὰ πλειστάκις· οὐ γὰρ εἴ τις ἀσθενεῖ
καὶ τοῦτο συχνῶς, διὰ τοῦτο ἀφιλαλλήλους ἡ-
μᾶς ὁρᾶσθαι χρὴ, καὶ ὀλιγώρως ἔχειν εἰς μα-
κροθυμίαν· δεῖ δὲ μᾶλλον ἀπομιμεῖσθαι φιλεῖν
τοὺς τῶν ἐν σώματι παθῶν ἰατροὺς, οἳ οὐχ ἅπαξ
ἢ δὶς τὸν ἀῤῥωστον θεραπεύουσι, τοσαυτάκις
δὲ μᾶλλον, ὁσάκις ἂν αὐτὸν ἀῤῥωστῆσαι συμ-
βῇ· ἐννοῶμεν γὰρ ὡς καὶ ἡμεῖς ἐσμὲν ἐν ἀσθε-
νείαις, καὶ ἡττώμεθα παθῶν· πάσχοντες δὲ τοῦ-
το, χρηστοὺς καὶ ἀμνησικάκους εἶναι πρὸς ἡμᾶς
εὐχόμεθα, τοὺς ἐπιπλήττειν ὀφείλοντας, καὶ τὴν
τοῦ χρῆναι κολάζειν ἔχοντας ἐξουσίαν· δεῖ δὴ
οὖν ἄρα ταῖς ἀλλήλων ἀσθενείαις συγκαθιστα-
μένους, ἀλλήλων τὰ βάρη βαστάζειν· ἀναπλη-
ρώσομεν γὰρ οὕτω τὸν νόμον τοῦ Χριστοῦ· ἐπι-
τήρησον δὲ ὡς ἐν τῷ κατὰ Ματθαῖον συνθά-
νεται ὁ Πέτρος καὶ φησὶ, ποσάκις ἁμαρτήσει
εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ; ἐν-
ταῦθα δὲ ὁ κύριος πρὸς τοὺς ἀποστόλους· ὅτι
κἂν ἑπτάκις τῆς ἡμέρας ἁμάρτῃ, τουτέστι πολ-
λάκις, καὶ τοσαυτάκις καταγνῷ ἑαυτοῦ, ἀφή-
σεις αὐτῷ.

XVII. v. 5. p. 231. a. Εὐφραίνει πάντως ἁγίων ψυχὴν, οὐ τῶν προσκαίρων καὶ ἐπιγείων ἡ κτῆσις, φθαρτὰ γὰρ ταῦτα καὶ εὐαπόβλητα· ἐκεῖνα δὲ μᾶλλον ἃ τοὺς λαβόντας, σεπτοὺς ἀποφαίνει καὶ μακαρίους· ταῦτα δέ εἰσι τὰ θεόσδοτα καὶ πνευματικὰ χαρίσματα δηλονότι· ὧν ἕν ἐστι καὶ ἐξαίρετον, ἡ πίστις, ἥ τοι τὸ βεβηκὸς εἰς πίστιν τὴν ἐπί γε τῷ πάντων ἡμῶν σωτῆρι Χριστῷ· ἣν δὴ καὶ ὁ Παῦλος οἶδεν οὖσαν κεφάλαιον τῶν ἐν ἡμῖν ἀγαθῶν· ἔφη γοῦν, ὅτι χωρὶς πίστεως, ἀδύνατον εὐαρεστῆσαι ποτὲ· ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι· ἄθρει δὴ οὖν τοὺς ἁγίους ἀποστόλους, τῶν ἀρχαιοτέρων ἁγίων ζηλωτὰς γεγονότας· τί γὰρ αἰτοῦσι παρὰ Χριστοῦ· πρόσθες ἡμῖν πίστιν· οὐκ αἰτοῦσι πίστιν ἁπλῶς, ἵνα μὴ ἀπίστους νομίσῃς αὐτοὺς, προσθήκην δὲ μᾶλλον πίστεως αἰτοῦσι παρὰ Χριστοῦ, τουτέστι τὴν εἰς τοῦτο βεβαίωσιν· τῆς γὰρ πίστεως, ἡ μέν ἐστιν ἐφ' ἡμῖν, ἡ δὲ κατὰ τὴν θείαν δίδοται χάριν· ἐφ' ἡμῖν μὲν γάρ ἐστι, τὸ προκατάρξασθαι, καὶ τὴν εἰς αὐτὸν ὅλῃ δυνάμει ἔχειν πεποίθησίν τε καὶ πίστιν· θείας δὲ χάριτος, ἡ εἰς τοῦτο βεβαίωσις, καὶ ἰσχύς· διὸ καὶ ἐπείπερ πάντα θεῷ δυνατὰ, πάντα φησὶν ὁ κύριος δύναται τῷ πιστεύοντι· θεοῦ γὰρ ἡ δύναμις, ἡ διὰ τῆς πίστεως ἡμῖν παραγινομένη· τοῦτο εἰδὼς καὶ ὁ μακάριος Παῦλος, ἐν τῇ πρὸς Κορινθ-

θίαυς πρώτη φησὶν· ᾧ μὲν γὰρ διὰ τοῦ πνεύμα- XVII.
τος δίδοται λόγος σοφίας· ἄλλῳ δὲ λόγος γνώ-
σεως κατὰ τὸ αὐτὸ πνεῦμα· ἑτέρῳ δὲ πίστις ἐν
τῷ αὐτῷ πνεύματι· ὁρᾷς ὡς ἐν τῷ καταλόγῳ
τῶν πνευματικῶν χαρισμάτων ἔθηκε καὶ τὴν πί-
στιν; ταύτην παρεκάλουν λαβεῖν παρὰ τοῦ σω-
τῆρος οἱ μαθηταὶ, τὴν παρ' ἑαυτῶν εἰσαγαγόν-
τες, ἣν καὶ δέδωκεν αὐτοῖς μετὰ τὴν τῆς οἰκο-
νομίας ἐκπλήρωσιν, διὰ τῆς ἐπιφοιτήσεως τοῦ
ἁγίου πνεύματος· πρὸ γὰρ τῆς ἀναστάσεως οὕ-
τω ἦν ἑδραία ἡ παρ' αὐτοῖς πίστις, ὡς καὶ ὀλι-
γοπιστίας αὐτοὺς ἐγκλήμασιν ὑποφέρεσθαι· ἀμέ-
λει συνέπλει ποτὲ τοῖς ἁγίοις ἀποστόλοις ὁ
τῶν ὅλων σωτὴρ τὴν τιβεριάδα λίμνην ἤ τοι θά-
λασσαν, καὶ εἰσεδέχετο μὲν αὐτὸς οἰκονομι-
κῶς τὸν ὕπνον· πνεύματος δὲ λαύρου διακυκῶν-
τος τὸ ῥόθιον, καὶ σκληρὸν κατὰ τοῦ σκάφους
ἐγείροντος κῦμα, τεθορύβηνται λίαν· ὥστε καὶ
ἀφυπνίσαι τὸν κύριον, λέγοντες· ἐπιστάτα, σῶ-
σον ἡμᾶς, ἀπολλύμεθα· ὁ δὲ διεγερθεὶς, φησὶν,
ἐπετίμησε τῷ κλύδωνι, καὶ τὴν τοῦ χειμῶνος
ἀγριότητα μετέστησεν εἰς εὐδίαν· ἐπῃτιᾶτο δὲ
λίαν τοὺς ἁγίους ἀποστόλους, λέγων, ποῦ ἡ πί-
στις ὑμῶν; οὐ χὰρ ἔδει θορβεῖσθαι κατά τι
γοῦν ὅλως, συνόντος αὐτοῖς τοῦ πάντων δεσπό-
του, ὃν πάντα τὰ ἔργα τρέμει καὶ σείεται· εἰ δὲ
χρή τι καὶ ἕτερον παρενεγκεῖν τῷ πρώτῳ προσ-

XVII. εοικὸς, ἐρῶ δὴ πάλιν· ἐκέλευσε τοῖς ἁγίοις ἀ-
ποστόλοις εἰσβῆναι μὲν εἰς τὸ σκάφος, προά-
γειν δὲ αὐτὸν εἰς τὸ πέραν τῆς λίμνης, οἱ δὲ
ἀμελητὶ τοῦτο δεδράκασι· ἐληλακότες δὲ στα-
δίους ὡσεὶ τριάκοντα, φησὶν, ὁρῶσι τὸν Ἰησοῦν
περιπατοῦντα ἐν τῇ θαλάσσῃ, καὶ γεγόνασι πε-
ριδεεῖς, φάσμά τι νομίσαντες εἶναι τὸ ὁρώμενον·
εἶτα, προσπεφώνηκεν αὐτοῖς λέγων· ἐγώ εἰμι,
μὴ φοβεῖσθε· ἔφη δὲ ὁ Πέτρος, εἰ σὺ εἶ, κέλευ-
σόν με εἰσελθεῖν πρὸς σὲ ἐπὶ τοῦ ὕδατος· ὁ δὲ
εἶπεν· ἐλθὲ, καὶ καταπηδήσας τοῦ σκάφους, ἤρ-
ξατο τοῦ βαδίζειν· ὡς δὲ εἶδε, φησὶ, τὸν ἄνεμον
καὶ τὸ κῦμα, ἐφοβήθη· ἀρξάμενος δὲ βαπτίζε-
σθαι, ἐφώνησε· κύριε βοήθει μοι, ὁ δὲ σέσωκε
μὲν κινδυνεύοντα, ἠτιᾶτο δὲ πάλιν λέγων· ὀλι-
γόπιστε, εἰς τί ἐδίστασας; ὅτι δὲ κατὰ τὸν τοῦ
πάθους καιρὸν, τῆς τῶν στρατιωτῶν σπείρας, καὶ
τῶν ἀνοσίων ὑπηρετῶν ἐλθόντων συλλαβέσθαι
τὸν Ἰησοῦν, πάντες ἀφέντες αὐτὸν ἔφυγον· ἠρ-
νήσατο δὲ καὶ ὁ Πέτρος, παιδίσκης μιᾶς θορυ-
βούσης αὐτὸν, οὐκ ἀσυμφανὲς· εἶδες ὀλιγοπί-
στους ἔτι τοὺς μαθητὰς, θαύμασον αὐτοὺς προσ-
θήκην λαβόντας πίστεως παρὰ τοῦ πάντων ἡμῶν
σωτῆρος Χριστοῦ· παρήγγειλεν αὐτοῖς, ἀπὸ Ἱε-
ροσολύμων μὴ χωρίζεσθαι, περιμένειν δὲ τὴν
ἐπαγγελίαν τοῦ πατρὸς, ἄχρις ἂν ἐνδύσωνται
δύναμιν ἐξ ὕψους· ἐπειδὴ δὲ γλωσσῶν ἐν εἴδει

πυρίνων καταπεφοίτηκεν ἐπ' αὐτοὺς ἡ ἐξ ὕψους XVII.
δύναμις, τοὐτέστιν ἡ διὰ τοῦ ἁγίου πνεύματος
χάρις, τότε δὴ τότε γεγόνασιν εὔτολμοι καὶ
νεανικοὶ καὶ τῷ πνεύματι ζέοντες· ὥστε καὶ θα-
νάτου καταφρονεῖν, καὶ μηδὲν ἡγεῖσθαι τὰ ἐπι-
όντα δεινὰ παρὰ τῶν ἀπίστων· καὶ σημείων δὲ
τηνικαῦτα γεγόνασιν ἀποτελεσταὶ· ὅτι δὲ μέγα
καὶ ἐξαίρετον τὸ ἀραρὸς ἐν πίστει, διαδείκνυσι
λέγων ὁ κύριος, εἰ ἔχετε πίστιν ὡς κόκκον σιν-
άπεως, τοὐτέστι θερμήν τε καὶ ζέουσαν, ἐλέ-
γετε ἂν τῇ συκαμίνῳ, ἐκριζώθητι ἐν τῇ θαλάσ-
σῃ, καὶ ὑπήκουσεν ἂν ὑμῖν· ὁ γὰρ ἐπὶ Χριστῷ
πεποιθὼς, οὐκ ἰδίᾳ δυνάμει θαῤῥεῖ· ἀπονέμει δὲ
μᾶλλον τὸ πάντα δύνασθαι κατορθοῦν αὐτῷ·
ἔστιν οὖν ὁμολογουμένως παρ' αὐτοῦ τελείωσις
ἁπάντων ἐν ψυχαῖς ἀγαθῶν· δεῖ δὲ ὅμως ἑαυ-
τοὺς παρασκευάσαι, δεκτικοὺς γίνεσθαι τῆς τοι-
αύτης χάριτος· εἰ γὰρ τὸ πεπηγὸς αὐτῷ, καὶ
κατὰ γῆς ἐῤῥιζωμένον μετακινεῖ ἡ τῆς πίστεως
δύναμις, καθόλου φαίη τίς ἂν, μηδὲν ἀκίνητον
εἶναι οὕτως ὃ μὴ σαλεύσειεν ἡ πίστις, εἰ μετα-
κινήσεως αὐτοῦ δεηθείη· ἐσείετο οὖν ἡ γῆ τῶν
ἀποστόλων εὐχομένων, ὡς αἱ τῶν ἀποστόλων
πράξεις ἱστορήκασι· δῆλον ὡς καὶ τοὐναντίον,
ἴσῃσι πίστις τὰ σαλευόμενα, οἷον καὶ ποταμίου
ῥεύματος ὀξυτάτην φορὰν, καὶ δρόμον ἄπαυστον
τῶν ἐν οὐρανῷ κινουμένων φωστήρων· ἐκείνῳ μέν

XVII. τοι προσεκτέον ἀσφαλῶς, ὡς οὐ κενὴν ἔκπληξιν, οὐδὲ μάταιον θαῦμα κινεῖ ὁ Θεὸς, ἀλλὰ πόρρω ταῦτα τῆς θείας οὐσίας, τῆς ἀτύφου καὶ ἀκομπάστου καὶ πάντως ἀληθινῆς· πρὸς ὠφέλειαν δὲ πάντως καὶ σωτηρίαν τῶν ἀνθρώπων· ταῦτα δὲ λέγω πρὸς τὸ μηδένα ζητεῖν περὶ τῆς ἱερᾶς πίστεως, καὶ τῆς θείας δυνάμεως ἀνωφελεῖς εἰ τύχῃ κινήσεις στοιχείων, ἢ μεταθέσεις ὀρῶν ἢ φυτῶν· μὴ δὲ ἀσεβεῖν, ὡς τοῦ λόγου ψευδοῦς ὄντος εἰ μὴ ταῦτα οὕτως γίνοιτο, μὴ δ' αὖ περὶ τὴν πίστιν ἀσθένειαν νομίζειν εἰ μὴ ταῦτα ἰσχύει· ἀλλ' ἔστω τὸ χρήσιμον τὸ πρὸς ὠφέλειαν ἀληθινὴν, καὶ ἡ δύναμις οὐκ ἀπολείψεται.

v. 7. p. 231. b. Ἐν τοῖς ἤδη παρῳχηκόσι, πολὺς αὐτῷ καὶ μακρὸς συμπεπέρασται λόγος, τὰς τῆς εὐδοκιμήσεως καταδεικνύντι τρίβους, καὶ τῆς ἀνεπιπλήκτου ζωῆς ἐμφανίζοντι τὰ αὐχήματα· ἵνα δι' αὐτῶν ἐρχόμενοι, καὶ πρὸς πᾶν ὁτιοῦν τῶν τεθαυμασμένων ἐπὶ πολλῇ προθυμίᾳ βαδίζοντες, εἰς τὸ βραβεῖον τῆς ἄνω κλήσεως καταντήσωμεν· ἀλλ' ἐπειδὴ πέφυκέ πως ἀεὶ ὁ ἀνθρώπινος νοῦς καταφέρεσθαι εἰς φιλοδοξίαν, καὶ τὴν εἰς τοῦτο ῥοπὴν ἑτοιμότατα νοσεῖν· ἀφορμὴ δὲ τοῦ πάθους αὐτῷ γίνεται πολλάκις τὸ ἐπί τισι τῶν ἀρίστων ἀνδραγαθημάτων εὐδοκιμῆσαι παρὰ θεῷ, παρακάλεπον δὲ τοῦτο καὶ θεῷ καταστυγημέ-

νον· καταφέρει γὰρ εἰς τοῦτο γνώμης ἔσθ' ὅτε τινὰς ὁ ἀρχέκακος δράκων, ὡς οἴεσθαι τάχά που, καὶ ὀφείλειν αὐτοῖς τὸν θεὸν τὰς ἀνωτάτω τιμὰς, ὅταν εὐκλεᾶ καὶ εὐδόκιμον ἔχωσι τὴν ζωὴν· ἵνα τῶν τοιούτων ἡμᾶς ἀπαλλάξῃ παθῶν, ὡς ἐν τάξει παραδείγματος τῶν προκειμένων ἀναγνωσμάτων τὴν δύναμιν ποιεῖται· διδάσκει γὰρ διὰ τούτων, ὅτι τῆς δεσποτικῆς ἐξουσίας ἡ δύναμις, ὡς ὄφλημα πανταχοῦ παρὰ τῶν οἰκετῶν ζητεῖ τὴν ὑποταγήν· οὐ γὰρ χάριν φησὶν ὁμολογήσει ὁ δεσπότης τῷ οἰκέτῃ, κἂν εἰ γένοιτο παρ' αὐτοῦ πᾶν ὅσπερ ἔδει γενέσθαι, κατά γε τὸ τῆς δουλείας πρέπον· ἐνταῦθα μοι βλέπε καὶ εἰς φιλεργίαν ἀκονωμένους τοὺς μαθητὰς, ἤγουν ἅπαντας τοὺς ὑπὸ σκῆπτρα κειμένους τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, καὶ οὐχ' ὡς χάριν νέμοντας αὐτῷ τὴν δουλείαν, ἀλλ' ὡς ὄφλημα κατατιθέντας τὸ πρέπον οἰκέταις, τὴν ὑποταγήν· ἀναιρεῖται δὲ διὰ τούτου, καὶ τῆς ἐπαράτου φιλοδοξίας ἡ νόσος· εἰ γὰρ ὀφειλόμενα ποιεῖς, τί μέγα φρονεῖς; οὐχ' ὁρῶν ὡς μὴ πληρώσαντι μὲν τὸ ὀφειλόμενον, κίνδυνος· πληροῦντι δὲ, χάρις οὐδὲ μία· ὅπερ καλῶς συνεὶς καὶ μεμαθηκὼς ὁ θαυμάσιος οἰκέτης Παῦλος, ἐὰν εὐαγγελίζωμαι φησὶν, οὐκ ἔστι μοι καύχημα· ἀνάγκη γάρ μοι ἐπίκειται· οὐαὶ δέ μοι, ἐὰν μὴ εὐαγγελίζωμαι· καὶ πάλιν· ὀφειλέτης εἰ- XVII.

XVII. μί φησι τοῦ κηρύγματος τῆς διδασκαλίας, ἕλλησί τε καὶ βαρβάροις, σοφοῖς τὲ καὶ ἀνοήτοις· εἰ γέγονας τοίνυν εὐδόκιμος, καὶ τὰς θείας τετήρηκας ἐντολὰς, καὶ ὑπήκουσας τοῦ δεσπότου, μὴ ἀπαίτει θεὸν ὡς ὄφλημα τὰς τιμὰς, ωρόσιθι δὲ μᾶλλον τὰ ἐκ φιλοτιμίας αἰτῶν· ἐννοήσον ὅτι οἱ καθ' ἡμᾶς δεσωόται, οὐχ' ὁμολογοῦσι χάριν, ὅταν τινες τῶν οἰκείων τὴν τεταγμένην αὐτοῖς ἀποπεραίνωσι θεραπείαν, ἐκ φιλοτιμίας δὲ ωολλάκις τὰς τῶν γνησίων εὐνοίας ἀνακτώμενοι, ἀδροτέραν αὐτοῖς τὴν δουλείαν, λόγῳ τῆς δεσποτείας χρώμενοι· ἐπειδὴ δέ ἐστιν ἀγαθὸς καὶ φιλότιμος, καὶ γέρα τοῖς κάμνουσιν ἐπαγγέλλεται· ὑπερνήχεται δὲ τοὺς ἱδρῶτας τῶν ὑποζευγμένων, τῆς φιλοτιμίας τὸ μέγεθος· καὶ ωιστώσεται γράφων ὁ Παῦλος, οὐκ ἄξια τὰ ωαθήματα τοῦ νῦν καιροῦ, ωρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς· καὶ οἰκέτας ὄντας, υἱοὺς ὀνομάζει, καὶ τῇ πρεπούσῃ τέκνοις τιμῇ στεφανοῖ· ὅρα δὲ ὅτι ωρῶτον τὴν ἑαυτοῦ σάρκα ἀρόσαντα, οὕτω χρὴ ἀλλήλους ποιμαίνειν· ὃς γὰρ οἰκίας καλῶς οὐκ οἶδε προστῆναι, πῶς ἐκκλησίας ἐπιμελήθήσεται;

v. 12. p. 232. a. Πάλιν ἡμῖν τὴν ἑαυτοῦ δόξαν ἐμφανῆ καθίστησιν ὁ σωτὴρ, καὶ διὰ τῆς θεοπρεωοῦς μεγαλουργίας ἔρχεται, σαγηνεύων εἰς πίστιν τὸν ἀκάρδιον Ἰσραὴλ· ἀλλ' ἦν καὶ οὗτος σκληρός

τε καὶ ἀπειθὴς· εἶτα, ποῖος αὐτοῖς ἐπικουρήσει λόγος ἐν ἡμέρᾳ τῆς κρίσεως, τὴν διὰ Χριστοῦ σωτήριαν οὐκ ἀνασχομένοις λαβεῖν; καὶ μάλιστα, ὅτι αὐτήκοοι γεγόνασι τῶν παρ' αὐτοῦ λόγων, καὶ θεωροὶ τῶν παραδόξων καὶ ὑπὲρ λόγον ἐνεργημάτων· καὶ γοῦν ἔφη περὶ αὐτῶν· εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· καὶ πάλιν· εἰ μὴ τὰ ἔργα ἐποίησα ἐν αὐτοῖς, ἃ οὐδεὶς ἄλλος ἐποίησεν, ἁμαρτίαν οὐκ εἶχον, νῦν δὲ καὶ ἑωράκασι καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν πατέρα μου· ἀπόδειξις ἔσται σαφὴς ὧν ἔφην ἀρτίως, ἡ τῶν λεπρῶν διακάθαρσις· οὗτοι γὰρ πόλεών τε καὶ κωμῶν ἀπελαυνόμενοι ὡς ἀκάθαρτοι κατὰ τὸν Μωϋσέως νόμον. XVII.

Ταῦτα μὲν οὖν ἱκανῶς ὡς οἶμαι προείρηται· οἵ γε μὴν λεπροὶ ὑπαντήσαντες τῷ σωτῆρι, ἐλιπάρουν ἀπαλλάττεσθαι τοῦ κακοῦ, ἐπιστάτην ὠνόμαζον, τουτέστι διδάσκαλον.

Οὐκ ἠλέει τίς αὐτοὺς παθόντας τὴν νόσον, ὁ δὲ ταύτης ἕνεκα τῆς αἰτίας ὀφθεὶς ἐπὶ γῆς, καὶ γενόμενος ἄνθρωπος ἵνα πάντας ἐλεήσῃ, αὐτὸς ἐσπλαγχνίσθη καὶ ᾤκτειρεν. v. 13. p. 232. b.

Καὶ διὰ τί μὴ μᾶλλον ἔφη, θέλω, καθαρίσθητε, καθὰ καὶ ἐφ' ἑτέρου λεπροῦ, προσέταχε δὲ μᾶλλον ἑαυτοὺς ἐπιδεῖξαι τοῖς ἱερεῦσι; νόμος ἐκάλει πρὸς τοῦτο πάλιν τοὺς τῆς λέπρας ἀπηλλαγμένους· ἐκέλευε γὰρ ἑαυτοὺς ἐπι- v. 14.

XVII. δειχνύειν τοῖς ἱερεῦσιν, καὶ θυσίαν προσάγειν ὑπὲρ τοῦ καθαρισμοῦ· ὡς οὖν ἤδη τεθεραπευμένους βαδίζειν ἐκέλευσε, καὶ τρόπον τινὰ διαμαρτύρασθαι τοὺς ἱερέας, ἤ τοι τοὺς Ἰουδαίων καθηγητὰς, τοὺς ἀεὶ βασκαίνοντας αὐτοῦ τῇ δόξῃ, ὅτι παρ' ἐλπίδα καὶ παραδόξως ἀπηλλάγησαν τοῦ κακοῦ· κατανεύσαντος αὐτοῖς τὴν ἴασιν τοῦ Χριστοῦ, οὐκ ἐθεράπευσε πρῶτον, ἀλλ' ἔπεμψε πρὸς τοὺς ἱερέας, ἐπειδὴ οἱ ἱερεῖς τὰ τεκμήρια ἤδεισαν τῆς λέπρας, καὶ τοῦ πότε θεραπεύεται· ἔπεμψε πρὸς τοὺς ἱερέας, συνέπεμψε αὐτοῖς καὶ τὴν θεραπείαν· περὶ τούτων μέν τοι καὶ τίς ὁ νόμος τῆς λέπρας, καὶ τίνα τὰ ὑπὲρ τοῦ καθαρισμοῦ, καὶ τί ἕκαστον τῶν νενομοθετημένων ἐβούλετο, ἐντελέστερον ἐν ἀρχῇ τῶν παρὰ τῷ Λουκᾷ θαυμάτων τοῦ σωτῆρος, ἔνθα ὁ λεπρὸς τεθεράπευται, διεξήλθομεν· ἀλλ' ἐκεῖσε παραπέμψαντες τοὺς φιλομαθεῖς, ἐπὶ τὰ ἑξῆς ἴωμεν.

v. 15. Πεπράχασι μὲν τὸ κεκελευσμένον οἱ δέκα, καὶ ἀπελθόντες ἐθεραπεύθησαν· εἷς δὲ μόνος ὑποστρέψας, ἀνετίθει τὰ χαριστήρια, τῶν ἐννέα τάχά που καὶ εἰς ἀχάριστον λήθην ἐμπεσόντων.

v. 20. Ὅτι ἥξει κατὰ καιροὺς ἐν εἴδει τῷ καθ' ἡμᾶς ὁ κύριος, προεκήρυττον οἱ προφῆται, καὶ τετέλεσται· ἐπέφανε γὰρ τοῖς ἐπὶ γῆς, μορφὴν

δούλου λαβὼν, ὢν δὲ καὶ οὕτως ἐν κυριότητι φυσικῇ, καὶ ἐν ἐξουσίᾳ καὶ δόξῃ τῇ θεοπρεπεῖ· τοιοῦτον γὰρ ἡμῖν αὐτὸν ἡ τῶν ἀποτελεσμάτων ἔδειξε λαμπρότης· ἀλλ' οὐ πεπίστευκας εἰς αὐτὸν, ἀσύνετε φαρισαῖε· οὐ παρεδέξω τὴν παρ' αὐτοῦ δικαίωσιν· εἶτα πῶς ἐρωτᾷς πότε ἔρχεται ἡ βασιλεία τοῦ θεοῦ; διαγελᾷ τοιγαροῦν τὸ σεπτὸν οὕτω καὶ ἀξιάγαστον ἀληθῶς μυστήριον· ἐπειδὴ γὰρ ὁ τῶν ὅλων σωτὴρ ἐν τοῖς πρὸς ἅπαντας λόγοις, διεμέμνητο παντα- χοῦ τῆς βασιλείας τοῦ θεοῦ, διὰ τοῦτο καταμειδιῶνται οἱ τάλανες· ἢ τάχά που καὶ εἰς νοῦν ἔχοντες ὅτι τὸν ἐπὶ ξύλου θάνατον ὑπομενεῖ, ταῖς αὐτῶν δυσγροπίαις σεσαγηνευμένος εἰς τοῦ- το; κατειρωνεύονται καὶ φασὶ, πότε ἔρχεται ἡ βασιλεία τοῦ θεοῦ; ἀπὸ τοῦ πρὸ τῆς παρὰ σοῦ λαλουμένης βασιλείας; σταυρός σε καὶ θάνα- τος λήψεται· τί οὖν πρὸς ταῦτα Χριστός; δεί- κνυσι πάλιν τὸ ἀνεξίκακον καὶ τὸ ἀπαράβλητον εἰς φιλανθρωπίαν· λοιδορούμενος γὰρ, οὐκ ἀν- τελοιδόρει· πάσχων, οὐκ ἠπείλει· οὐκοῦν ἐντό- μως μὲν οὐκ ἐλέγχει, πονηροὺς δὲ ὄντας, ἀπο- κρίσεως τοῖς ἐπερωτηθεῖσιν οἰκείας οὐκ ἀξιοῖ· πλὴν ἐκεῖνο μόνον φησὶν εἰς ὄνησιν ἀνθρώπου παντὸς· ἡ βασιλεία τοῦ θεοῦ ἐντὸς ὑμῶν ἐστὶ· μὴ γὰρ δὴ χρόνους ἐρωτᾶτε φησὶ, καθ' οὓς ἐπι- λάμψει πάλιν, ἤγουν ὁ καιρὸς ἐνστήσεται τῆς

XVII.

XVII. τῶν οὐρανῶν βασιλείας, σπουδάσατε δὲ μᾶλλον τυχεῖν αὐτῆς· ἐντὸς γὰρ ὑμῶν ἐστὶ, τουτέστιν ἐν ταῖς ὑμετέραις προαιρέσεσι καὶ ἐν ἐξουσίᾳ, κεῖται τὸ λαβεῖν αὐτὴν· ἔξεστι γὰρ ἀνθρώπῳ παντὶ, τὴν εἰς τὸν Χριστὸν δικαίωσιν τὴν διὰ πίστεως δηλονότι καταπλουτήσαντι, καὶ διὰ πάσης ἀρετῆς ἐκλελαμπρυσμένῳ, τῆς τῶν οὐρανῶν βασιλείας τυχεῖν.

v. 22. p. 233. a. Ταῦτα λέγων, ἑτοίμους εἶναι αὐτοὺς βούλεται πρὸς πᾶν ὁτιοῦν τῶν ἀνιᾶν πεφυκότων, καὶ προευτρεπίζεσθαι πρὸς ὑπομονήν· ἵνα εὐδόκιμοι γεγονότες, εἰσελάσαι δυνηθῶσιν εἰς τὴν τοῦ θεοῦ βασιλείαν· προαπαγγέλλει τοίνυν, ὅτι πρὸ τῆς ἐξ οὐρανῶν ἀφίξεως τῆς ἐσομένης ἐπὶ συντελείᾳ τοῦ αἰῶνος, θλῖψις προσελάσει καὶ διωγμὸς, ὥστε μίαν ἡμέραν αὐτοῦ ἰδεῖν ἐπιθυμῆσαι, τουτέστι τὴν ἐν τῷ καιρῷ τοῦ συνδιατρίβειν ἔτι καὶ συνδιαιτᾶσθαι Χριστῷ· καί τοι πλείστη τίς ἦν ἡ κατ' αὐτοῦ γενομένη τῶν Ἰουδαίων ἐξιτηλία· λίθοις γὰρ ἔβαλλον αὐτὸν, ἐδίωξαν οὐχ' ἅπαξ ἀλλὰ πλεισταίκις· ἦγον ἕως ὀφρύος τοῦ ὄρους, ἵνα κατακρημνίσωσιν αὐτὸν· λοιδορίαις λελυσσήκασι καὶ συκοφαντίαις, καὶ οὐδεὶς ἦν τρόπος σκαιότητος, τοῖς Ἰουδαίοις ἀνεπετήδευτος· πῶς οὖν ἐπιθυμήσειν εἶπε τοὺς μαθητὰς, μίαν ἡμέραν ἰδεῖν αὐτοῦ; ἀντιπαραθέ-

σει γὰρ τῶν ὑπερκειμένων κακῶν, αἱρετά πως XVII.
εἰσὶ τὰ ἐλάττονα.

Πλὴν ὅτι καταβήσεται μὲν ἐξ οὐρανοῦ οὐκ v. 24. p. 233. b.
ἀσήμως δὲ ἢ ἀσυμφανῶς, ἀλλ' ἐν δόξῃ τῇ θεοπρεπεῖ, καὶ φῶς ἀπρόσιτον οἰκῶν, διαμεμήνυκε λέγων, ὡς ἀστραπὴν ἔσεσθαι τὴν ἑαυτοῦ παρουσίαν· ἐγεννήθη μὲν γὰρ κατὰ σάρκα καὶ ἐκ γυναικὸς, τὴν ἐφ' ἡμῖν ἀποπληρώσων οἰκονομίαν· καὶ κεκένωκε διὰ τοῦτο, καὶ τεταπείνωκεν ἑαυτὸν, καὶ ἦν οὐκ ἐν δόξῃ θεότητος ἐμφανῶς· ἐκάλει γὰρ εἰς τοῦτο καιρὸς, καὶ τῆς οἰκονομίας ἡ χρεία· μετὰ δὲ τὴν ἐκ νεκρῶν ἀνάστασιν, ἀναπτὰς εἰς οὐρανὸν, καὶ συνεδρεύσας τῷ θεῷ καὶ πατρὶ, καταβήσεται πάλιν οὐκ ἐν ὑφέσει δόξης· οὔτε μὴν ἐν ἀνθρωπίνῃ μικροπρεπείᾳ, ἀλλ' ἐν τῇ τοῦ πατρὸς ὑπεροχῇ, πληθύος ἀγγέλων δορυφορούσης αὐτὸν, καὶ παριστάμενης ὡς θεῷ καὶ κυρίῳ τῶν ὅλων· ἥξει τοίνυν ὡς ἀστραπὴ, καὶ οὐ λελησθότως· καὶ οὐδενὶ πιστευτέον λέγοντι, ἰδοὺ ὧδε, ἰδοὺ ἐκεῖ.

Ὑποψίαν ἑτέραν τῆς τῶν μαθητῶν ὑποκείρει v. 25.
καρδίας· ᾠοντο γὰρ ὅτι περινοστήσας τὴν Ἰουδαίαν, εἶτα γελονὼς ἐν τοῖς Ἱεροσολύμοις, εὐθὺς ἀναδείξει τὴν τοῦ θεοῦ βασιλείαν· καὶ γοῦν προσιόντες, ἔφασκον· εἰ ἐν τῷ χρόνῳ τούτῳ κύριε ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραὴλ; ἀλλὰ καὶ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου τοῦτο

XVII. Γενέσθαι προσδοκήσασα, προσήει περὶ καθέδρας ἀξιοῦσα· οὐκοῦν ἵν' εἰδεῖεν ὅτι δεῖ πρῶτον αὐτὸν τὸ σωτήριον ὑποστῆναι πάθος, καὶ καταργῆσαι θάνατον τῷ θανάτῳ τῆς ἰδίας σαρκὸς, καὶ ἀποσβῆσαι τοῦ κόσμου τὴν ἁμαρτίαν, καταργῆσαι δὲ καὶ τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου, εἶθ' οὕτως ἀναβῆναι πρὸς τὸν πατέρα, ἐπιλάμψαι τε κατὰ καιροὺς, ἵνα κρίνῃ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, φησὶν ὅτι πρῶτον δεῖ αὐτὸν πολλὰ παθεῖν.

v. 26. Ὅτι δὴ ἀδοκήτως, καὶ οἷον εἰδότος οὐδενὸς, ἐπιλάμψαι, καὶ τὸ τοῦ παρόντος αἰῶνος ἀφίξεσθαι πέρας, οὕτω φησὶν ἔσεσθαι τὴν συντέλειαν, ὡς γέγονεν ἐν ἡμέραις Νῶε καὶ Λὼτ, ἤσθιον γάρ φησι, ἔπινον, ἐπώλουν, ἠγόραζον, ᾠκοδόμουν· ἀλλὰ τοὺς μὲν ὑδάτων ἀπώλεσε φορὰ, οἱ δὲ γεγόνασι θείου πυρὸς ἔργον καὶ τροφή· τί οὖν ἐντεῦθεν τὸ δηλούμενον; βούλεται ἡμᾶς ἐγρηγορέναι διὰ παντὸς, καὶ ἑτοίμους εἶναι πρὸς ἀπολογίαν τὴν ἐπὶ τοῦ θείου βήματος.

v. 31. p. 235. a. Ἀλογῆσαι προστάττει παντὸς ἐπιγείου καὶ προσκαίρου πράγματος, καὶ εἰς ἕνα βλέψαι σκοπὸν τὸν ἐπί γε τῷ δεῖν ἕκαστον διασῶσαι τὴν ἑαυτοῦ ψυχήν· ὃς ἂν τοίνυν ᾖ, φησὶν, ἐπὶ τοῦ δώματος, μὴ καταβήτω ἐν τῇ οἰκίᾳ ἆραι τὰ σκεύη αὐτοῦ· ἔοικε δὲ διὰ τούτων, τὸν ἐν ἀναπαύσει καὶ πλούτῳ, καὶ περιφανείαις κοσμικαῖς

βούλεσθαι δηλοῦν· ἀεὶ γάρ πως οἱ ἐν δώμασιν XVII.
ἑστηκότες, ἀπόβλεπτοι γίνονται τοῖς τὴν οἰκίαν
περιεστοχόσιν· εἴ τις τοίνυν τοιοῦτος ἐστί, φησι,
μηδένα ποιείσθω λόγον κατ' ἐκεῖνο καιροῦ τῶν
ἐναποκειμένων τῇ οἰκίᾳ σκευῶν· ἄχρηστα γὰρ
ταῦτα καὶ ἀσυντελῆ πρὸς ὄνησιν αὐτῷ· οὐ γὰρ
ὠφελοῦσι θησαυροὶ ἀνόμους, κατὰ τὸ γεγραμ-
μένον, δικαιοσύνη δὲ ῥύεται ἐκ θανάτου· ἀλλὰ
κἂν εἴ τις ᾖ, φησὶν, ἐν ἀγρῷ, μὴ ἐπιστρεψάτω
εἰς τὰ ὀπίσω, τουτέστιν εἰ εὑρίσκοιτό τις ἐν φι-
λεργίαις ὑπάρχων καὶ πόνοις, καὶ πνευματικῆς
εὐκαρπίας ἐπιμελητὴς, καὶ τοὺς ἐξ ἱδρώτων
ἀγαθῶν συλλέγων μισθοὺς, μὴ ἐπιστρεψάτω
εἰς τὰ ὀπίσω· ὡς γὰρ αὐτός που πάλιν ἔφη
Χριστὸς, οὐδεὶς βαλὼν τὴν χεῖρα ἐπ' ἄροτρον
καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς
τὴν βασιλείαν τῶν οὐρανῶν· χρὴ γὰρ ἔχεσθαι
τῶν ἱερῶν σπουδασμάτων, ἀμεταστρέπτοις ὁρ-
μαῖς, ἵνα μὴ τοῦτο πάθωμεν· ὃ δὴ καὶ συνέβη
παθεῖν τὴν ἐν Σοδόμοις γυναῖκα, ἣν δὴ καὶ
λαβὼν εἰς παράδειγμα, φησί· μνημονεύετε τῆς
γυναικὸς Λώτ· ἐξελθοῦσα γὰρ ἀπὸ Σοδόμων, v. 32.
εἶθ' ὑπονοστήλη γέγονεν ἁλὸς, τουτέστιν ἀπε-
μωράνθη καὶ ἀπολιθώθη· δεῖ δὴ οὖν ἀντέχεσθαι
νεανικῶς, τοῦ προτεθέντος σκοποῦ.

Πῶς ἀπόλλυσί τις ἑαυτοῦ ψυχὴν, ἵνα αὐτὴν v. 33.
διασώσῃ; ἢ κατά τινα τρόπον ὁ διασῶσαι νομί-

xvii. σας ἀπόλλυσιν αὐτὴν, σαφηνιεῖ λέγων ὁ Παῦλος· περὶ μὲν τῶν ἁγίων, οἱ δὲ τοῦ Χριστοῦ Ἰησοῦ, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις· οἱ γὰρ ὄντως γεγονότες γνήσιοι τῷ ἡμῶν σωτῆρι Χριστῷ, τὴν ἑαυτῶν σταυροῦσι σάρκα, τουτέστι θανατοῦσι· πόνοις δηλονότι καὶ τοῖς εἰς εὐσέβειαν ὁμιλοῦντες ἀγῶσι, καὶ κατανεκροῦντες αὐτῆς τὸ φρόνημα· γέγραπται γὰρ· νεκρώσατε τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν· οἵ γε μὴν τὸν φιλήδονον ἀγαπῶντες βίον, τάχά που τὴν ἑαυτῶν οἴονται κτᾶσθαι ψυχὴν· ἀπολλύουσι δὲ πάντως αὐτὴν· ὁ γὰρ σπείρων, φησὶν, εἰς τὴν σάρκα, ἐκ τῆς σαρκὸς θερίσει φθορὰν· ἀπολέσας δέ τις καὶ ἑτέρως τὴν ἑαυτοῦ ψυχὴν, διασώσει πάντως αὐτὴν· τοῦτο πεπράχασιν οἱ μακάριοι μάρτυρες, τοὺς μέχρι ψυχῆς καὶ αἵματος διενεγκόντες ἀγῶνας, καὶ τῆς εἰς Χριστὸν ἀγάπης τὸ γνήσιον οἷά τινα στέφανον, ταῖς ἑαυτῶν ἀνάψαντες κεφαλαῖς· οἵ γε μὴν ἐξ ἀνάνδρου ψυχῆς καὶ γνώμης ἀρνησάμενοι τὴν πίστιν, καὶ τὸν παραυτίκα τῆς σαρκὸς διαφυγόντες θάνατον, οὗτοι φονευταὶ τῆς ἑαυτῶν γεγόνασι ψυχῆς· καταισχήσονται γὰρ εἰς ᾅδου, τῆς κακανδρίας ὑφέξονται δίκας.

v. 34. p. 235. b. Διὰ μὲν τῶν ἐπὶ κλίνης ὄντων μιᾶς, ἔοικεν ὑπαινίττεσθαι τοὺς ἐν ἀναπαύσει καὶ πλούτῳ,

καὶ ἰσομοιροῦντας ἀλλήλοις, κατά γε φημὶ τὸ ἐν εὐπαθείαις εἶναι κοσμικαῖς· κλίνη γὰρ ἀναπαύσεως σύμβολον· ἀλλ' εἷς ἐξ αὐτῶν, φησι, παραληφθήσεται, καὶ εἷς ἀφίεται· πῶς ἢ τίνα τρόπον; οὐ γὰρ πάντες οἱ ἐν πλούτῳ καὶ ἀναπαύσει γεγονότες τῇ καλᾷ τόνδε τὸν βίον, πονηροὶ γεγόνασι καὶ ἀμείλικτοι· τί γὰρ; εἰ πλούσιος μὲν ἔστι τίς, χρηστὸς δὲ καὶ φιλοικτείρμων καὶ τὴν πίστιν ὀρθὸς, οὗτος παραλαμβάνεται· ὅ γε μὴν ἕτερος, ὡς μὴ γεγονὼς τοιοῦτος, ἀφεθήσεται· διὰ δὲ τῶν ἀληθουσῶν, ἔοικε τοὺς ἐν πλωχείᾳ καὶ πόνοις ὄντας ὑποδηλοῦν· ἀλλὰ καὶ ἐπ' αὐτῶν δὴ τούτων φησὶ, πολλή τίς ἐστι διαφορά· οἱ μὲν γὰρ τὸ τῆς πτωχείας φορτίον, γενναίως διήγαγον, τὸν σώφρονα καὶ ἐπιεικῆ τιμήσαντες βίον, οἱ δὲ γεγόνασιν οὐ τοιοῦτοι, δεινοὶ δὲ μᾶλλον πρὸς κακουργίας, καὶ ἁπάσης φαυλότητος ἐπιτηδευταὶ· ἔσται τοίνυν καὶ ἐπ' αὐτοῖς πλείστη τίς καὶ ἀκριβὴς τῶν τρόπων ἡ δοκιμασία· καὶ ὁ μὲν χρηστὸς, παραληφθήσεται· ὅ γε μὲν οὐ τοιοῦτος, ἀφεθήσεται. XVII.

Εἰπόντος γε μὴν τὸ παραληφθήσεται, χρησίμως καὶ ἀναγκαίως διερωτῶσιν οἱ μαθηταὶ· ποῦ κύριε; κ. τ. λ. v. 37.

Καὶ τί δὲ τοῦτο ἐστὶν; ἀπὸ κοινοῦ καὶ ἐμφανεστάτου πράγματος, μέγα καὶ βαθὺ μυστήριον ὑπαινίττεται· καὶ ποῖον τοῦτο ἐστὶ; καλα-

XVII. βήσεται μὲν γὰρ ἐξ οὐρανῶν, ἵνα κρίνῃ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ· ἀλλ' αὐτός φησιν ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ, καὶ ἐκλέξουσιν ἐκ τῶν ἁμαρτωλῶν τοὺς δικαίους καὶ ἁγίους· καὶ προσοίσουσιν αὐτῷ· τούς γε μὴν ἑτέρους ἀφιᾶσιν ἐν γῇ, κολασθησομένους δηλονότι, καὶ τῇ διὰ πυρὸς ὑποκεισομένους δίκῃ· τοιοῦτόν τι καὶ ὁ πάνσοφος Παῦλος ὑποδηλοῖ γράφων· λέγω γὰρ ὑμῖν, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας, ἀλλ' αὐτὸς σαλπίσει, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται ἄφθαρτοι, ἐν ἀτόμῳ ἐν ῥιπὶ ὀφθαλμοῦ· καὶ ἡμεῖς οἱ ζῶντες, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου, εἰς ἀέρα· καὶ οὕτως πάντοτε σὺν κυρίῳ ἐσόμεθα· ὥσπερ οὖν σώματος κειμένου νεκροῦ, τὰ σαρκοβόρα τῶν πτηνῶν ἐπ' αὐτὸ συντρέχει, οὕτως ὅταν ὁ υἱὸς τοῦ ἀνθρώπου παραγένηται, τότε δὴ πάντες οἱ ἀετοὶ, τουτέστιν οἱ τὰ ὑψηλὰ πετόμενοι, καὶ ἄνω τῶν ἐπιγείων καὶ κοσμικῶν ἀνενηγμένοι πραγμάτων, ἐπ' αὐτὸν συνδραμοῦνται· νύκτα γε μὴν ὀνομάζει, τὸν τῆς κρίσεως καιρὸν· διά τοι, καθάπερ ἡγοῦμαι, τὸ ἀσυμφανὲς καὶ ἀπροσδόκητον τῆς παρουσίας αὐτοῦ.

CAP. XVIII.

XVIII. v. 1. p. 236. a.

Ἀδιαλείπτως οὖν χρὴ προσεύχεσθαι, κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνὴν, εὖ εἰδότας καὶ ἀραρότως πιστεύοντας, ὅτι πάντα δύναται κατορθοῦν ὁ παρακαλούμενος· αἰτείτω γάρ τις, φησὶ, πίστει μηδὲν διακρινόμενος· ὁ γὰρ διακρινόμενος, ἔοικε κλύδωνι θαλάσσης, ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ· μὴ γὰρ οἰέσθω φησὶν ὁ ἄνθρωπος ἐκεῖνος, ὡς λήψηταί τι παρὰ τοῦ κυρίου· ὑβριστὴς γὰρ ὁμολογουμένως ὁ διακρινόμενος· εἰ γὰρ μὴ πεπίστευκας ὅτι τὴν σὴν αἴτησιν ἀποπεράνει, μὴ δὲ προσέλθῃς ὅλως· ἵνα μὴ κατήγορος εὑρεθῇς τοῦ πάντα ἰσχύοντος, διψυχήσας ἀβούλως· χρὴ τοιγαροῦν τὴν οὕτως αἰσχρὰν παραιτεῖσθαι νόσον· ὅτι δὲ τοῖς οὐ περιέργως ἢ ἀτημελῶς, ἀλλ' ἐν σπουδῇ καὶ ἀδιαλείπτως ποιουμένοις τὰς λιτὰς κατανεύσει ὁ Θεὸς, ἡ προκειμένη παραβολὴ πιστώσεται· εἰ γὰρ τὸν ἄδικον κριτὴν, τὸν μήτε φοβούμενον, μήτε μὲν ἄνθρωπον ἐντρεπόμενον, δεδυσώπηκε τῆς χήρας ἡ συνεχὴς πρόσοδος, ὥστε καὶ ἄκοντα ποιῆσαι τὴν ἐκδίκησιν αὐτῆς, πῶς ὁ φιλοικτίρμων καὶ μισοπόνηρος, ὁ τοῖς ἀγαπῶσιν αὐτὸν χεῖρα νέμων ἀεὶ τὴν σώζουσαν, οὐ προσδέξεται μὲν προσιόντας αὐτῷ, καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ ποιήσει

XVIII. δὲ τὴν ἐκδίκησιν αὐτῶν ὡς ἐξειλεγμένων; ἀλλὰ γάρ τινες ὅλως οἱ ἀδικοῦντες αὐτοὺς; φέρε δὴ φέρε καταθρηνήσωμεν· ἀδικοῦσιν ἁγίους πλεῖστοί τε ὅσοι καὶ ἐπὶ πολλοῖς, τὸν τῆς ἀληθείας ὀρθοτομοῦντας λόγον, οἱ τῶν ἱερῶν δογμάτων ἀνεπιστήμονες, καὶ πάσης ὀρθότητος ἀπεννηνεγμένοι· οὗτοι δέ εἰσι, τὰ μιαρὰ καὶ βέβηλα τῶν αἱρετικῶν ἐργαστήρια, ἅπερ ἂν εἴποι τις θανάτου πύλας· οὗτοι διωγμοὺς καὶ θλίψεις ἐπάγουσι τοῖς ὀρθοπροδοῦσι περὶ τὴν πίστιν· κατὰ τούτων οἱ θεῷ γνώριμοι ποιοῦνται τὰς λιτὰς, τοὺς ἁγίους ἀποστόλους ἀπομιμούμενοι, οἳ τῆς Ἰουδαίων σκαιότητος κατακεκραγότες, ἔφασκον· καὶ τὰ νῦν κύριε, ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν, καὶ δὸς τοῖς δούλοις σου μετὰ παῤῥησίας λαλεῖν τὸν λόγον σου· ἀλλὰ γὰρ ἴσως ἐρεῖ τις· τοῖς ἁγίοις ἀποστόλοις ἔφη που Χριστὸς, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, προσεύχεσθε ἐπὶ τῶν ἐπηρεαζόντων· πῶς οὖν ἄρα προσευξόμεθα κατ' αὐτῶν, εἶτα τῆς θείας οὐκ ἀλογήσομεν ἐντολῆς; πρὸς τοῦτο φαμὲν· ἆρ' οὖν εὐξόμεθα παῤῥησίαν αὐτοῖς καὶ ἰσχὺν δοθῆναι παρὰ θεοῦ, ἵνα τοὺς τὰ αὐτὰ πρεσβεύοντας μὴ ἐῶσι μυσταγωγεῖν; καὶ πῶς οὐκ εὔηθες παντελῶς τὸ χρῆμα ἐστὶν; οὐκοῦν ὅταν μὲν εἰς ἡμᾶς αὐτοὺς τὰ παρά τινων ἔρχηται πλημμελήματα, τότε δὴ τότε καύχημα ποιησόμεθα τὸ ἐπ' αὐτοῖς ἀμνησίκακον

καὶ φιλάλληλον· τότε τοὺς ἁγίους πατέρας ἀπο- XVIII.
μιμούμενοι, κἂν παίωσι, κἂν ὑβρίζωσι, κἂν
ἕτέρους ἡμῖν πλεονεξίας ἐπιφέρωσι τρόπους,
ἀπαλλάξομεν πάσης αἰτίας αὐτοὺς, κρείττους
ἐσομέθα καὶ ὀργῆς καὶ λύπης· ὅταν δέ τινες
εἰς αὐτὴν ἁμαρτάνωσι τὴν τοῦ θεοῦ δόξαν, τῶν
τὸ θεῖον ἱερουργούντων κήρυγμα, πολέμους καὶ
θλίψεις κατασωρεύοντες, τότε πρόσιμεν θεῷ,
τὴν παρ' αὐτοῦ ζητοῦντες ἐπικουρίαν, καὶ τῶν
μαχομένων αὐτοῦ τῇ δόξῃ καταικραζόντες· καθ-
άπερ ἀμέλει καὶ ὁ μέγας Μωϋσῆς· ἔφη γάρ,
ἐξεγέρθητι κύριε· διασκορπισθήτωσαν οἱ ἐχθροί
σου· φυγέτωσαν πάντες οἱ μισοῦντες τὸ ὄνομά
σου· καὶ αὐτὸ δὲ τὸ εἰρημένον παρὰ ἁγίων ἀπο-
στόλων, ἐκδείξειεν ἂν οὐκ ἀσυντελοῦν πρὸς ὄνη-
σιν τῷ θείῳ κηρύγματι, τὸ ἀσθενῆσαί πως τῶν
διωκόντων τὴν χεῖρα· ἔπιδε γάρ, φησιν, ἐπὶ τὰς
ἀπειλὰς αὐτῶν, τουτέστι ματαίωσον αὐτῶν τὰς
ἐπαναστάσεις· καὶ δὸς τοῖς δούλοις σου, μετὰ
παῤῥησίας λαλεῖν τὸν λόγον σου· ὅτι γὰρ ἤμελ-
λον τοὺς τῆς ὀρθότητος λόγους ἐκκαπηλεύειν
τινὲς, καὶ τῆς ὑγιαινούσης πίστεως ἀποφέρειν
πολλοὺς, προαναπεφώνηκε λέγων· πλὴν ὁ υἱὸς
τοῦ ἀνθρώπου ἐλθὼν ἆρα εὑρήσει τὴν πίστιν
ἐπὶ τῆς γῆς;

Οὐκ ἠγνόησε τοῦτο· πόθεν; θεὸς γάρ ἐστιν v. 8.
ὁ πάντα εἰδὼς, ὑπεμφαίνει δὲ ὅτι ψυγήσεται

XVIII. ἡ ἀγάπη τῶν πολλῶν, καὶ ἀποδραμοῦνταί τινες ἐν ἐσχάτοις καιροῖς τῆς ὀρθῆς καὶ ἀδιαβλήτου πίστεως, προσέχοντες πνεύμασι πλάνοις καὶ ψευδηγορίαις ἀνθρώπων κεκαυτηριασμένων νοῦν· καθ' ὧν ὡς οἰκέται γνήσιοι τῷ θεῷ πρόσιμεν, ἀπράκτους αὐτῶν παρακαλοῦντες ἀποφανθῆναι τὰς πονηρίας, καὶ τὰ καλὰ τῆς αὐτοῦ δόξης ἐπιχειρήματα· ἀδικοῦσι δὲ τοὺς θεῷ δουλεύοντας καὶ ἕτεροί τινες, καθ' ὧν ἀνέγκλητος ἡ παρ' ἡμῶν ἔσται πρόσοδος, ἡ διά γε τῆς προσευχῆς· τίνες δὲ οὗτοι πάλιν; αἱ πονηραὶ καὶ ἀντικείμεναι δυνάμεις, καὶ ὁ πάντων ἀντίδικος σατανᾶς· ὁ τοῖς εὖ βιοῦν ἐθέλουσιν, ἀγρίως ἀνταναστάμενος, ὁ τοῖς φαυλότητος βόθροις ἐνιεὶς τοὺς νυστάζοντας, ὁ πάσης ἡμῖν ἁμαρτίας ἐμφυτεύων σπέρματα· ἔγκειται γὰρ οὐ φορητῶς μετὰ τῶν ἰδίων ὑπασπιστῶν· καὶ ἐπ' αὐτῷ δὴ τούτῳ καταβεβόηκεν αὐτοῦ ὁ ψαλμῳδὸς, λέγων· ἕως πότε ἐπιτίθεσθε ἐπ' ἄνθρωπον; φονεύετε πάντες ὑμεῖς, ὡς τοίχῳ κεκλιμένῳ καὶ φραγμῷ ὠσμένῳ; ὥσπερ γὰρ τοῖχος ἤδη τὸ κλίνεσθαι παθὼν, καὶ φραγμὸς ὠσθεὶς ἤγουν ἀνατραπεὶς, πίπτουσιν ἑτοίμως ὠθοῦντος τινὸς, οὕτως ὁ ἀνθρώπινος νοῦς, πλείστην ἐξ ἑαυτοῦ ἔχων τὴν ῥοπὴν εἰς φιληδονίας κοσμικὰς, πίπτει πρὸς αὐτὰς ἑτοίμως, ἕλκοντός τινος καὶ καταρεθίζοντος· ἔργον δὲ τοῦτο τῷ σατανᾷ· οὐκ-

οὖν περὶ τούτων ἐροῦμεν ἐν προσευχαῖς, πρὸς XVIII.
τὸν διασῶσαι δυνάμενον· ἐκδίκησόν μου ἐκ τοῦ ἀντιδίκου μου· ὃ δὴ καὶ πέπραχεν ὁ μονογενὴς τοῦ θεοῦ λόγος γενόμενος ἄνθρωπος· ἐκβέβληκε γὰρ τῆς καθ' ἡμῶν τυραννίδος, τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου, ἐξείλετο δὲ καὶ σέσωκε, καὶ τοῖς τῆς ἑαυτοῦ βασιλείας ὑπήγαγε ζυγοῖς· καλὴ τοίνυν ἡ ἔντευξις ἡ διὰ συχνῆς προσευχῆς· προσδέξεται γὰρ ἡμῶν τὰς λιτὰς, πληρώσει τὲ τὰ αἰτήματα Χριστὸς· εἰ γὰρ τὸν κριτὴν τῆς ἀδικίας, τὸν καὶ πρὸς θεὸν καὶ πρὸς ἀνθρώπους ἀπαναιδευσάμενον, καὶ πάσης κακίας πεπληρωμένον, ἡ τῆς χήρας προσεδρεία καὶ καρτερία ἐμάλαξε, πόσῳ μᾶλλον ἡμεῖς τὸν πατέρα τοῦ ἐλέους εἰς οἶκτον ἑλκύσομεν, κἂν μακροθυμῇ πρὸς τὸ παρὸν; ἐπειράθησαν δέ τινες περιεργότερον τὴν παραβολὴν ταύτην ἑρμηνεῦσαι, χήραν μὲν τὴν ἀποβαλοῦσαν τὸν διάβολον ψυχὴν λέγοντες· ἀντίδικον δὲ αὐτῆς, αὐτὸν καθ' οὗ καὶ πρόσεισι τῷ θεῷ τῷ κριτῇ τῆς ἀδικίας, τουτέστι, τῷ κατακρίνοντι τὴν ἀδικίαν, ὃς οὐκ ἔχει θεὸν ὃν φοβηθήσεται, οὐδὲ πρόσωπον ἀνθρώπου λαμβάνει, ὃς καὶ τὴν προσεδρεύουσαν αὐτῷ ψυχὴν οἰκτείρει· ἀλλὰ ταῦτα μὲν τολμηρῶς καὶ φαύλως τινὲς ἐξελάβοντο· ὁ μέν τοι κύριος, ὅτι ἐν τῷ καιρῷ τῆς συντελείας πρὸς τοὺς τότε κινδύνους τῇ προσευχῇ συνέτονως χρη-

XVIII. στέον, ἐπιφέρει· ὅτι ἆρα ἐλθὼν εὑρήσει τὴν πίστιν; ἐν σχήματι ἐρωτήσεως τὸ σφάνιον φαριστῶν· εἴωθε γὰρ ἐπὶ τοῦ σπανίου, τῷ ἐρωτηματικῷ τρόπῳ χρᾶσθαι· ὡς κἀνταῦθα δηλῶν, ὅτι βραχεῖς ἔσονται οἱ τὴν πίστιν φυλάττοντες· καὶ ἐν ὀλίγοις αὐτὴν εὑρήσει ἐπὶ τῆς γῆς, ἐν νεφέλαις ἐλθών.

v. 9. p. 236. b. Ἵνα δὲ μάθῃς ὅσην ἔχει ζημίαν τὸ κατακρίνειν ἑτέρους, καὶ μὴ ἐπὶ τοῖς οἰκείοις πταίσμασι μετανοεῖν, ἐξ αὐτῶν σε τῶν εὐαγγελίων πιστώσομεν· λέγει τοιγαροῦν οὗτος ὁ μακάριος Λουκᾶς περὶ τοῦ σωτῆρος ἡμῶν Χριστοῦ, εἶπε δὲ αὐτοῖς καὶ παραβολὴν περὶ τῶν δικαιούντων ἑαυτοὺς, ἐξουθενούντων δὲ τοὺς ἑτέρους· καὶ τίς ἡ παραβολὴ; ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν κ. τ. λ.

Ἐνταῦθα γὰρ διδάσκει ἡμᾶς, τίνα χρὴ τρόπον τὰς πρὸς αὐτὸν ποιεῖσθαι λιτὰς, ἵνα μὴ ἄμισθον εὑρεθῇ τοῖς χρωμένοις, τὸ χρῆμα· μὴ δὲ δι' ὧν ἄν τις ὠφελεῖσθαι νομίζοι, διὰ τούτων αὐτῶν παροτρύνῃ καθ' ἑαυτοῦ τὸν τῶν ἄνωθεν χαρισμάτων δοτῆρα θεὸν· γέγραπται γὰρ· ὅτι ἔστι δίκαιος ἀπολλύμενος ἐν δικαίῳ αὐτοῦ· ἰδοὺ γὰρ ἐνταῦθα ὁ φαρισαῖος κατακέκριται, ὅτι μὴ ἐπισταμένως ἐποιεῖτο τὴν προσευχὴν· πολλὰ γὰρ κατ' αὐτὸν αὐτοῦ τὰ ἐγκλήματα· πρῶτον μὲν φορτικός ἐστι καὶ ἄγους· τεθαύμακε γὰρ

αὐτὸς ἑαυτὸν, καί τοι βοῶντος τοῦ ἱεροῦ γράμ- XVIII.
ματος· ἐγκωμιαζέτω σε ὁ πέλας, καὶ μὴ τὸ σὸν στόμα· ἀλλότριος, καὶ μὴ τὰ σὰ χείλη· εἶτα, ἠγνόησεν ὅτι τὸ κακῶν εἶναι κρεῖττονα, οὐχὶ πάντη τὲ καὶ πάντως ἀξιοθαύμαστον ἀποφαίνει τινά· τὸ δὲ ἁμιλλᾶσθαι φιλεῖν τοῖς εἰωθόσιν εὐδοκιμεῖν, λαμπρὸν καὶ διαπρεπῆ, καὶ τοῖς δικαίως τεθαυμασμένοις ἐναρίθμιον ἀπεργάζεται.

Ὁ γοῦν τελώνης εἱστήκει μακρόθεν· οὐδ' ὅσον εἰπεῖν ἀναίσχυντος τολμῶν εἰς ὕψος τοὺς ὀφθαλμοὺς· ἀλλὰ τῷ ἐρυθριῶντι βλέμματι, τὸ τῆς ψυχῆς μηνύων ἀπαρρήσιαστον. v. 13. p. 239. a.

Ὥσπερ οὖν οὐδὲ ὁ τελώνης· τί γάρ φησι περὶ αὐτοῦ, τοῦ τὰς οἰκείας ἁμαρτίας ὁμολογοῦντος, ὁ πάντων κριτὴς, ὁ τὰς καρδίας ἐπιγινώσκων, ὁ τὰς πάντων δεχόμενος προσευχὰς; λέγω ὑμῖν, κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ, ἢ γὰρ ἐκεῖνος. v. 14. p. 241. b.

Κἂν εἴ τις γὰρ γένοιτο χρηστὸς καὶ ἐπιεικὴς, μὴ ταύτης ἕνεκα τῆς αἰτίας ὑπεροψίαν νοσείτω· μεμνήσθω δὲ μᾶλλον Χριστοῦ λέγοντος τοῖς ἁγίοις ἀποστόλοις· ὅταν ταῦτα ποιήσητε, δῆλον δὲ ὅτι τὰ διατεταγμένα, λέγετε ὡς δοῦλοι ἀχρεῖοι ἐσμὲν· ὃ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν· ὀφείλομεν δὲ ὡς ἐξ ἀναγκαίου ζυγοῦ τῷ ἐπὶ πάντας θεῷ τὴν δουλείαν, τὴν ὑποταγὴν τὴν εἰς πᾶν ὁτιοῦν· ὁρᾷς ὅπως ὁ τελώνης

XVIII. τὰ ἁμαρτήματα ἀπεδύσαλο, τὴν τοῦ φαρισαίου κατηγορίαν πράως ἐνεγκών; καὶ ὁ μὲν ἀπὸ δόξης, εἰς τὸ τῆς ἀτιμίας καλέπεσε βάραθρον· ὁ δὲ ἀπὸ τῆς ἐπονειδίστου ζωῆς, εἰς τὴν μακαρίαν ἐπανῆλθε κατάστασιν· καὶ ὁ μὲν πολλῷ τῷ μέσῳ, τῆς πρὸς θεὸν ἐγγύτητος ἐκεχώρισλο· ὁ δὲ πρὸς τὴν τῆς παῤῥησίας χώραν ἀνείλκυλο· καὶ ὁ μὲν ἐξ ὄγκου τελαπείνωτο, ὁ δὲ ἐκταπεινώσεως ὕψωτο.

v. 15. p. 243. b. Προσέθει ποτὲ γύναια, καὶ δὴ καὶ βρέφη ποσεκόμιζον αἱ μητέρες, ἵνα ἐπιθῇ αὐτοῖς τὰς χεῖρας· ὄχλον δὲ τὸ χρῆμα νομίσαντες εἶναι, ἀπεῖργον οἱ μαθηταὶ· αὐτὸς δὲ καὶ λίαν ἀσμένως προσίετο, λέγων· ἄφετε, τῶν γὰρ τοιούτων, ἡ βασιλεία· ἐντεῦθεν ἀταλαίπωρον ἰδεῖν, ὡς ἀκακίας σύμβολον τὸ ἀρτιγενές ἐστι παιδίον· νέα γὰρ ὥσπερ κτίσις, τὸ βρέφος· οὐ βασκαίνοντες μέν τοι τοῖς βρέφεσιν ἐπεῖμων οἱ μαθηταὶ, ἀπονέμοντες δὲ μᾶλλον ὡς διδασκάλῳ τὸ χρεών, καὶ οἱονεὶ τὰς περιτὰς ὀχλήσεις ἀπείργοντες· οὐκ ἀσυνέτους δὲ ἡμᾶς εἶναι βούλεται Χριστὸς, φάσκων· τῶν γὰρ τοιούτων ἐστὶν, ἡ βασιλεία τῶν οὐρανῶν· ἀλλὰ τῇ κακίᾳ νηπιάζειν, ταῖς δὲ φρεσὶ τελείους ὑπάρχειν· τὸ γὰρ βρέφος, ἢ ὀλίγα παντελῶς, ἢ οὐδὲν ὅλως εἰδὸς, ἀπαλλάττοιτο ἂν εἰκότως τῆς ἐπὶ φαυλότητι καὶ πονηρίᾳ διαβολῆς· οἷς καὶ ἡμᾶς ἐξο-

μοισῦσθαι προσήκει, ἁπλοῦν καὶ ἀπόνηρον ζῶν- XVIII.
τας βίον· τελείους δὲ εἶναι χρὴ ταῖς φρεσὶν,
ἑδραῖον ἔχοντας τὸν νοῦν, εἰς τὸ εἰδέναι σαφῶς
τίς ὁ τῶν ὅλων θεὸς, καὶ διαβολικῶν σκανδά-
λων ἀποφοιτᾷν.

Ὁ ἐνθάδε λεγόμενος ἄρχων, ἀκριβὴς εἶναί v. 18.
τις ὑπονοούμενος, ὠήθη δύνασθαι ἐλέγξαι Χρι- p. 244. a.
στὸν, ἀτιμάζοντα μὲν τὴν διὰ Μωϋσέως ἐντο-
λὴν, ἰδίους δὲ νόμους εἰσκεκομικότα· προσέρ-
χεται τοίνυν, καὶ χρησϖολογεῖν ὑποπλάττεται,
διδάσκαλον γὰρ ὑποκαλεῖ, καὶ ἀγαθὸν ὀνομά-
ζει, καὶ μαθητιᾷν ἐπαγγέλλεται.

Εἰ δὲ πειράζων ἐπύθετο, εἰκότως ὁ δρασσό- v. 19.
μενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν, φη-
σὶ πρὸς αὐτὸν· εἰ μὴ ϖεπίστευκας ὅτι θεός εἰ-
μι, πῶς τὰ μόνῃ ϖρέποντα τῇ ἀνωτάτω φύσει
ϖεριτέθεικάς μοι; καὶ ἀγαθὸν ἀϖοκαλεῖς, ὃν
δὴ καὶ νενόμικας ἄνθρωπον εἶναι κατὰ σὲ· φύ-
σει γὰρ ἀγαθὸς ὁ θεὸς, καὶ ἴδιον αὐτοῦ· καὶ
οὐσιωδῶς ἐμπεφυκὸς καὶ ἐξαίρετον ἀξίωμα, τὸ
εἶναι ἀγαθὸν, κατὰ μέθεξιν δὲ ἄγγελοι καὶ
ἡμεῖς· καὶ οὗτος μὲν ὁ τοῦ λόγου σκοϖὸς γέ-
γονε τῷ Χριστῷ· οὐκ ἀνέξεται δὲ ἴσως τῆς τῶν
ἐννοιῶν ὀρθότητος, ὁ τῆς Ἀρείου δυσσεβείας
μέτοχος, φάσκων· ἰδοὺ σαφῶς ἠρνήσατο εἶναι
ἀγαθὸς, ἀνατίθησι δὲ ὡς μόνῳ πρέπον τῷ θεῷ
καὶ ϖατρὶ· ἀλλ' εἴϖερ ἦν, φησὶν, ὁμοούσιος αὐτῷ

XVIII. καὶ ἐξ αὐτοῦ κατὰ φύσιν, οὐκ ἂν ὑπῆρχε καὶ αὐτὸς ὡς θεὸς ἀγαθὸς; ἀλλὰ λεκτέον πρὸς αὐτοὺς· ἐπειδὴ πᾶς λόγος ὀρθός τε καὶ ἀκριβὴς, ὁμοούσιον οἶδεν ὄντα τῷ πατρὶ τὸν υἱὸν, ὡς οὐκ ἔστιν ἀγαθὸς, θεὸς ὢν; οὐ γὰρ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν, οὐδὲ ἐκ γλυκείας πηγῆς ποταμὸς πρόεισιν οὐ γλυκύς· θεοῦ τοιγαροῦν ἀγαθοῦ, καρπὸς ἀγαθὸς, ὁ υἱὸς· καὶ ὡς εἰκὼν, τοῦ γεννήσαντος τὸ κάλλος ἐν ἰδίᾳ φύσει δεικνύς.

v. 20. p. 245. a. Ἀλλὰ ταῦτα μὲν ἀπόχρη πρός γε τὰ παρόντα· εἴρηται δὲ καὶ ἐν τῷ Ματθαίῳ· προσδοκῶντος δὲ τοῦ ἄρχοντος, ἀκούσεσθαι λέγοντος τοῦ Χριστοῦ· ἀποπήδησον τῶν Μωϋσέως γραμμάτων, καὶ πρόσιθι τοῖς δι' ἐμοῦ θεσπίσμασι· τοῦτο μὲν οὐκ ἔφη, τὸν ἐνόντα σκοπὸν τῷ πειράζοντι θεοπρεπέστατα βλέπων, ὥσπερ δὲ οὐκ οὐσῶν ἑτέρων ἐντολῶν, πλὴν ὅτι μόνων τῶν διὰ Μωϋσέως, πέμπει τὸν ἄνθρωπον πρὸς αὐτὰς, καὶ φησὶ· τὰς ἐντολὰς οἶδας κ. τ. λ.

p. 246. b. Ὁ μέν τοι νόμος πᾶν εἶδος ἀποφάσκει φαυλότητος, καὶ τοὺς τῆς ἀνοσιότητος κατακιβδηλεύει τρόπους· οὐ γὰρ μοιχεύσεις, φησὶν, οὐ φονεύσεις, καὶ τὰ λοιπὰ ἐναργῶς ἀποφάσκων· τὸ μήτε χρῆναι φονεῖν, μήτε μὴν ἀλλοτρίοις γάμοις ἐπιμαίνεσθαι· καταδικάζων δὲ καὶ κλοπῆς, καὶ ἐπιορκίας, καὶ τοῦ ψευδομαρτυρεῖν· καὶ ποι-

νὰς τοῖς πλημμελοῦσιν ὁρίζων· εἶτα τῆς εἰς γο- XVIII.
νέας αἰδοῦς ἐπιμελητὰς γενέσθαι προσέταχεν, ἀξιόκτητα τοῖς εὐδοκιμεῖν ἐθέλουσι τὰ γέρα ποιοῦσα, τίμα γάρ φησι τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς.

Ἐνόμισεν ὁ δύστροπος καὶ δεινὸς εἰς κα- v. 21.
κουργίας, καί τοι θεὸν ὄντα τὸν ἐρωτώμενον, συναρπάσειν ἀκονιτὶ, πρὸς τὸ αὐτῷ δοκοῦν ἀποκρινόμενον· ὁ δὲ Χριστὸς, καί τοι πονηρὸν ὄντα, οὐκ ἀπεσόβησεν. p. 247. a.

Ὁ τῆς ἰουδαίων συναγωγῆς ἄρχων, τὸν νέον v. 23.
οὐκ ἐχώρησεν οἶνον, ἀσκὸς παλαιὸς ὑπάρχων, ἀλλ' ἐῤῥάγη· καὶ ἀχρεῖος ἦν, λελύπηται γάρ· καί τοι μάθημα λαβὼν ζωῆς τῆς εἰς αἰῶνα πρόξενον. p. 247. b.

Προσεπάγει δὲ τούτοις ὁ Ματθαῖος, τὸ τί v. 28.
ἄρα ἔσται ἡμῖν; πρὸς τοῦτο ἐρεῖ τίς, τί γὰρ ὅλως ἀφῆκαν οἱ μαθηταὶ, ἢ τίνων ἀντέκτισιν αἰτοῦσι παρὰ Χριστοῦ; τί οὖν πρὸς ταῦτα φαμὲν; μάλιστα μὲν ταύτης ἕνεκα τῆς αἰτίας, ἀναγκαιοτάτην ἐποιοῦντο τὴν πεῦσιν· ὡς γὰρ οὐδὲν κεκτημένοι, πλὴν ὅτι μικρὰ καὶ εὐτελῆ, βούλονται μαθεῖν τίνα τρόπον ἀμείψεται θεὸς, καὶ τοὺς ὀλίγιστα καταλελοιπότας, διὰ τὴν βασιλείαν τοῦ θεοῦ, τουτέστι διὰ τὸ ἐφίεσθαι τυχεῖν τῆς τῶν οὐρανῶν βασιλείας, διὰ τῆς εἰς p. 250. a.

XVIII. αὐτὸν ἀγάπης· ἀραρότως μὲν γὰρ ὁ πλούσιος καταφρονήσας πολλῶν, προσδοκήσει τὰς ἀμοιβὰς· ὁ δέ γε μικρὰ κεκτημένος, εἶτα τούτων ἀποστὰς, ἐν ποίαις ἐλπίσιν ἔσται, πῶς οὐκ ἔδει μαθεῖν; εἶτα πρὸς τούτοις, κἀκεῖνο εἰπεῖν ἀνάγκη· τὸ γάρ τοι πολλῶν ἢ ὀλίγων ἀπολισθεῖν, ἴσον τοῖς παθοῦσιν εἴη ἂν κατὰ τὸν τῆς ὀρθότητος λόγον· οὐκοῦν τό γε ἧκον εἰς ὑπακοὴν καὶ πρόθεσιν, ἐν ἴσῃ τάξει καταλογισθεῖεν ἂν τοῖς πολλὰ κεκτημένοις· οἱ μὴ κατ' αὐτοὺς μὲν ὄντες, εἶτα ταῖς ἴσαις προθυμίαις χρώμενοι, καὶ τῶν ἐνόντων τὴν ἀπεμπολὴν ἑκούσιον ὑπομένοντες· εἶτα τί πρὸς αὐτοὺς ὁ Χριστὸς; ἀμὴν λέγω ὑμῖν, ὅτι οὐδείς ἐστιν κ. τ. λ.

v. 29. Θεοπρεπὴς ἡ φωνὴ, καὶ ἡ ψῆφος ὁσία· εἰς ἐλπίδα γὰρ βεβαίαν ἀνακομίζει ἅπαντας τοὺς ἀκροωμένους, καὶ ἐνώμοτον ποιεῖται τὴν ὑπόσχεσιν· προτίθεὶς τοῦ λόγου τὸ ἀμὴν, οἷον ὅρκου χρείαν ἀποπληροῦν· ζητῆσαι δὲ πρέπει, τίνες ἂν εἶεν οἱ ἀφιέντες πατέρα ἢ μητέρα, γυναῖκα τὲ καὶ ἀδελφοὺς, καὶ οἰκίας· εἶθ' οὕτως πολυπραγμονῆσαι λεπτῶς, πῶς ἂν οἱ τοιοῦτοι πολλαπλασίονα λάβοιεν ἐν τῷ παρόντι καιρῷ· οὐκοῦν καταλιμπάνουσί τινες πατέρα, καὶ τῆς εἰς ἅπαν τὸ γένος φιλοστοργίας ὀλιγωροῦσι ἕσθ' ὅτε, διά γε τὴν εἰς Χριστὸν ἀγάπην· καὶ τίνα τρόπον, αὐτὸς ἡμᾶς διδάξει λέγων· ὁ φι-

λῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ΧΥΙΙΙ.
ἄξιος· καὶ ἦλθον μερίσαι ἄνθρωπον ἀπὸ τοῦ
πατρὸς αὐτοῦ, καὶ τὰ ἑξῆς· συγγνεύοντος γὰρ
εἰς τὴν ἐπ' αὐτῷ πίστιν τοῦ θείου κηρύγματος
τὴν ὑπ' οὐρανὸν, βούλονται μὲν πρὸς τοῦτο ἰέ-
ναί τινες· ὑφορῶνται δὲ ἴσως παῖδας ἢ μητέρας
ἀπίστους ὄντας καὶ πονηροὺς· καὶ υἱοὺς δὲ πολ-
λάκις οὐκ ἠνέσχοντο λυπῆσαι παῖδες, διὰ τοῦ
προσδραμεῖν τῇ πίστει· ὁ αὐτὸς δ' ἂν γένοιτο
λόγος καὶ περὶ ἀδελφῶν πρὸς ἀδελφοὺς, καὶ
νύμφης πρὸς πενθερὰν, κἀκείνης πρὸς ταύτην·
ἀλλ' οἵ γε τῇ πίστει ἑδραῖοι προτάττουσιν οὐ-
δὲν τῆς εἰς Χριστὸν ἀγάπης, τὸ κατὰ σάρκα
γένος ἐν οὐδενὶ ποιούμενοι λόγῳ· σκοπῆσαι δὲ
λοιπὸν χρὴ πῶς ἄν τις τούτους ἀφεὶς, πολλα-
πλασίονα λήψεται ἐν τῷ νῦν αἰῶνι· ἆρα γὰρ
πολλῶν γυναικῶν ἔσται ἀνὴρ, ἢ πολλοὺς ἀνθ'
ἑνὸς πατέρας εὑρήσει ἐπὶ τῆς γῆς, καὶ πολυ-
πλασιασθὲν οὕτω τὸ καθ' ἁ σάρκα γένος; οὐ τοῦ-
το φαμὲν· ἀλλ' ὅτι τὰ σαρκικὰ καὶ πρόσκαιρα
καταλελοιπὼς, τὰ πολλῷ κρείττονα λήψεται,
καὶ οἷον πολλαπλασίονα τῶν καταφρονουμένων·
καὶ οἱ ἀπόστολοι γὰρ ἀφέντες ὀλίγα, ἁγίου
μεμέστωνται πνεύματος, καὶ παντοδαπῶν ἔτυ-
χον χαρισμάτων, ἀπόλεκτοί τε καὶ ἀοίδιμοι γε-
γόνασι τοῖς ἅπασι· ἅπαντες οὖν ἐσόμεθα
κατ' ἐκείνους οἱ πιστεύσαντες εἰς Χριστὸν, καὶ

xviii. ἠγαπηκότες αὐτοῦ τὸ ὄνομα· κἂν οἶκον ἀφῇ τις, τὰς ἄνω λήψεται μονὰς· κἂν ἀποστισθήσῃ πατρὸς, τὸν ἐν οὐρανοῖς ἔχει πατέρα· κἂν ἀδελφῶν γένηται μακρὰν, ἀλλ' εἰς ἀδελφότητα αὐτὸν παραλήψεται Χριστὸς· ὅταν ἀφῇ γυναῖκα σύνοικον, εὑρήσει τὴν ἄνωθεν καὶ παρὰ θεοῦ σοφίαν, ἐξ ἧς τεκνογονήσει εὐκαρπίας· κἂν ἀφήσῃ μητέρα, εὑρήσει τὴν ἄνω Ἱερουσαλὴμ, ἥ τις ἐστὶν ἐλευθέρα καὶ μήτηρ ἡμῶν.

v. 31. Προαποκείρει διὰ τοῦ λέγειν τὰ συμβησόμενα, καὶ λογισμῶν ἀτοπίαν, καὶ παντὸς σκανδάλου πρόφασιν· οἱ γὰρ τὰς παρ' αὐτοῦ θεοσημείας τεθεαμένοι, καὶ τοῖς παρ' αὐτοῦ λόγοις πρὸς εὐανδρίαν διανευρούμενοι, ἔμελλον ὁρᾶν αὐτὸν τὸν τῶν Ἰουδαίων ὑπομένοντα γέλωτα, σταυρούμενον, καὶ ἀτιμαζόμενον· ἦν οὖν εἰκὸς ἐπ' αὐτοῖς δὴ τούτοις σκανδαλιζομένους, ἐκεῖνα καθ' ἑαυτοὺς διενθυμεῖσθαί τε καὶ λέγειν· ὁ τοσοῦτος ἐν ἰσχύϊ καὶ πνεύματι μόνῳ θαυματουργῶν, ὁ τὴν τοῦ πατρὸς πρόνοιαν καὶ μέχρι στρουθίων καθικνεῖσθαι λέγων, ὁ μονογενὴς καὶ πρωτότοκος, πῶς ἠγνόησε τὰ ἐσόμενα; καὶ τεθήρευται παρ' ἐχθρῶν ὁ καὶ ἡμᾶς αὐτοὺς διασώσειν ὑπισχνούμενος; ἵνα τοίνυν εἰδεῖεν, ὡς καὶ προέγνω τὸ πάθος, καὶ διαφυγεῖν εὐκόλως ἐξὸν, ἑκὼν εἰς τοῦτο παρῆλθε, προκαταμηνύει τὰ συμβησόμενα· προσετίθει δὲ

ἀναγκαίως, ὡς πάντα προείρηται διὰ προφητῶν ἁγίων· προοικονομοῦντος θεοῦ καὶ τοῦτο, χρησίμως, ἵν' ὅταν γενέσθαι συμβῇ, σκανδαλισθείη μηδείς· ἐξὴν γὰρ ὅλως μὴ δὲ παθεῖν τῷ προεγνωκότι τὸ συμβησόμενον· ἀλλ' οὐ βεβίασται πρός τινος, εἵλετο δὲ τὸ παθεῖν ἑκών, εὖ εἰδὼς ὅτι σωτηρία ἔσται τῷ κόσμῳ παντὶ, τὸ παθεῖν αὐτόν· ὑπέστη μὲν γὰρ τὸν κατὰ σάρκα θάνατον· ἐγήγερται δὲ παλήσας τὴν φθοράν, καὶ διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως, ἐνεφύτευσε τοῖς ἀνθρώπινοις σώμασι τὴν παρ' ἑαυτοῦ ζωήν· ὅλη γὰρ ἦν ἡ ἀνθρώπου φύσις ἐν αὐτῷ παλινδρομοῦσα πρὸς ἀφθαρσίαν. XVIII.

Ὁ μὲν τῶν ὅλων σωτὴρ προαπήγγειλε ταῦτα τοῖς ἁγίοις ἀποστόλοις, οἱ δὲ οὐ συνῆκαν φησὶ τὰ λεγόμενα· οὔπω γὰρ ᾔδεισαν ἀκριβῶς τὰ παρὰ τῶν ἁγίων προφητῶν προκεκηρυγμένα· καὶ γοῦν ὁ προὔχων ἐν μαθηταῖς, συνεὶς οὔπω τοῦ μυστηρίου τὸ βάθος, ἀντανίστατο λέγων· ἵλεώς σοι κύριε, οὐ μὴ ἔσται σοι τοῦτο· ἐπετιμήθη δὲ τοῦτο λέγων· ἐπεὶ δὲ ἀνεβίω Χριστὸς ἐκ νεκρῶν, διήνοιξεν αὐτῶν τοὺς ὀφθαλμοὺς καθὸ γέγραφέ τις τῶν ἁγίων εὐαγγελιστῶν· κατεφωτίσθησαν γὰρ, τὴν τοῦ πνεύματος μέθεξιν ἀμφιλαφῆ πλουτήσαντες· ὡς λέγειν· καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον, ᾧ καλῶς ποιεῖτε προσέχοντες, ὡς λύχνῳ φαίνοντι ἐν αὐχ- v. 34. p. 250. b.

XVIII. μηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ καὶ φωσφόρος ἀνατελῇ ἐν ταῖς καρδίαις ὑμῶν.

v. 38. p. 251. b. Προσῆλθε μὲν οὗτος ὡς θεῷ τῷ πάντα ἰσχύοντι· ὀνομάζει δὲ αὐτὸν, υἱὸν Δαβὶδ· τεθραμμένος γὰρ ἐν Ἰουδαϊσμῷ, καὶ αὐθιγενὴς ὑπάρχων, οὐκ ἠγνόησε τὰ διά γε τοῦ νόμου καὶ τῶν ἁγίων προφητῶν περὶ αὐτοῦ προηγορευμένα· καὶ ὡς ἐκ γένους ὑπῆρχε τοῦ Δαβὶδ τὸ κατὰ σάρκα· οὐκοῦν ὡς ἤδη πεπιστευκὼς ὅτι θεὸς ὢν ὁ λόγος, ὑπέμεινεν ἑκὼν τὴν κατὰ σάρκα γέννησιν, τὴν ἀπό γε φημὶ τῆς ἁγίας παρθένου, πρόσεισιν ὡς θεῷ, λέγων· ἐλέησόν μου υἱὲ Δαβὶδ, ὅτι γὰρ οὕτω διαπιθεὶς προσεκόμισε τὴν ἱκετηρίαν, ἐπιμαρτυρήσει λέγων αὐτῷ ὁ Χριστὸς· ἡ πίστις σου σέσωκέ σε.

Μιμησάσθωσαν αὐτὸν τὸν τὰς ὄψεις ἠρρωστηκότα, οἱ διαιροῦντες εἰς δύο τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν, ὃς ὡς θεῷ πρόσεισι τῷ πάντων σωτῆρι Χριστῷ· καὶ κύριον αὐτὸν, καὶ υἱὸν ὀνομάζει Δαβὶδ· μαρτυρεῖ δὲ αὐτοῦ τῇ δόξῃ, διὰ τοῦ θεοπρεπεστάτην ἐνέργειαν παρ' αὐτοῦ ζητεῖν· θαυμαζέτωσαν αὐτοῦ τὴν ἔνστασιν τῆς ὁμολογίας· τινὲς μὲν γὰρ ἐπετίμων ὁμολογοῦντι τὴν πίστιν· ὁ δὲ οὐκ ἀνίει, οὐδ' ἐνεποδίζετο ἡ παῤῥησία, διὰ τῶν κωλυόντων· οἶδεν ἡ πίστις πρὸς πάντα μάχεσθαι καὶ πάντα νικᾶν· διὸ ἐπετίμων· ὁ δὲ πιστὸς οὐχ' ὑπεστέλλετο, ἀλλ' ἠ-

κολούθει τῷ δεσπότῃ, εἰδὼς ὅτι καλὴ ἡ ὑπὲρ XVIII.
εὐσεβείας ἀναίδεια· εἰ γὰρ ὑπὲρ χρημάτων ἀναι-
δεῖς πολλοί, ὑπὲρ σωτηρίας ψυχῆς οὐ χρὴ τὴν
καλὴν ἀναίδειαν ἐνδύσασθαι;

Ἴστησι τὸν κύριον ἡ φωνὴ τοῦ μετὰ πίστεως v. 40.
ἐπικαλουμένου· καὶ τετίμηται εἰκότως παρὰ Χρι-
στοῦ ὁ τυφλὸς· κέκληται γὰρ παρ' αὐτοῦ, καὶ
ἐγγὺς γενέσθαι προστέτακται, ἵν' ὁ ἐγγίσας
αὐτῷ τῇ πίστει πρότερον πλησιάσῃ καὶ τῷ σώ-
ματι· καὶ ἡμᾶς οὖν ἡ πίστις παρίστησι καὶ ἐγ-
γὺς ἀποφέρει Χριστοῦ, ὥστε καὶ λόγων ἀξιω-
θῆναι τῶν παρ' αὐτοῦ· ἐγγὺς γὰρ ἐνεχθέντα
τὸν τυφλὸν, ἤρετο λέγων· τί σοι θέλεις ἵνα
ποιήσω; ἆρ' οὖν ἠγνόει τὴν αἴτησιν; καὶ πῶς
ἂν ἔχοι τοῦτο λόγον; ἠρώτα τοίνυν οἰκονομι-
κῶς, ἵνα δὴ μάθοιεν οἱ περιεστηκότες ἥκουν συμ-
βαδίζοντες, ὡς οὐ χρήματα μᾶλλον αἰτεῖ αὐ-
τὸν, ἀλλ' ἐνέργειαν θεϊκὴν ὡς παρὰ θεοῦ.

Ἆρ' οὖν ἀπηλλάττετο μὲν τοῦ νοσεῖν ὁ τυ- v. 41.
φλὸς, κατημέλει δὲ τοῦ εἶναι φιλόχριστος; οὐ- p. 252. a.
δαμῶς· ἀλλὰ τοῖς ἔργοις τὴν εὐγνωμοσύνην ἐπε-
δείκνυτο.

Καὶ διττῆς ἠλευθέρωτο τυφλότητος, τῆς τε v. 43.
σωματικῆς, καὶ τῆς εἰς νοῦν καὶ καρδίαν· οὐ
γὰρ ἂν ἐδόξασεν αὐτὸν ὡς θεὸν, εἰ μὴ ἀνέβλε-
ψεν ὅντως· γέγονε δὲ καὶ ἑτέροις πρόφασις τοῦ
δοξάζειν αὐτόν.

CAP. XIX.

XIX. v. 2. Ἀρχιτελώνης ἦν ὁ Ζακχαῖος, ἐν ἐπιτάσει τὲ πολλῇ παρ' αὐτῷ τὸ φιλάργυρον, καὶ τῆς πλεονεξίας ὁ σκοπὸς, τοῦτο γὰρ τοῖς τελώναις τὸ ἐπιτήδευμα· ταύτην δὲ καὶ εἰδωλολατρείαν ὀνομάζει ὁ Παῦλος, ὡς τάχα πρέπουσαν μόνοις τοῖς οὐκ εἰδόσι θεὸν· ταύτῃ τοι καὶ μάλα εἰκότως παῤῥησίαν ἀναιδῆ τοῖς προσώποις ἐνδύσαντας τοὺς τελώνας, πόρναις συντέταχεν ὁ κύριος, οὕτω λέγων τοῖς Ἰουδαίων καθηγηταῖς· αἱ πόρναι καὶ οἱ τελῶναι, προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ θεοῦ· ἀλλ' οὐ μεμένηκεν ἐν τούτοις ὁ Ζακχαῖος, ἠξιώθη δὲ φειδοῦς τῆς παρὰ Χριστοῦ· αὐτὸς γάρ ἐστιν ὁ καλῶν ἐγγὺς τοὺς μακρὰν, καὶ φωτίζων τοὺς ἐσκοτισμένους· ὁποία δὲ γέγονε τῷ Ζακχαίῳ τῆς ἐπιστροφῆς ἡ ὁδὸς, φέρε ἴδωμεν.

p. 252. b. Πρόγνωσις αὕτη θεία, εὖ γὰρ ἠπίστατο τὸ ἐσόμενον, εἶδεν ἀνθρώπου ψυχὴν ἑτοιμότατα διανεύουσαν εἴς γε τὸ βιοῦν ἑλέσθαι ἁγίως· καὶ μετέθηκεν εἰς εὐσέβειαν, ὑπεδέξατο γάρ φησι τὸν Ἰησοῦν χαίρων· ἔτυχε γὰρ ὧν μὴ προσεδόκα· ἀλλ' ἴσως, ἐκεῖνο φαίη τίς ἂν τῷ πάντων ἡμῶν σωτῆρι Χριστῷ, αὐλίζῃ παρὰ Ζακχαίῳ καὶ παρὰ τῷ τελωνῶν ἡγουμένῳ, ὃς οὔ-

πω τοὺς τῆς φιλοκερδείας ἀπενίψατο τρόπους; ναί φησιν οἶδα τοῦτο, θεὸς ὢν φύσει, καὶ τὰς ἑκάστου τῶν ἐπὶ τῆς γῆς ἐποπτεύων ὁδοὺς, καὶ πρὸς τούτοις ἔχων τῶν ἐσομένων τὴν γνῶσιν, κέκληκα πρὸς μετάγνωσιν, πρόθυμον ὄντα πρὸς τοῦτο. XIX.

Ὁρᾷς πῶς ὁ τελωνῶν ἡγούμενος, ὁ φιλάργυρος, εὐθὺς ἐλεήμων καὶ φιλοπτωχίας γέγονεν ἐραστὴς, διανέμειν ἐπαγγελλόμενος τοῖς ἐνδεέσι τὸν πλοῦτον, καὶ τοῖς ἠδικημένοις ἀποδιδόναι λογούμενος, κατὰ τὸν νόμον τὸν τέσσαρα πρόβατα ἀνθ' ἑνὸς ἐκτίσειν κελεύοντα, κατὰ τὴν τοῦ Δαβὶδ κρίσιν περὶ τοῦ τὴν ἀμνάδα λεχθέντος ἀπεστερηκέναι τοῦ πτωχοῦ, καὶ τὴν ἀμνάδα γάρ φησι ἀποτίσει τετραπλασίονα. v. 8.

Ἔνθα γὰρ ἂν εἰσβάλῃ Χριστὸς, ἐκεῖ πάντως ἐστὶ καὶ σωτηρία· οὐκ εἰς ἀναβολὰς δὲ οὐδὲ ἐπαγγελίας, ἀλλὰ σήμερον τῷ Ζακχαίῳ τὴν σωτήριαν ὁ Χριστὸς εὐαγγελίζεται· ἐπειδὴ καὶ αὐτὸς αὐτίκα πεποίηκεν ἃ ἐπηγγείλατο· οὐ γὰρ εἶπεν, δώσω τὰ ἡμίση· καὶ τοῖς ἀδικηθεῖσιν ἀποδώσω τετραπλοῦν· ἤκουσε γὰρ τοῦ Σολομῶντος· μὴ εἴπῃς ἐπανελθὼν ἐπάνηκε καὶ αὔριον δώσω, ἀλλ' ἰδού φησι δίδωμι καὶ ἀποδίδωμι· διὸ καὶ ὁ Χριστὸς, σήμερον φησὶ δίδως, σήμερόν σοι καὶ ἡ σωτηρία. v. 9. p. 254. a.

Ἔδει τοίνυν τοὺς Ἰουδαίους, χαίρειν ἐπὶ Ζακ-

XIX. χαίῳ σεσωσμένῳ παραδόξως· ὅτι καὶ αὐτὸς εἰς υἱοὺς ἐτέλει τῷ Ἀβραὰμ, οἷς τὴν διὰ Χριστοῦ λύτρωσιν διὰ προφητῶν ἁγίων ἐπηγγείλατο ὁ θεός.

v. 11. p. 255. a. Διὰ τῆς ἐν χερσὶ δὲ παραβολῆς, ὁμοῦ καὶ τὴν προτέραν εἰς ἀνθρώπους ἄφιξιν ἑαυτοῦ, καὶ τὴν ἐνθένδε ἀποδημίαν, τήν τε μετὰ ταῦτα τῆς βασιλείας ὑποδοχὴν, καὶ τὴν ἐπὶ τούτοις ἐπ' ἀγαθαῖς ἐλπίσι προσδοκωμένην ἡμῖν δευτέραν αὐτοῦ θεοφάνειαν, αἰνίττεται καὶ ὡς κατ' ἐκεῖνο καιροῦ, τῶν μὲν ἀξίων αὐτοῦ βασιλεύσει, κοινωνοὺς αὐτοὺς τῶν ἀγαθῶν, καὶ δὴ καὶ τῆς βασιλείας, ποιησάμενος· τῶν δὲ ἐπὶ τοῦ παρόντος βίου τὸ κήρυγμα παραιτησαμένων, ἐν ἐχθρῶν τε χώρᾳ καὶ πολεμίων ἑαυτοὺς καταλεξάντων, κριτὴς ἔσται ἀπαραίτητος· ταῦτα δ' ἐν παραβολῆς ἐθέσπιζε τρόπῳ· σαφῶς διδάσκων, ὅτι μήπω τότε ταῦτ' ἐξέφαινεν ἀνθρώποις συνὼν, ὁ τῆς αὐτοῦ βασιλείας ἐνειστήκει καιρὸς· ἔλεγε δ' οὖν ταῦτα καὶ παρεδίδου, ἐν Ἱεριχοῖ μὲν ποιούμενος τὰς διατριβὰς· ὁρμῶν δὲ λοιπὸν ἐπὶ τὰ Ἱεροσόλυμα, καὶ ἔλεγεν ἀναγκαίως· ἐπειδὴ πολὺς ἦν ὁ περὶ αὐτοῦ παρὰ τοῖς πᾶσι λόγος, ὡς αὐτίκα τότε μέλλοντος ἐν τοῖς Ἱεροσολύμοις τὴν διὰ τῶν προφητῶν ἀνακεκηρυγμένην αὐτοῦ βασιλείαν παραλήψεσθαι· ἧς ὑπονοίας μυρία τοῖς πολλοῖς ἐγίνετο αἴτια, τὰ πρὸς αὐτοῦ δρώ-

μενα θαύματα, αἵ τε παράδοξοι δυνάμεις, δι' ὧν τοὺς θεωμένους ἔπειθεν ἀραρότως, αὐτὸν εἶναι ἡγεῖσθαι τὸν ἐκ πατέρων αὐτοῖς καλῆγελμένον καὶ προσδοκώμενον Χριστόν· ἐπειδὴ τοίνυν ἤδη ϖαρεῖναι τῆς αὐτοῦ βασιλείας τὸν καιρὸν ὑπελάμβανον, ἀναγκαίως τοὺς τοῦτο νομίζοντας διωρθοῦτο τῆς ψευδοῦς δόξης. XIX.

Ὅπερ οὖν ἔφημεν, καταγράφει τῆς παραβολῆς ὁ σκοπὸς, ὅλην ὡς ἐν βραχέσι τῆς ἐφ' ἡμῖν γενομένης οἰκονομίας τὴν δύναμιν, καὶ τοῦ κατὰ Χριστὸν μυστηρίου τὰ ἀϖ' ἀρχῆς ἄχρι τέλους· γέγονε μὲν γὰρ ἄνθρωπος θεὸς ὢν ὁ λόγος· κεχρημάτικε δὲ διὰ τοῦτο δοῦλος· ἀλλ' ἣν ἔστιν εὐγενὴς, κατά γε τὴν ἐκ ϖατρὸς ἄῤῥητον γέννησιν· ἀϖοπεράνας δὲ τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ μυστήριον, εἰς τὴν ἐνοῦσαν αὐτῷ καθὰ φύσιν ἀναπεφοίτηκε δόξαν, καὶ οἷον ἀποδεδήμηκεν εἰς χώραν μακρὰν· χώρα γὰρ ἑτέρα ϖαρὰ τὴν γῆν, ὁ οὐρανὸς· ἀνέβη δὲ λαβεῖν ἑαυτῷ βασιλείαν· ϖῶς δὲ ὁ τῶν ὅλων βασιλεύων μετὰ τοῦ ϖατρὸς ἄνεισι, ϖρὸς αὐτὸν ληψόμενος βασιλείαν; δηλονότι ἐνανθρωϖήσανται τῷ υἱῷ καὶ τοῦτο δίδωσιν ὁ ϖατήρ· ἀναφοιτήσας γὰρ εἰς οὐρανὸν, κεκάθικεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν τοῖς ὑψηλοῖς, τὸ λοιϖὸν ἐκδεχόμενος, ἕως οὐ τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑϖὸ τοὺς ϖόδας αὐτοῦ. v. 12. p. 255. b.

XIX. v. 13. Διανέμει γὰρ ὁ σωτὴρ τοῖς πιστεύσασιν εἰς αὐτὸν, τὴν τῶν θείων χαρισμάτων διαφορὰν· τοῦτο γὰρ εἶναι φαμὲν τὰς δέκα μνᾶς· πολλὴ τούτων ἡ διαφορὰ πρὸς ἐκείνους, οἱ καὶ ὅλως ἠρνήσαντο τὴν βασιλείαν αὐτοῦ· οἱ μὲν γὰρ ἀνταίρουσιν, οἱ δὲ τῆς ἐπ' αὐτῷ δουλείας φέρουσι τὸ καύχημα· οὐκοῦν ὡς οἰκέται γνήσιοι, τὸν δεσποτικὸν ἐθαῤῥήθησαν πλοῦτον· ἵνα τί προσεργασάμενοι, τοὺς τῇ γνησιότητι πρέποντας ἐπαίνους κερδάνωσι· τίνες δὲ οἱ πολῖται, οἱ μισοῦντες αὐτόν; τοῦτο τοῖς Ἰουδαίοις ὠνείδισεν ὁ Χριστὸς· εἰ μὴ τὰ ἔργα ἐποίησα ἐν αὐτοῖς, ἃ οὐδεὶς ἄλλος ἐποίησεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ καὶ ἑωράκασι καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν πατέρα μου· αὐτοὶ οὐκ ἠθέλησαν αὐτὸν ἐπ' αὐτοὺς βασιλεῦσαι· καί τοι Ζαχαρίου τοῦ προφήτου βοῶντος· χαῖρε σφόδρα θύγατερ Σιών· ὅτι ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων· καὶ Ἡσαΐας δὲ ὁμοίως· ἰδοὺ δή, φησι, βασιλεὺς δίκαιος βασιλεύσει, καὶ ἄρχοντες μετὰ κρίσεως ἄρξουσι· ναὶ μὴν καὶ αὐτὰς ἔφη πού Χριστὸς διὰ τῆς τοῦ ψάλλοντος λύρας· ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ, ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ· ἠρνήσαντο τοίνυν τὴν βασιλείαν αὐτοῦ, φάσκοντες Πιλάτῳ· οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα.

Σημειωτέον δὲ ὅτι ὁ ἕτερος τῶν εὐαγγελι-

στῶν, οἶδε καὶ ποσότητος διαφορὰς τῆς γενομέ- XIX.
νης τῶν ταλάντων διανομῆς· ᾧ μὲν γάρ φησι, δέδωκε πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἓν τοῖς ἑκάστου μέτροις ἀναλόγως τὴν διανέμησιν ποιούμενος· τίνες δ' ἂν εἶεν οἱ θαρσούμενοι, φέρε λέγωμεν· οἱ τέλειοι τὴν ἕξιν, οἷς ἂν πρέποι καὶ ἡ στερεὰ τροφὴ, μυσταγωγεῖν εἰδότες ὀρθῶς, καὶ πρὸς πᾶν ὁτιοῦν τῶν ἐπιτηδευμάτων ἑαυτούς τε καὶ ἑτέρους ἀπευθύνοντες, ὁποῖοι γεγόνασιν οἱ θεσπέσιοι μαθηταὶ, καὶ οἱ μετ' ἐκείνους τὴν αὐτὴν διακονίαν διαδεξάμενοι· τούτοις ὁ σωτὴρ τὴν τῶν θείων χαρισμάτων δίδωσι διαφοράν· ἵνα ὦσι φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες, οὗτοι νουθετοῦντες τοὺς ὑπὸ χεῖρα λαοὺς, προσεργάζονται τῷ ταλάντῳ, καὶ τὸν τοῖς ἁγίοις πρέποντα κερδανοῦσι κλῆρον.

Ὑποστρέψαντος τοίνυν μετὰ τὸ λαβεῖν τὴν v. 15.
βασιλείαν τοῦ ἀνθρώπου τοῦ εὐγενοῦς, δῆλον p. 256. a.
δὲ ὅτι τοῦ Χριστοῦ, ἐπαίνων τεύξονται, καὶ ταῖς ἀνωτάτω τιμαῖς ἐντρυφήσουσιν οἱ τοῦ λόγου διάκονοι· δεκαπλασιάσαντες γὰρ, ἢ γοῦν πενταπλασιάσαντες τὸ τάλαντον διὰ τοῦ κερδάναι πολλοὺς, ἐπάνω δέκα πόλεων ἢ πέντε γενήσονται· τουτέστιν ἄρξουσι πάλιν, οὐχ' ὧν ἦρξαν πρὸ τούτου μόνον, ἀλλὰ καὶ ἑτέρων ἔτι πολλῶν.

Εἰ γὰρ αὐστηρὸς εἰμί φησι, θερίζων ὅπου v. 22.
p. 257. b.

XIX. οὐκ ἔσωειρα, διὰ τί μὴ τὴν δοθεῖσαν σοι χάριν, τοῦτο γάρ ἐστιν ἡ μνᾶ, δέδωκας τοῖς τραπεζίταις, τουτέστι προὔθηκας εἰς ἀπόλαυσιν τοῖς εὖ εἰδόσι δοκιμάζειν τὰ παρὰ σοῦ; ἐγὼ γὰρ ἐλθὼν, ἔπραξα ἂν· τουτέστιν ἀπήτησα τὸ ἐμὸν, σὺν τόκῳ· τῶν μὲν γὰρ διδασκάλων ἐστὶ τὸ κατασπείρειν τοῖς ἀκροωμένοις τὸν ἐπωφελῆ καὶ σωτήριον λόγον· ἔργον δὲ ἰσχύος τῆς παρὰ θεοῦ, τὸ καλεῖν εἰς ἀπείθειαν τοὺς ἀκροωμένους καὶ εὔκαρπον αὐτῶν ἀποφαίνειν τὸν νοῦν.

v. 24. p. 258. b. Ὁ μὲν ὀκνηρὸς οἰκέτης νεκρὸν θεὶς τὸ χάρισμα καὶ μὴ ἐπεργασάμενος, γυμνὸς καὶ τοῦ δοθέντος ἔσται χαρίσματος, οἱ δὲ τὴν ἀμείνω βαδίσαντες ὁδὸν, ἐν προσθήκαις ἔσονται τῶν ἄνωθεν ἀγαθῶν.

v. 27. p. 259. a. Οἱ μὴ θελήσαντες ἐπ' αὐτοὺς βασιλεῦσαι τὸν ἄνθρωπον τὸν εὐγενῆ, κατεσφάγησαν ἔμπροσθεν αὐτοῦ· τοῦτο πεπόνθασιν οἱ ἐξ αἵματος Ἰσραὴλ· ἀρνησάμενοι γὰρ τὴν Χριστοῦ βασιλείαν, ταῖς ἐσχάταις περιπεπτώκασι συμφοραῖς, καὶ κακοὶ κακῶς ἀπολώλασιν.

v. 37. p. 260. a. Ἀνήει μὲν εἰς Ἱεροσόλυμα Χριστὸς, τὸν ὑπὲρ τῆς ἁπάντων σωτηρίας καὶ ζωῆς ἀναπλῆναι σταυρὸν· ἐπεκάθισέ τε τῷ πώλῳ· προσυπήντων δὲ τῶν ἰουδαίων οἱ δῆμοι, καὶ παῖδες ἄνηβοι σὺν αὐτοῖς, καὶ πολλαῖς αὐτὸν ἐφημίαις καὶ κρότοις ἠπείγοντο στεφανοῦν· οἱ μὲν γὰρ ἐστρώ-

νυον. ἐν τῇ ὁδῷ τὰ ἱμάτια ἑαυτῶν, οἱ δὲ βρα- XIX.
χεῖαν ἔτι κομιδῇ τὴν ἡλικίαν ἔχοντες, τὰ κά-
λυντρα τῶν φοινίκων ἀνατείνοντες ὑψοῦ, ᾠδὴν
ἐποιοῦντο Χριστὸν, λέγοντες· εἰρήνη ἐν οὐρανῷ·
οὐκέτι τοῦ θεοῦ ἡμῖν ἐκπεπολεμωμένου, ἀλλ'
ἐν τῇ χώρᾳ ἡμῶν τῶν ἐχθρῶν αὐτοῦ περιπα-
τοῦντος, καὶ διὰ τοῦτο ὑπὸ τῶν ἀγγέλων δο-
ξαζομένου· ὁ γὰρ ἄνω βασιλεὺς, καὶ ἔβη κάτω,
καὶ μίαν ὑπακοὴν πεποίηκεν.

Ἀλλ' οὐκ ἐδόκει συμφέρεσθαι ταῖς τοῦ πλή- v. 39.
θους σπουδαῖς τοῖς καθηγεῖσθαι λαχοῦσιν· p. 260. b.
ὑπέτριζον γὰρ τοὺς ὀδόντας αὐτῶν, καὶ πρὸς
τὴν τῶν παίδων ταύτην φωνὴν ἠγανάκτουν οἱ βά-
σκανοι φαρισαῖοι, ἐπειδὴ ὁρώμενος ἄνθρωπος
τὴν θεῷ πρέπουσαν ὑμνολογίαν ἐδέχετο· καὶ δὴ
καὶ προσῆσαν οἱ θρασεῖς, μονονουχὶ διαμαρ-
τυρόμενοί τε καὶ λέγοντες, οὐκ ἀκούεις τί οὗ-
τοι λέγουσι· ἀντὶ τοῦ, ἄνθρωπος ὢν ἀνέχῃ δο-
ξολογούμενος καὶ ὡς θεὸς ὑμνούμενος, καὶ τὰς
θεῷ πρεπούσας εὐφημίας δέχῃ παρὰ τῶν παίδων;
καὶ τί πρὸς ταῦτα Χριστός; ἠγανάκτησεν ἆρα
κατὰ τῶν παίδων; ἀπεσείσατο τὴν δοξολογίαν;
ἐπετίμησε τοῖς εὐφημοῦσιν αὐτὸν ὡς θεὸν; οὐ-
δαμῶς· ἔφη γὰρ μᾶλλον πρὸς τοὺς φιλεγκλή-
μονας, ἐπισκομίζων αὐτοὺς· ὅτι ἐὰν οὗτοι σιω-
πήσωσιν, οἱ λίθοι κεκράξονται· ὁρᾷς, ὅπως
προσεμαρτύρηκεν ἑαυτῷ τὴν τῆς θεότητος δό-

XIX. ξαν, ὁ ἐποχούμενος τῷ πώλῳ καὶ κατὰ σάρκα υἱὸς Δαβὶδ; ἀλλ' οὐκ ἦν δόξης ἀλλοτρίας κοινωνὸς ὡς οἱ χριστόμαχοι φασὶν, ἀλλ' οὐδὲ ὕστερος παρὰ τὸν ἐκ θεοῦ πατρὸς λόγον ὡς υἱὸς κατὰ μόνας· διὰ τοῦτο καὶ θεὸς, καὶ κύριος, καὶ ὕψιστος ὀνομάζεται.

v. 41. Ἔφη που διὰ φωνῆς Ἱερεμίου ὁ τῶν ὅλων θεὸς, περὶ τῶν Ἰουδαίων· ἀργύριον ἀποδεδοκιμασμένον, καλέσατε αὐτοὺς· ὅτι ἀπεδοκίμασεν αὐτοὺς ὁ κύριος, καὶ πάλιν· ἄκουε γῆ, ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὸν λαὸν τοῦτον κακὰ· τὸν καρπὸν ἀποστροφῆς αὐτῶν, ὅτι τῷ λόγῳ μου οὐ προσέσχον, καὶ τὸν νόμον μου ἀπώσαντο· καρποὶ τοίνυν γεγόνασι τῆς αὐτῶν ἀποστροφῆς, τὰ συμβεβηκότα αὐτοῖς σκυθρωπὰ δηλονότι· πλὴν καὶ οὕτως ἔχοντας γνώμης, κατηλέει Χριστὸς, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· καὶ γοῦν, ἰδών φησι τὴν πόλιν ἔκλαυσεν, ἵνα διὰ τούτου μάθωμεν ὅτι λελύπηται· εἴπερ ὅλως χρή τι τοιοῦτον εἰπεῖν, περὶ τοῦ πάντων ἐπέκεινα θεοῦ· ἀλλ' οὐκ ἂν ἔγνωμεν ἡμεῖς ὡς κακοὺς ὄντας ἠλέει, εἰ μὴ διὰ πράγματος ἀνθρωπίνου κατέστησεν ἐναργὲς, ὅπερ οὐκ ἦν ἰδεῖν πεπονθότα· δάκρυον γὰρ κατενεχθὲν, λύπης ἐστὶ σημεῖον· οὕτω δεδάκρυκε καὶ ἐπὶ Λαζάρῳ· ἵνα συνῶμεν ὅτι λελύπηκεν αὐτὸν ἡ ἀνθρώπου φύσις, πεσοῦσα πρὸς

θάνατον· ἔκτισε γὰρ αὐτὸς ἐπὶ ἀφθαρσίᾳ τὰ XIX.
πάντα· φθόνῳ δὲ διαβόλου, θάνατος εἰσῆλθεν
εἰς τὸν κόσμον· ἀλλ' οὐ γέγονε κρείττων τῶν
τοῦ κτίσαντος θελημάτων, ὁ τοῦ διαβόλου φθό-
νος· ἦν δὲ ἀναγκαῖον τῇ παραβάσει τῆς ἐντολῆς
ἀκολουθῆσαι δίκην καταφέρουσαν εἰς φθορὰν
τὸν ἀτιμάσαντα νόμους ζωῆς· οὕτω τοιγαροῦν
δακρύσαι φαμὲν αὐτὸν καὶ ἐπί γε τῇ Ἱερουσα-
λὴμ· ἤθελε γὰρ ὡς ἔφην εὐδοκιμοῦσαν ὁρᾶν,
διὰ τοῦ τὴν πρὸς αὐτὸν προσήκασθαι πίστιν,
καὶ τὴν πρὸς θεὸν εἰρήνην ἀσπάσασθαι· αἰτιᾶ-
ται τοίνυν ἐπ' αὐτῷ δὴ τούτῳ Χριστὸς· καὶ φη-
σὶν, εἰ ἔγνως τὰ πρὸς εἰρήνην σου καὶ σὺ· τοὐτ-
έστι τὰ χρήσιμά σοι ἀναγκαῖα πρὸς τὸ εἰρη-
νεῦσαι πρὸς θεὸν· ταῦτα δὲ ἦν, ἡ πίστις· ἡ ὑπα-
κοὴ· τὸ ἀπέχεσθαι τῶν τύπων καὶ τῆς ἐν νόμῳ
λατρείας· ἀνθελέσθαι δὲ μᾶλλον τὴν ἐν πνεύμα-
τι καὶ ἀληθείᾳ, δῆλον δὲ ὅτι τὴν διὰ Χριστοῦ.

Οὐ γὰρ ἦσαν ἄξιοι τοῦ εἰδέναι, ἤγουν συν- v. 42.
ιέναι, τὰς θεοπνεύστους γραφὰς, αἳ τὸ Χριστοῦ
λαλοῦσι μυστήριον· ἄχρι γὰρ σήμερον, τὸ αὐ-
τὸ κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς δια-
θήκης μένει· ἡνίκα γὰρ ἀναγινώσκεται Μωϋσῆς,
κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται· μὴ ἀνα-
καλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται· αὐ-
τὸς γὰρ ὢν ἡ ἀλήθεια, παύει τὴν σκιάν· ἐπει-
δὴ δὲ τοῖς τοῦ νόμου τύποις οὐ προσεσχήκασιν,

xix. οὐ τεθέανται τὴν ἀλήθειαν· ἀναξίους ἀπέφηναν ἑαυτοὺς τῆς ἐν Χριστῷ σωτηρίας, οἱ ἐξ Ἰσραὴλ· ταύτῃ τοι καὶ ὁσίᾳ ψήφῳ θεοῦ κατεκρύπτοντο· κέκρυωται τοίνυν ἀπὸ τῆς Ἱερουσαλὴμ τὰ τῆς πρὸς θεὸν εἰρήνης ἐμπορικά, ὧν ἕν ἐστι καὶ πρῶτον ἡ πίστις, δικαιοῦσα τὸν ἀσεβῆ καὶ συνάπτουσα δι' ἁγιασμοῦ καὶ δικαιοσύνης τῷ παναγνῳ θεῷ τοὺς ἔχοντας αὐτήν.

v. 44. p. 261. a. Ποίας ἐπισκοπῆς; τῆς διά γε φημὶ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ· καὶ φανερὰ ἡ ἔκβασις· καὶ γὰρ οἱ πιστεύσαντες, τῆς ἁλώσεως ὑπέρτεροι γεγόνασι· γνόντες τὸν ἐλθόντα αὐτοὺς ἐπισκέψασθαι καὶ σῶσαι· καὶ ἀπὸ τῶν Ῥωμαίων εἰρήνην σχόντες, ὥστε εἰ καὶ πᾶσα ἡ πόλις ἔγνω τὰ πρὸς εἰρήνην αὐτῇ συντελοῦντα, οὐδεὶς ἂν ἐάλω.

v. 45. Ἦν μὲν ἐν τῷ ἱερῷ πληθὺς, ἀργυραμοιβοὶ, καὶ οἱ τὰ θυόμενα κατὰ νόμον ζῶα πωλοῦντες· ἀλλ' ἦν ἤδη καιρὸς τοῦ καταλῆξαι τὴν σκιὰν, ἀναλάμψαι δὲ τὴν ἐν Χριστῷ ἀλήθειαν· διὰ τοῦτο Χριστὸς, ἅτε δὴ μετὰ τοῦ ἰδίου πατρὸς ἐν τῷ παρ' αὐτοῖς νεῷ τιμώμενος, συστέλλεσθαι τὰ ἐν νόμῳ προστέταχεν· οἶκον δὲ προσευχῆς ἀναδείκνυσθαι τὸν ναόν· τὸ γὰρ ἐπιπλήττειν καὶ ἀποσοβεῖν τῶν ἱερῶν περιβόλων τοὺς τὰ εἰς θυσίαν χρήσιμα διαπιπράσκοντας, τοῦτο πάντως ἐστὶ, καὶ ἕτερον οὐδὲν· ἕτερος δὲ τῶν εὐαγγελι-

στῶν, καὶ φραγέλλιον ἐκ σχοινίων ποιῆσαι φη- XIX.
σὶ, καὶ ἀπειλῆσαι πληγὰς ἐπανατείνειν αὐτοῖς· ἔδει γὰρ εἰδέναι τοὺς τὴν νομικὴν τιμῶντας λατρείαν, μετὰ τὴν τῆς ἀληθείας ἀνάδειξιν, ὅτι πνεῦμα δουλείας ἔχοντες, καὶ τὸ ἐλευθεροῦσθαι παραιτούμενοι, ὑπὸ μάστιγας ἔσονται· καὶ ὑποκείσονται κολάσει δουλολοπρεπεῖ.

Ὁ μὲν τῶν ὅλων σωτὴρ καὶ κύριος χρησί- v. 47. p. 261. b.
μως τοῖς ἄρχουσι τὴν ἑαυτοῦ δόξαν καθίστησιν ἐμφανῆ, ἵνα πιστεύσωσιν εἰς αὐτὸν· ὡς γὰρ ἐξουσίαν ἔχων τοῦ λαοῦ, ἐπεμελεῖτο αὐτοῦ· καὶ δὴ καὶ ἴδιον ὠνόμαζε πατέρα τὸν θεόν· ὡς γὰρ ἕτερος γέγραφε τῶν ἁγίων εὐαγγελιστῶν, τοῖς ἐμπόροις ἔφη· μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου, οἶκον ἐμπορίου· καὶ πάλιν γέγραπται· ὁ οἶκος μου, οἶκος προσευχῆς κληθήσεται· ὑμεῖς δὲ αὐτὸν τοιεῖτε σπήλαιον λῃστῶν· ἔδει δὴ οὖν προσκυνῆσαι μᾶλλον αὐτῷ ὡς θεῷ, οἱ δὲ τοῦτο μὲν οὐ πεπράχασιν· ἐζήτουν δὲ αὐτὸν ἀπολέσαι, ἀλλ' οὐχ εὕρισκον· ὁ γὰρ λαὸς, ἐξεκρέματο αὐτοῦ ἀκούων, φορτικωτέραν τοῖς γραμματεῦσι καὶ φαρισαίοις, καὶ ἅπασι τοῖς ἡγουμένοις τῶν ἰουδαίων, ἀποφαίνων τὴν κόλασιν, μή τε προσιεμένοις τὴν πίστιν, ἀλλὰ καὶ τοῖς ἑτέροις ἐπισκήπτουσιν.

CAP. XX.

XX. v. 1. Ὁ νόμος, φησὶν, ὁ διὰ Μωϋσέως, μόνους ἐκέλευσε τῶν ἱερῶν ἅπτεσθαι σπουδασμάτων, τοὺς ἐξ αἵματος Λευΐ· αὐτοὶ διατάττουσι τὰ ἐν τῷ θείῳ ναῷ, αὐτοῖς δέδοται τὸ μυσταγωγεῖν, καὶ ἡ τῶν ἱερῶν περιβόλων ἐξουσία· σὺ δὲ πῶς ἐξ ἑτέρας ὑπάρχων φυλῆς, γέγονας γὰρ ἐξ Ἰούδα, τὰς ἡμῖν ἐκνεμηθείσας ἁρπάζεις τιμάς;

p. 262. a. Εἰ γὰρ τὰς θεοπνεύστους ᾔδεις γραφὰς, ὦ ἀσύνετε φαρισαῖε, ἐμνήσθης ἂν ὅτι οὗτος ἐστὶν ὁ καθὰ τὴν τάξιν Μελχισεδὲκ ἱερεὺς, προσάγων θεῷ τοὺς πεπιστευκότας εἰς αὐτὸν, διὰ τῆς ὑπὲρ νόμον λατρείας· τί τοίνυν ἀσχάλλεις τῶν ἱερῶν περιβόλων ἐκπεμπομένων, ὅσα ταῖς καθὰ νόμον θυσίαις ἦν χρήσιμα; καλοῦντος εἰς ἀληθῆ δικαίωσιν τὴν διὰ πίστεως, καὶ παρατιθέντος τῆς εὐαγγελικῆς πολιτείας τὴν ὁδόν.

v. 2. Κατὰ ταῦτα καὶ τούτοις ἐρωτῶσιν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς, ἀνθυπήνεγκεν ὁ σωτὴρ τὰ περὶ τοῦ βαπτίσματος Ἰωάννου· οἱ δὲ φεύγουσι τὴν ἀλήθειαν, καὶ δυσσεβοῦντες οὐ καταπεφρίκασιν· ὁ μὲν γὰρ θεὸς καὶ πατὴρ, προαπέστειλεν τὸν μακάριον βαπτιστὴν διακεκραγότα, ἑτοιμάσατε τὴν ὁδὸν κυρίου· εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ θεοῦ ἡμῶν· περὶ οὗ φησὶ

καὶ ὁ σοφώταΤος εὐαγΓελισΤὴς· οὗτος ἦλθεν εἰς XX.
μαρΤυρίαν, ἵνα μαρΤυρήσῃ περὶ τοῦ φωτός· με-
μαρτύρηκε δὲ λέΓων, ὅτι οὗτος ἐστὶν ὁ βαπτί-
ζων ἐν ϖνεύματι ἁγίῳ, καὶ ὡς αὐτός ἐστιν ὁ
υἱὸς τοῦ θεοῦ· ἀξιόχρεως μὲν οὖν εἰς μαρτυ-
ρίαν τὴν ἐπὶ ΧρισΤῷ, μέΓας ὢν ὁ μακάριος Βα-
πτιστὴς· ἐϖειδὴ δὲ ἔθος ἦν τοῖς ἰουδαίοις δια-
βάλλειν τοὺς προφήτας, ὡς οὐκ ἀπεσΤαλμένους
παρὰ θεοῦ, ἤρεΤο ΧρισΤὸς· ὁποίαν περὶ τοῦ Βα-
πτισΤοῦ τὴν δόξαν ἐσχήκασιν· οἱ δὲ δεδίασι μὲν
εἰπεῖν τὸ ἀληθὲς, ἵνα μὴ ἀκούσωσι, διὰ τί μὴ
ἐϖιστεύσατε αὐτῷ· φεύγουσι δὲ τὸ κατηγορεῖν
τοῦ προδρόμου, δεδιότες οὐ θεὸν, ἀλλὰ τοὺς
ὄχλους· ἐπεὶ δὲ μὴ εἰδέναι ὁπόθεν εἴη τὸ βά-
ϖτισμα Ἰωάννου ϖροσεποιοῦντο, καὶ ἐκακούρ-
γουν, εἰκότως οὐδὲν αὐτοῖς ἀποκρίνεται.

Ὅλην εὑρήσει τίς τὴν ἐπί γε τοῖς υἱοῖς Ἰσ- v. 9.
ραὴλ ἱστορίαν ἐν τούτοις, ὡς ἐν βραχέσι συν-
ενηνεΓμένην· ἀμπελὼν Γὰρ, ὁ Ἰσραὴλ· ὁ δὲ τοῦ-
τον φυτεύσας, θεὸς· οὗτος ἀϖεδήμησε χρόνους
ἱκανοὺς· καί τοι ϖληροῖ τὰ ϖάντα, ἀϖολιμϖάνεται δὲ τῶν ὄντων οὐδενὸς· ϖῶς οὖν ἀϖεδήμησε; μετὰ τὸ ὀφθῆναι ἐν εἴδει ϖυρὸς καταβεβη-
κὼς ἐπὶ τὸ ὄρος τὸ Σινᾶ, οὐκέτι τὴν αὐτοῦ ϖαρ-
ουσίαν ὀφθαλμοφανῶς δέδωκεν αὐτοῖς, ἀλλ' ὡς
κατά Γε τὸν τύϖον τῶν ἀνθρωϖίνων ϖραΓμάτων,
ἔοικέ ϖως ἀϖοδημίᾳ ϖακρᾷ τὸ γεΓενημένον· ϖλὴν

xx. οὐδεὶς γέγονε διὰ μέσου καιρὸς, καθ' ὃν οὐκ ἀπεστέλλοντο παρὰ τοῦ θεοῦ προφῆται καὶ δίκαιοι νουθετοῦντες· ἀλλ' ἢ φησὶν Ἱερεμίας· ἰδοὺ τὸ ῥῆμα κυρίου ἐγενήθη αὐτοῖς εἰς ὀνειδισμὸν· οὐ μὴ βουληθῶσιν αὐτοῦ ἀκοῦσαι· διαλογίζεται δὲ καθ' ἑαυτὸν ὁ τοῦ ἀμπελῶνος δεσπότης, λέγων· τί ποιήσω; οὐχ' ὡς ἑτέρων ἀπορήσας οἰκετῶν, τὸ τί ποιήσω, φησὶ· οὐ γὰρ ἂν ἐπέλειψαν αὐτῷ τῶν ἁγίων αὐτοῦ θελημάτων οἱ ὑπουργοὶ, ἀλλ' ὡς πάσης ἰατρικῆς μεθόδου γεγενημένης, ὠφεληθέντος γε μὴν ἐκείνου μηδὲν· εἶτα φησὶ τὸ ἐντεῦθεν· πέμψω τὸν υἱόν μου τὸν ἀγαπητὸν· ἴσως τοῦτον ἐντραπήσονται· οἱ δὲ ἐπαγωνίζονται τοῖς μιάσμασιν, ἀεὶ τὰ πρότερα τοῖς δευτέροις ἀποκρύπτοντες· ὃ καὶ αὐτὸς δηλῶν, ἔλεγε· πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν· ἄνωθεν γὰρ αὐτοῖς ταῦτα ἐνεκάλουν οἱ προφῆται, λέγοντες· αἱ χεῖρες ὑμῶν, αἵματος πλήρεις· καὶ αἵματα ἐφ' αἵμασι μίσγουσι· καὶ οἰκοδομοῦντες Σιὼν ἐν αἵμασιν· ἀλλ' οὐκ ἐσωφρονίζοντο· καί τοι ταύτην πρώτην λαβόντες τὴν ἐντολὴν, τὸ οὐ φονεύσεις· καὶ διὰ πολλῶν καὶ παντοδαπῶν, εἰς τὴν φυλακὴν τῆς ἐντολῆς ταύτης ἐναγόμενοι· ἀλλ' ὅμως τὴν πονηρὰν ἐκείνην οὐκ ἀπέθεντο συνήθειαν.

p. 262. b. Ἀλλὰ μετὰ τοὺς προφήτας, καὶ τὸν φύσει υἱὸν ἀπεκτόνασιν· ἐκβέβληνται τοίνυν οἱ τῶν Ἰου-

δαίων ἡγούμενοι· ὡς καὶ δεσποτικοῖς θελήμα- XX.
σιν ἀντενηγμένοι, καὶ ἄκαρπον ἀποφήνασθες τὸν
ἐγχειρισθέντα αὐτοῖς ἀμπελῶνα· ἐκδέδοται δὲ
τὸ χωρίον τοῖς τῆς καινῆς διαθήκης ἱερουργοῖς·
οἱ δὲ γραμματεῖς καὶ φαρισαῖοι ἀκούσαντες,
ἔφησαν· μὴ γένοιτο· ἐντεῦθεν ἔστιν ἰδεῖν, ὅτι
συνιέντες τῶν αἰνιγμάτων τὸ βάθος, ἀποσείον-
ται τὸ παθεῖν, καὶ δεδοίκασι τὸ ἐσόμενον· ἀλλ'
οὐκ ἔξω γεγόνασι αὐτοῦ, διὰ τὸ ἀκάθεκτον
εἰς παρακοὴν, καὶ τὸ μὴ ἀνέχεσθαι πιστεῦσαι
Χριστῷ.

Ἀπεδοκιμάσθη γὰρ, καί τοι λίθος ὢν ἐκλε- v. 17.
κτὸς ὁ σωτὴρ, παρὰ τῶν ὀφειλόντων ὠφελεῖν p. 264. a.
διὰ πάσης ὠφελείας δηλονότι τῆς τῶν Ἰουδαίων
συναγωγῆς· ἀλλὰ γέγονεν εἰς κεφαλὴν γωνίας·
γωνίᾳ δὲ παρεικάζει τὸ γράμμα τὸ ἱερὸν τὴν
σύνοδον ἥ τοι συνάφειαν, εἰς ὁμοψυχίαν καὶ ὁ-
μοπιστίαν τῶν δύο λαῶν, φημὶ δὴ τοῦ Ἰσραὴλ,
καὶ τοῦ ἐξ ἐθνῶν· ἔκτισε γὰρ ὁ σωτὴρ τοὺς δύο
λαοὺς εἰς ἕνα καινὸν ἄνθρωπον· ποιῶν εἰρήνην,
καὶ ἀποκαταλλάσσων τοὺς ἀμφοτέρους, ἐν ἑνὶ
σώματι, πρὸς τὸν πατέρα· ἔοικε τοίνυν τὸ χρῆ-
μα γωνίᾳ, δύο τοίχους συναπτούσῃ· ταύτην τε-
θαύμακε τὴν γωνίαν, ἥ τοι τῶν δύο λαῶν τὴν
εἰς ταυτότητα σύνοδον, ὁ μακάριος Δαβὶδ, λέ-
γων· λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες,
οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· παρὰ κυρίου

xx. ἐγένετο αὕτη, ἡ γωνία δηλονότι, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν· οὐκοῦν σωτήριος μὲν ὁ λίθος τῇ γωνίᾳ τῇ παρ' αὐτοῦ γενομένῃ· συντριβὴ δὲ καὶ ὄλεθρος τοῖς ἔξω μεμενηκόσι τῆς νοητῆς καὶ πνευματικῆς ταύτης συνδρομῆς· ὁ γὰρ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον, φησὶ, συνθλασθήσεται· σκανδαλισθέντες γὰρ ἐπὶ Χριστῷ, καὶ προσωταίσαντες αὐτῷ τῶν Ἰουδαίων οἱ δῆμοι, συνετρίβησαν· οὐ γὰρ ἤθελον ἀκούειν τῆς Ἡσαΐου φωνῆς λεγούσης· κύριον αὐτὸν ἁγιάσατε, καὶ αὐτὸς ἔσται σου φόβος· καὶ οὐχ' ὡς λίθου προσκόμματι συναντήσεσθε αὐτῷ, οὐδὲ πέτρας πτώματι.

v. 19. Ἐξεκαύθη πάλιν εἰς ἀχαλίνους ὀργὰς, τὸ τῶν φαρισαίων ἐργαστήριον· καὶ ἀποκτεῖναι βούλονται τὸν ἐπὶ λύσει θανάτου γενόμενον ἄνθρωπον· ἀλλὰ διέκοψεν αὐτῶν τὸ ἀνόσιον ἐγχείρημα, ὁ τοῦ λαοῦ φόβος· οὐ γὰρ τῆς εἰς θεὸν εὐσεβείας ἦν αὐτοῖς ὁ λόγος· οὐδὲ γέγονεν αὐτοῖς χαλινὸς, ἡ διὰ Μωϋσέως ἐντολὴ λέγουσα· ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς· προτιμῶσι δὲ μᾶλλον τῆς εἰς θεὸν αἰδοῦς, τὸν ἀνθρώπινον φόβον· ποία δὲ αὐτοῖς ἐστὶν ἡ αἰτία καὶ τῆς μανίας ἡ πρόφασις; ἔγνωσαν, φησὶν, ὅτι πρὸς αὐτοὺς εἶπε τὴν παραβολὴν ταύτην· καί τοι πῶς οὐ μᾶλλον ἐχρῆν μεμαθηκότας τὸ ἐσόμενον, ἔξω φέρεσθαι τοῦ κακοῦ, καὶ τῇ πίστει τιμῆσαι τὸν

δικαιοῦντα τὸν ἀσεβῆ, καὶ ἀμνησικάκῳ χάριτι διασώζοντα τοὺς ταῖς ἁμαρτίαις ἐνισχημένους; ἀλλ' οὐδὲν τῶν τοιούτων ὑπολογισάμενοι, συκοφαντίας τῆς καθ' αὐτοῦ συλλέγουσιν ἀφορμάς. XX.

Καθῆκαν τινὰς ἐπιεικείας δόκησιν ἔχοντας, πονηροὺς δὲ ὄντας τὸν τρόπον· ἐπιλαθόμενοι τοῦ εἰπόντος θεοῦ, τίς οὗτος ὁ κρύπτων με βουλὴν, συνέχων δὲ ῥήματα ἐν καρδίᾳ, ἐμὲ οἴεται κρύπτειν; ὡς ἀνθρώπῳ προσιόντες κοινῷ τῷ πάντων σωτῆρι Χριστῷ· ἀλλ' ἦν ἄμεινον ἐννοεῖν, ὡς γέγονε μὲν ἐν ὁμοιώσει τῇ πρὸς ἡμᾶς θεὸς ὢν ὁ λόγος· ἀπὸ δέ γε τῆς θεοπρεποῦς, οὐκ ἄνθρωπος ὢν μόνον διεδείκνυτο, ἀλλὰ καὶ θεὸς· τί δὲ δή φασιν; καὶ ἐπηρώτησαν αὐτὸν κ. τ. λ. v. 20.

Ἤθελε μὲν γὰρ ὁ θεὸς, ἀνθρωπίνης δυνασθείας, ἐλεύθερον εἶναι τὸν Ἰσραήλ· ἐπειδὴ δὲ τοὺς θείους ἐπάτησαν νόμους, γεγόνασιν ὑπὸ χεῖρα Ῥωμαίων, οἳ καὶ δασμοὺς ἐπέθηκαν αὐτοῖς· ἐζήτουν τοίνυν παραδοῦναι αὐτὸν τῇ ἀρχῇ τοῦ ἡγεμόνος· προσεδόκησαν γὰρ ὅτι πάντη καὶ πάντως ἀκούσονται λέγοντος, οὐκ ἔξεστι φόρους δοῦναι Καίσαρι· ὁ δὲ ἐπιδείξατέ μοι, φησὶ, δηνάριον· ἐπιδειχθέντος δὲ, πάλιν ἤρετο· τίνος ἔχει εἰκόνα καὶ ἐπιγραφήν; οἱ δὲ, Καίσαρος φασὶν· καὶ τί πρὸς ταῦτα Χριστὸς; ἀπόδοτε τὰ Καίσαρος, Καίσαρι· καὶ τὰ τοῦ θεοῦ, τῷ θεῷ· χρημάτων μὲν γὰρ δασμοὺς ὑπορρίπτου- v. 21. p. 264. b.

XX. σι τοῖς ὑπεζευγμένοις οἱ τὴν κατ' αὐτῶν λαχόντες ἀρχήν· ζητεῖ δὲ παρ' ἡμῶν ὁ θεὸς πίστιν καὶ ἀγάπην, καὶ τὴν ἐξ ἔργων ἀγαθῶν εὐσεμίαν· οὐκοῦν τεθαυμάκασι μὲν τὴν ἀπολογίαν· καὶ τοῦτο ἐπὶ παντὸς τοῦ λαοῦ, ἐφ' οὗ καὶ ἠρώτων, ὡς μείζονα γενέσθαι τὴν ἁμαρτίαν· οἱ δὲ καὶ τούτων εἰς λήθην ἐνηνεγμένοι, Πιλάτῳ προσῆγον τὸν Ἰησοῦν φάσκοντες, τοῦτον εὕρομεν διαστρέφοντα τὸν λαὸν, καὶ κωλυόντα φόρους διδόναι Καίσαρι· καὶ ὅμως θαυμάσαντες τὴν ἀπολογίαν, ἀπῆλθον κατῃσχυμμένοι.

v. 27. p. 265. a. Ὁποία τίς ἡ τῶν σαδδουκαίων αἵρεσις, διεσάφησεν ἐν ταῖς πράξεσιν, ὡδὶ γεγραφὼς· σαδδουκαῖοι μὲν γὰρ λέγουσι μὴ εἶναι ἀνάστασιν, μήτε ἄγγελον, μήτε πνεῦμα· φαρισαῖοι δὲ ὁμολογοῦσι καὶ ἀμφότερα· προσίασι τοίνυν τῷ πάντων ἡμῶν σωτῆρι Χριστῷ, ὅς ἐστι ζωὴ καὶ ἀνάστασις, καὶ ἀναιρεῖν πειρῶνται τὴν ἀνάστασιν· ὑβρισταὶ δὲ ὄντες καὶ ἄπιστοι, πλάττουσί τι μεστὸν ἀμαθίας· ἴδωμεν δὲ ἅπερ αὐτοῖς ἔφη Χριστὸς, διελέγχων αὐτοὺς, διαγελᾷν τὴν ἀναστασιν πειρωμένους τῷ πλάσματι τῶν ἑπτὰ ἀδελφῶν ἐπὶ μιᾶς γαμετῆς τεθνεώτων· οἱ μὲν γὰρ υἱοί, φησι, τοῦ αἰῶνος τούτου, τουτέστιν οἱ τὸν κοσμικὸν καὶ ἐνσώματον διαζῶντες βίον, τεκνογονίας ἕνεκα γαμοῦσιν, οἵ γε μὴν τὴν εὐκλεᾶ καὶ ἀγαθῶν μεστὴν κατορθώσαντες ζωὴν, εἶτα

καταξιωθέντες τυχεῖν τῆς ἐντίμου ἀναστάσεως, ἄνω που πάντως ἔσονται τῆς ἐν τῷδε τῷ κόσμῳ ζωῆς· διαβιώσονται γὰρ ὡς ἂν ἁγίοις πρέποι, καὶ ἐγγὺς ἤδη γεγόνασι θεοῦ· ἰσάγγελοι γάρ εἰσι καὶ υἱοὶ θεοῦ, τὴν ἁγίοις πρέπουσαν πνεύμασι τελοῦντες λατρείαν, καὶ ὥσπερ τὸ ἀγγελικὸν πλῆθος πολὺ μέν ἐστιν, οὐ μὴν ἐκ γενέσεως αὐξηθὲν, ἀλλ' ἐκ δημιουργίας ὑπάρχον, οὕτω καὶ οἱ ἀνιστάμενοι· καὶ οὐ χρεία ἔτι γάμου· ἐπεὶ κἀνταῦθα μετὰ τὸ ἀποβαλεῖν τὸν Ἀδὰμ διὰ τὴν ἁμαρτίαν τῆς ἀθανασίας τὴν χάριν, διὰ τῆς παιδοποιΐας φυλάττεται τῷ γένει τὸ διάδοχον, ἤ τις βοήθεια παρὰ τοῦ πάντα προεγνωκότος θεοῦ προκαταβέβλητο ἤδη καὶ ἀπ' ἀρχῆς· ποιήσας γὰρ ἄνθρωπον, ἄρσεν καὶ θῆλυ ἐποίησεν· οὐκοῦν ἐσομέθα μὲν ἑαυτῶν ἀμείνους, ἀποβαλόμενοι τὴν φθοράν· καὶ πνευματικὸν ἔχοντες τὸ σῶμα, τουτέστιν εἰς μόνα βλέπων τὰ τοῦ πνεύματος· καὶ νοῦς δὲ ὁ καταβιβάζων εἰς φαυλότητα, οὐδεὶς ἔσται, τηνικαῦτα· συνέχοντος ἡμᾶς εἰς τὸ ἑαυτοῦ θέλημα τοῦ δημιουργοῦ, διὰ τοῦ ἁγίου πνεύματος, καθάπερ ἀμέλει καὶ τοὺς ἁγίους ἀγγέλους. XX.

Παρήγαγε γὰρ αὐτοῖς καὶ Μωϋσέα, εὖ εἰδότα τῶν νεκρῶν τὴν ἀνάστασιν· ἐν γὰρ τῇ βάτῳ φησὶ εἰσκεκόμικε λέγοντα θεὸν, ἐγώ εἰμι ὁ θεὸς Ἀβραὰμ Ἰσαὰκ καὶ Ἰακώβ· τίνων δὲ v. 37.

xx. θεὸς, εἰ μὴ ζήσονται κατ' ἐκείνους; ἀλλ' ἔστι ζώντων θεὸς· οὐκοῦν πάντη τε καὶ πάντων ἀναβιώσονται, τῆς πανσθενεστάτης δεξιᾶς ἀποφερούσης εἰς τοῦτο ἅπαντας τοὺς ἐπὶ τῆς γῆς.

v. 41. p. 266. a. Ἀρχὴ συνέσεως ἡ πίστις· ἐὰν γὰρ μὴ πιστεύσητε, οὐδ' οὐ μὴ συνῆτε· σωτήριος δὲ τῶν ἀναγκαίων ἡ ζήτησις ἔστι μὲν ὁμολογουμένως, καὶ υἱὸς καὶ κύριος τοῦ Δαβὶδ, ὁ Ἐμμανουήλ· τίνα δὲ τρόπον, αὐτὸ δὴ τοῦτο προσήκει νοεῖν, εἴπερ ἔλοιπό τις ἀναμαθεῖν, βαδιεῖται πάντως εἰς ἀκριβῆ θεωρίαν μυστηρίου τοῦ κατ' αὐτὸν, ὃ σεσίγηται μὲν ἀπὸ καταβολῆς κόσμου, πεφανέρωται δὲ ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς· οἱ μὲν οὖν φαρισαῖοι σεσιγήκασιν ἐρομένου Χριστοῦ· ἔδρων δὲ τοῦτο δυστρόπως, μᾶλλον δὲ καθ' ἑαυτῶν· ἵνα μὴ ξεομένης τῆς ἐρωτήσεως, ὁ σωτήριος ἐν αὐτοῖς ἀναλάμψῃ λόγος· οὐ γὰρ ἤθελον εἰδέναι τὴν ἀλήθειαν· καὶ ἡμεῖς δὲ τοῖς νέοις φαρισαίοις τὴν τοιάνδε φεῦσιν προσοίσομεν, τοῖς μήτε υἱὸν ἀληθινὸν τοῦ θεοῦ καὶ πατρὸς, μήτε θεὸν εἶναι λέγουσι τὸν ἐκ τῆς ἁγίας παρθένου γεγενημένον· μερίζουσι δὲ τὸν ἕνα υἱὸν, εἰς υἱοὺς δύο· τίνα δὴ τρόπον ὁ υἱὸς τοῦ Δαβὶδ κύριος αὐτοῦ ἐστι, καὶ οὐκ ἀνθρωπίνῃ κυριότητι μᾶλλον, ἀλλὰ θεϊκῇ; τὸ γὰρ ὅλως ἐκ δεξιῶν αὐτὸν καθίσαι τοῦ πατρὸς, τὴν ἄνω δόξαν αὐτῷ προσμαρτυρεῖ· τὰ γὰρ ὁμόθρονα καὶ

ἰσότιμα, καὶ ἐν ταυτότητι νοεῖται φυσικῇ· ἡ δὲ κάθισις ἐπὶ θεοῦ σημήνειεν ἂν οὐχ' ἕτερον, πλὴν ὅτι τὴν βασιλείαν, καὶ τὴν τῶν πάντων ἐξουσίαν· κάθηται δὲ ἐκ δεξιῶν τοῦ θεοῦ καὶ πατρὸς πάντως, κατά γε τὸν ἀπλανῆ τοῦ σωτῆρος λόγον, ὅτι θεὸς ὢν ὁ λόγος, καὶ ἐξ αὐτῆς ἀναφὺς τῆς οὐσίας τοῦ θεοῦ καὶ πατρὸς, καὶ ἐν μορφῇ καὶ ἰσότητι πρὸς αὐτὸν ὑπάρχων, γέγονε σὰρξ, τουτέστι τέλειος ἄνθρωπος, οὐκ ἐκβεβηκὼς τῶν θείων ἀξιωμάτων, μεμενηκὼς δὲ δὲ μᾶλλον, ἐν οἷς ἦν ἀεὶ, καὶ θεὸς ὑπάρχων, κἂν εἰ γέγονε σὰρξ ἐν ὁμοιώσει τῇ πρὸς ἡμᾶς· κύριος τοίνυν ἐστὶ τοῦ Δαβὶδ κατά γε τὸ πρέπον τῇ θεϊκῇ φύσει τε καὶ δόξῃ καὶ ἐξουσίᾳ, υἱὸς δὲ αὐτοῦ κατὰ σάρκα· ἔδει τοὺς τῶν ἰουδαίων καθηγητὰς, καί τοι μεγάλην αἴροντας τὴν ὀφρῦν ἐπὶ τῇ τῶν θείων εἰδήσει νόμων, τὰς τῶν ἁγίων προφητῶν μὴ ἀγνοῆσαι φωνὰς· Ἡσαΐας γάρ φησιν, ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν· καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ, Ἐμμανουὴλ, ὅ ἐστι μεθερμηνευόμενον μεθ' ἡμῶν ὁ θεὸς· μεθ' ἡμῶν δὲ γέγονε θεὸς ὢν ὁ λόγος, τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ὑπέλθων, ἵνα σώσῃ τὴν ὑπ' οὐρανὸν· ἀλλ' οὐδεὶς ἦν, ὡς ἔφην, τοῖς ἰουδαίων καθηγηταῖς, τῆς ἀληθείας ὁ λόγος· ὁποία δέ τις γέγονεν αὐτοῖς ἡ πρόφασις εἴπερ τις ἔλοιτο μαθεῖν, ἀκούσεται πρὸς ἡμῶν· XX.

XX. ὅτι τὸ μὴ ἐθέλειν ἀποφοίτᾶν τῆς συντρόφου φιλοδοξίας, μήτε μὴν τῆς ἐπαράτου φιλοκερδείας.

v. 46. p. 266. b. Τῶν γραμματέων ἀῤῥωστήματα ἦσαν, τὸ φιλόκομπον καὶ τὸ φιλοκερδὲς· ἵνα τοίνυν τῶν οὕτως αἰτιαμάτων, ἔξω σου γένηται τῶν ἁγίων μαθητῶν ὁ χορὸς, παρεγυᾶ χρησίμως, λέγων· μὴ ἀνάσχησθε τοῖς ἴσοις ἁλῶναι κακοῖς, μὴ δὲ τῆς ἐκείνων ἀφιλοθεΐας γένησθε κοινωνοὶ· ποῖον γὰρ ἦν τὸ ἔθος αὐτοῖς; τὸ βαδίζειν ἐν ἀγοραῖς, εὖ μὲν περιεσταλμένους, καταςύροντας δὲ βαθεῖαν ὀφρῦν, τὸ τοὺς παρὰ τῶν ὁρώντων ἐπαίνους ζητεῖν, τὸ ἐπίπλαστον ἔχειν τὸ ἦθος, τὸ βαττολογεῖν ἐν προσευχαῖς.

CAP. XXI.

XXI. v. 1. Ἔφη που ὁ σωτὴρ, μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται· τούτους ἐσοπτεύει προσφέροντας τὰ δῶρα αὐτῶν εἰς τὸ γαζοφυλάκιον· ἀλλ' ὡς ἐκ πλούτου πολλοῦ, πολλὰ μὲν ἦσαν ὡς εἰκὸς, τὰ παρ' ἑκάστου καρποφορούμενα· ὀλίγα δὲ πάλιν καὶ τῆς τῶν προκομιζόντων ἀνάξια χειρὸς· εἶτα μετ' ἐκείνους, γύναιον πτωχείᾳ δεινῇ κατηχθισμένον, εἰσέθει, ἐξ ἐράνου μόλις καὶ δὲ σὺν ἱδρῶτι συλλέγον, εὐτελεστάτην καὶ ἀποχρῶσαν ἡμέρᾳ διατροφὴν· εἶτα δύο προσῆγεν ὀβολοὺς, ὥσπερ ἀποκτωμένη τὸν βίον· ὧ παρα-

δόξου θαύματος· ἡ τὸν παρ' ἑτέρου ἔλεον ζη- XXI.
τοῦσα διηνεκῶς, αὐτὴ δανείζει θεῷ, καρποφό-
ρον αὐτῷ καὶ αὐτὴν ἀποφαίνουσα τὴν πτωχείαν·
νικᾷ τοιγαροῦν τοὺς ἄλλους, καὶ δικαίᾳ ψήφῳ
στεφανοῦται παρὰ θεῷ.

Οὐ συνίεσαν οἱ μαθηταὶ τῶν εἰρημένων τὴν v. 7. p. 268. b.
δύναμιν, ἀλλὰ περὶ συντελείας τοῦ αἰῶνος εἰ-
ρῆσθαι νομίσαντες, ἤροντο πότε ταῦτα ἔσται·
διὸ καὶ αὐτὸς ἀφίησι μὲν τέως τοὺς περὶ τῆς
ἁλώσεως τῶν Ἱεροσολύμων λόγους· τοὺς δὴ πε-
ρὶ συντελείας ὑφαίνει, καὶ φησὶν ὅτι πρὸ τῆς ἐξ
οὐρανῶν αὐτοῦ καθόδου, προδραμοῦνταί τινες,
τὸ αὐτοῦ πρόσωπον ἑαυτοῖς περιπλάττοντες, οἷς
οὐ χρὴ πείθεσθαι· ἠθέλησε μὲν γὰρ ὁ μονογε-
νὴς τοῦ θεοῦ λόγος, ἵνα σώσῃ τὴν ὑπ' οὐρανὸν,
καὶ γέννησιν ὑπομεῖναι τὴν κατὰ σάρκα ἐκ γυ-
ναικὸς· ἦν δὲ τὸ χρῆμα αὐτῷ κένωσις καὶ ταπεί-
νωσις· ὡς οὖν ἑαυτὸν καθεὶς εἰς κένωσιν λαν-
θάνειν ἠξίου· καὶ γοῦν ἐπέτιμα τοῖς ἀποστόλοις
πρὸ τοῦ τιμίου σταυροῦ, ἵνα μὴ φανερὸν αὐτὸν
ποιήσωσιν· ἐδεῖτο γὰρ τοῦ λαθεῖν τῆς μετὰ σαρ-
κὸς οἰκονομίας ὁ τρόπος, ἵνα καὶ τὸν τίμιον
ὑπὲρ ἡμῶν ὑπομείνας σταυρὸν ὡς ἄνθρωπος,
καταργήσῃ τὸν θάνατον· καὶ τῆς κατὰ πάντων
τυραννίδος ἀπωσοβήσῃ τὸν σατανᾶν, ἡ δὲ δευ-
τέρα καὶ ἐξ οὐρανοῦ καταφοίτησις, οὐ λελη θό-
τως ἔσται καθὰ καὶ πρὸ τούτου, ἀλλ' ἐπίση-

XXI. μός τε καὶ φόβου μεστὴ· καταβήσεται γὰρ δορυφορούντων αὐτὸν τῶν ἁγίων ἀγγέλων, καὶ ἐν τῇ δόξῃ τοῦ θεοῦ καὶ πατρὸς, ἵνα κρίνῃ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ· οὐκοῦν ὅταν τινες ἐγερθῶσι ψευδόχριστοι καὶ ψευδοπροφῆται, μὴ πορευθῆτε ὀπίσω αὐτῶν.

v. 9. p. 269. a. Ἢ καὶ τέλος τὸ κοινόν φησι, καὶ τὴν παγκόσμιον συντέλειαν.

v. 10. Δίδωσι σημεῖα σαφῆ τε καὶ ἐναργῆ τῆς συντελείας τοῦ κόσμου· πόλεμοι γὰρ ἔσονται φησὶν καὶ καταστασίαι, καὶ λιμοὶ καὶ φόβητρα ἀπ' οὐρανοῦ· ὡς γὰρ ἕτερος φησὶ τῶν εὐαγγελιστῶν, πάντα τὰ ἄστρα πεσεῖται, εἰλιχθήσεται ὁ οὐρανὸς ὡς βιβλίον, αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται.

Διὰ μέσου μέν τοι τίθησιν ὁ σωτὴρ τὰ περὶ τῆς ἁλώσεως τῶν Ἱεροσολύμων· καὶ τὸν λόγον κεράννυσι λέγων· πρὸ δὲ τούτων πάντων κ. τ. λ.

v. 12. Πρὸ γὰρ τῶν τῆς συντελείας καιρῶν, ἥλω μὲν ἡ τῶν Ἰουδαίων χώρα, καταδραμούσης αὐτὴν τῆς Ῥωμαίων στρατιᾶς, ἐμπέπρησται δὲ ὁ ναὸς, κατεσείσθη τὰ παρ' αὐτοῖς βασίλεια, πέπαυται τῆς κατὰ νόμον λατρείας ἡ δύναμις· πρὶν δὲ ταῦτα συμβῆναι, ἐδιώχθησαν πανταχοῦ αὐτῶν οἱ μακάριοι μαθηταὶ, δεσμῶται γεγόνασι, ἤχθησαν ἐπ' ἄρχοντας, ἐπέμφθησαν ἐπὶ βασιλέας·

ἀπεσ[άλη γοῦν ὁ Παῦλος εἰς Ῥώμην, πρὸς Καί- xxi.
σαρα, καὶ Φήστῳ παρέστη καὶ Ἀγρίππᾳ· πλὴν
γέγονεν αὐτοῖς εἰς μαρ[ύριον, τουτέσ[ιν εἰς μαρ-
τυρίου δόξαν, τὰ ἐπεννηνεγμένα.

Παρεγγυᾷ ὅτι μὴ προμελετᾶτε μέλλοντες v. 14.
ἀπολογεῖσθαι· λήψεσθε γάρ φησι παρ' ἐμοῦ
σοφίαν καὶ γλῶσσαν ἄμαχον καὶ ἀνατα[ώνισ[ον
τοῖς ἀντικειμένοις ὑμῖν· ἀποκείρων δὲ καὶ τῆς
ἀνθρωπίνης μικροψυχίας τὰς ἀφορμὰς, παρα-
δοθήσεσθαι φησὶν αὐτοὺς παρὰ τῶν οἰκειοτά-
των, πλὴν ὅτι πάν[η τὲ καὶ πάν[ως σωθήσονται
παρ' αὐτοῦ· ἐπάγει γοῦν· παραδοθήσεσθε δὲ
κ. τ. λ.

Ὁ δὲ κύριος σαφεστέραν ποιῶν τὴν προαγό- v. 20.
ρευσιν τῆς ἁλωσέως, ἐπάγει· ὅταν δὲ ἴδητε κυ- p. 70. a.
κλουμένην κ. τ. λ.

Ἐλεύσεται, φησιν, ὁ υἱὸς τοῦ ἀνθρώπου, v. 27.
οὐκ ἔτι ἐν ὑφέσει, οὐδὲ ἐν μικροπρεπείᾳ τῇ καθ' p. 271. a.
ἡμᾶς, ἀλλ' ἐν δόξῃ καὶ δυνάμει θεότητος· κα[' ἀμφοτέρων δὲ ἀκούσῃ τὸ πολλῆς, μετὰ δυνά-
μεως γὰρ πολλῆς καὶ δόξης πολλῆς, τὴν δευ-
τέραν αὐτοῦ ποιήσε[αι θεοφάνειαν, ἐπεὶ τὴν προ-
τέραν μετὰ ἀσθενείας καὶ ἀτιμίας ἐποιήσατο.

Ἀναβιώσον[αι γὰρ οἱ νεκροὶ, καὶ ἀποδύσε- v. 28.
ται τὴν φθορὰν τὸ ἐκ γῆς τοῦτο καὶ εὐάλωτον
τοῖς πάθεσι· ἐνδύσε[αι δὲ τὴν ἀφθαρσίαν, Χρι-
στοῦ νέμοντος αὐτὴν, καὶ συμμόρφους τῷ σώ-

XXI. ματι τῆς δόξης αὐτοῦ τοὺς εἰς αὐτὸν πιστεύοντας ἀποφαίνοντος.

v. 37. p. 273. a. Τίνα δὲ ἦν ἃ ἐδίδασκεν, ἢ πάντως που τὰ ὑπὲρ τὴν νομικὴν λατρείαν; ἐνειστήκει γὰρ καιρὸς τοῦ τὴν σκιὰν μεταπλάττεσθαι εἰς ἀλήθειαν· ὁ δὲ ὄχλος ἥδιστα ἠκροᾶτο· τεθαυμάκασι γὰρ αὐτὸν πλειστάκις, ὅτι ἐξουσία ἦν ὁ λόγος αὐτοῦ, ὡς αὐτὸς γὰρ ὑπάρχων ὁ πάλαι λαλῶν διά τε Μωϋσέως, καὶ τῶν προφητῶν, καὶ τῶν ὅλων κύριος, μεθίστη μετ' ἐξουσίας πρὸς τὴν πνευματικὴν λατρείαν τὰ ἐν τύποις κεχρησμῳδημένα· πυλίζετο γε μὴν εἰς τὸ ὄρος τῶν ἐλαιῶν, τοὺς ἐν τῇ πόλει θορύβους παραιτούμενος· ἵνα ἡμῖν κἀν τούτῳ γένηται τύπος· τῷ γε μὴν ὄχλῳ ὀρθρίζοντι πρὸς αὐτὸν, προσῆκε λέγειν τὸ τοῦ Δαβὶδ· ὁ θεὸς ὁ θεός μου, πρὸς σὲ ὀρθρίζω, ἐδίψησέ σε ἡ ψυχή μου.

CAP. XXII.

XXII. v. 1. p. 278. a. Θέα δὲ ὅτι ἄνωθεν ἡμῖν ὁ σωτὴρ ἐνομοθέτει τὰ κάλλιστα καὶ τὰ συμφέροντα, καὶ διὰ νόμου καὶ προφητῶν σύμβουλος ἡμῖν ἀγαθὸς εἰς σωτηρίαν ἐγίνετο, ἀλλὰ τότε μὲν δι' αἰνίγματος καὶ σκιᾶς, διὰ τὴν τῶν ἀκροωμένων ἀσθένειαν· νυνὶ δὲ γυμνὴν ἡμῖν παραθεὶς τὴν ἀλήθειαν, καὶ αὐτὴν τῶν πραγμάτων εἰς μέσον ἄγει

τὴν εἰκόνα· ἔδει γὰρ ὄντως διὰ μὲν τῶν θερα- XXII.
πόντων διακονεῖσθαι τοὺς τύπους, διὰ δὲ τοῦ
πάντων δεσπότου τὴν ἀλήθειαν· ἐπεὶ καὶ αὐτὸς
ἦν ὁ λέγων περὶ ἑαυτοῦ, ἐγώ εἰμι ἡ ἀλήθεια·
ἀποκεκινημένης τοιγαροῦν τῆς σκιᾶς, εἰσίτω λοι-
πὸν ἡμῖν τῆς ἀληθείας ἡ δύναμις· φαινέσθω
τῶν δι' αἰνίγματος εἰρημένων ὁ τύπος ἐναργέ-
τερος· ἰουδαῖοι μὲν οὖν σφάλλονται καὶ πλα-
νῶνται, καὶ τῶν δεόντων ἐκπίπτουσι λογισμῶν·
ἀζύμους ἄρτους παρατιθέμενοι· οὐκ ἀκούουσι
δὲ ὡς εἰκὸς τοῦ Παύλου λέγοντος· βρῶμα ἡμᾶς
οὐ παρίστησι τῷ θεῷ, καὶ τὰ ἑξῆς· οὐδὲ τοῦ
σωτῆρος· οὐκ οἴδατε ὅτι πᾶν τὸ εἰσερχόμενον εἰς
τὸ στόμα, εἰς τὴν κοιλίαν χωρεῖ, καὶ εἰς ἀφε-
δρῶνα ἐκβάλλεται; ἡμεῖς δὲ πνεύματι τὰ πνευ-
ματικὰ συγκρίνομεν· ὡς ζύμην, τὴν κακίαν ἀπο-
φεύγοντες· καὶ πράξεις ἀγαθὰς ἐπιτηδεύοντες,
ἵνα σὺν Χριστῷ ὡς ἐν ἀναγαίῳ εἰς τὴν ἄνω Ἰε-
ρουσαλὴμ ἀνακλιθησόμεθα· ἣν Ἡσαΐας ἀποθαυ-
μάζων ἔλεγεν, ὡς πρὸς ἡμᾶς τοὺς μέλλοντας
εἰς ἐκείνην ἔσεσθαι τὴν πόλιν· οἱ ὀφθαλμοί σου
ὄψονται, Ἰερουσαλὴμ πόλις πλούσια, σκηναὶ αἳ
οὐ μὴ σεισθῶσιν, οὐδὲ τὰ σχοινία αὐτῆς οὐ μὴ
διαῤῥαγῶσιν· ἡ μὲν γὰρ παρὰ ἀνθρώποις εὐ-
θυμία, εἰς ὀλίγον ἀντέχει· ἀπορῥήγνυνται δὲ
ὀλίγης τινὸς μεταξὺ γενομένης μεταβολῆς· αἱ
δὲ ἐν τοῖς οὐρανοῖς μοναὶ καὶ τὸ παρ' αὐταῖς

XXII. ἀγαθὸν, γένναῖον ἔχει τὸν τόνον, τῇ τοῦ θεοῦ βουλήσει διακραζούμενον· ἵνα τοίνυν ἐν ταῖς οὕτω ἀξιαγάστοις καταλύσωμεν μοναῖς, καὶ συνεορτάσωμεν τῷ Χριστῷ, καθαρὰν ἐπιτελέσωμεν τὴν νηστείαν, μὴ βρωμάτων συμμετροῦντες αὐτῆς τὴν δύναμιν, ἀλλ' ὥσπερ ἀναχωροῦμεν περιέργου τραπέζης, καὶ τῆς ἄλλης τρυφῆς ἀναχωρήσωμεν καὶ ποικιλίας κακῶν.

v. 8. p. 279. a. Ἴδωμεν τοὺς τύπους τιμῶσαν ἔτι τὴν ἀλήθειαν· ἐλθούσης γάρ φησι τῆς ἡμέρας, καθ' ἣν ἔδει θύεσθαι τὸ πάσχα, δύο τινὰς ἀπολέγδην τῶν ἁγίων ἀποστόλων, ἦσαν δὲ Πέτρος καὶ Ἰωάννης, πέπομφεν ἐν τῇ πόλει, εἰπὼν αὐτοῖς τὰ προγεγραμμένα· καί τοι τί δή ποτε οὐ τὸν ἄνθρωπον ἐναργῶς καταμεμήνυκε τοῖς ἀπεσταλμένοις; οὐ γὰρ ἔφη πρὸς τὸν δεῖνα τυχὸν, ἀλλὰ σημεῖον δέδωκεν, ἄνθρωπον ἁπλῶς κεράμιον σκεῦος βεβορτισμένον· τί οὖν βρὸς τοῦτο φαμὲν; ἤδη τοῖς ἰουδαίοις ὑποσχόμενος ἦν ὁ προδότης βαραδώσειν αὐτὸν· ἵνα τοίνυν μὴ μάθῃ τὸν ἄνθρωπον, καὶ δραμὼν ἀπεγγείλῃ τοῖς μισθωσαμένοις, δίδωσι σημεῖον· ἔτι γὰρ ἐβλάττετο τὴν μαθητοῦ εὔνοιαν ἔχειν, μιαιφονίαν ὠδίνων· ὑπαντήσει γάρ φησιν ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων· ἢ τάχά που καὶ μυστικόν τι καὶ ἀναγκαῖον διὰ τούτου δηλῶν· ἔνθα γὰρ ἂν εἰσέλθοι τὸ ὕδωρ, δῆλον δὲ ὅτι τὸ τοῦ

ἁγίου βαπτίσματος, ἐκεῖ καταλύσει Χριστὸς· XXII.
παντὸς γὰρ ἡμᾶς ἀπαλλάττει ῥύπου, ὥστε καὶ ναὸν ἡμᾶς ἅγιον γενέσθαι θεοῦ, καὶ τῆς θείας αὐτοῦ φύσεως κοινωνοὺς διὰ μετοχῆς τοῦ ἁγίου πνεύματος· οὐκ ἂν δὲ ἁμάρτοι τίς τοῦ ἀληθοῦς, καὶ ἀνάγειον εἶναι λέγων τοῦ ἁγίου πνεύματος, παντὸς ἁγίου ψυχήν· καυχάσθω γάρ φησιν ὁ ἀδελφὸς ὁ ταπεινὸς ἐν τῷ ὕψει αὐτοῦ.

Ἑτοιμάσασι τὸ πάσχα τοῖς μαθηταῖς, συν- v. 15.
εστιᾶτο Χριστὸς· ἀνεξικακῶν δὲ τῷ προδότῃ, φησὶν· ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν· τί δὲ τοῦτο δηλοῖ; καιρὸν ἐζήτει τῆς προδοσίας ὁ φιλάργυρος μαθητὴς· ἵνα δὴ μὴ πρὸ τῆς ἑορτῆς τοῦ πάσχα τοῖς φονῶσιν αὐτὸν παραδῷ, οὐ διαμεμήνυκεν ὁ σωτὴρ ἢ τὸν οἶκον, ἢ τὸν ἄνθρωπον, παρ' ᾧ τὸ πάσχα πεπλήρωκεν· ἀποδιδοὺς τοιγαροῦν τὴν αἰτίαν τοῦ μὴ θελῆσαι σαφῶς εἰπεῖν τὸν παρ' ᾧ κατέλυσεν, ἐπιθυμίᾳ, φησὶν, ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν· ὅμοιον ὡς εἰ λέγοι, πᾶσαν ἐθέμην σπουδὴν, ὅπως ἂν ἰσχύσω λαθεῖν τὴν τοῦ προδόντος ἀνοσιότητα, ἵνα μὴ πρόωρον ὑπομείνω τὸ πάθος· φάγω τὸ πάσχα τοῦτο, ἕως οὗ πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ· ἔθος δὲ αὐτῷ βασιλείαν θεοῦ ὀνομάζειν τὴν ἐν πίστει δικαίωσιν, τὴν διὰ τοῦ βαπτίσματος κάθαρσιν, καὶ τὴν τοῦ ἁγίου πνεύματος μέθεξιν, καὶ τῆς

XXII. ἐν πνεύματι λατρείας τὴν δύναμιν· οὐκοῦν οὐ γεύσομαί φησι τοιούτου πάσχα, τοῦ διὰ βρώσεως δηλονότι δηλουμένου τυπικῶς, ἕως οὗ πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ· τοὐτέστιν ἀναδειχθέντος τοῦ καιροῦ, καθ' ὃν ἡ βασιλεία τῶν οὐρανῶν εὐαγγελίζηται· πληροῦται γὰρ ἐν ἡμῖν τοῖς τὴν ὑπὲρ νόμον τιμῶσι λατρείαν, πάσχα τὸ ἀληθινὸν· καὶ οὐκ ἐξ ἀγέλης ἀμνὸς ἁγιάζει τοὺς ἐν Χριστῷ, αὐτὸς δὲ μᾶλλον ἁγίως ἱερουργούμενος διὰ τῆς μυστικῆς εὐλογίας, καθ' ἣν εὐλογούμεθα καὶ ζωοποιούμεθα· γέγονε γὰρ ἡμῖν ἄρτος ζῶν, ὁ ἐξ οὐρανοῦ καταβὰς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ.

p. 280. a. Ἀσταχύων γὰρ οἷά τις ἀπαρχὴ, καὶ νέος ὥσπερ καρπὸς ἐν εἴδει δράγματος, νοεῖται Χριστὸς· ὁ πρωτότοκος ἐκ νεκρῶν, ἡ τῆς ἀναστάσεως καὶ ἡμῖν ὁδὸς, ὁ πάντα πρὸς καινότητα μεταστοιχειῶν, καὶ παλαιότητος ἀπαλλάττων· ἀνεκομίζετο δὲ τὸ δράγμα ἔναντι κυρίου· ἐγηγερμένος γὰρ ἐκ νεκρῶν ὁ Ἐμμανουὴλ ὁ νέος τῆς ἀνθρωπότητος καὶ ὡς ἐν ἀφθαρσίᾳ καρπὸς, ἀναβέβηκεν εἰς τὸν οὐρανὸν· ἵνα ἐμφανισθῇ νῦν ὑπὲρ ἡμῶν τῷ προσώπῳ τοῦ Θεοῦ καὶ πατρὸς, καὶ οὐχὶ δὴ πάντως ἑαυτὸν εἰς ὄψιν ἄγων αὐτοῦ· καὶ οὐκ ἂν ἀπολιμπάνοιτο τοῦ πατρὸς, ὡς Θεὸς, ὡς ἐν ἑαυτῷ δὲ μᾶλλον εἰς ὄψιν ἄγων ἡμᾶς τοὺς ἔξω προσώπου καὶ ἐν ὀργῇ, διὰ τὴν

ἐν Ἀδὰμ παράβασιν, καὶ τὴν καθ' ἡμῶν τυραν- XXII.
νήσασαν ἁμαρτίαν· ὅρα δὲ ὅπως ἡμῖν ὁ νόμος
καὶ τὸν τῇ ἀναστάσει πρέποντα προανετύπου και-
ρὸν, τουτέστι τὴν τρίτην ἡμέραν· τῇ γὰρ ἐπαύ-
ριον τῆς πρώτης φησὶν, ἀνοίσει τὸ δράγμα ὁ
ἱερεὺς ἔναντι κυρίου· εἰσκεκόμικε δὲ παραχρῆμα
τῆς ἁγίας ἡμῖν πεντηκοστῆς προανατύπωσιν ἐν-
αργῆ, ἑπτὰ χρῆναι λέγων ἐπαριθμεῖν ἑβδομά-
δας, τῇ τοῦ δράγματος ἀνακομιδῇ· μετὰ γάρ
τοι τὴν ἀναστάσιμον τοῦ σωτῆρος ἡμέραν, ἑπτὰ
συνείροντες ἑβδομάδας, τὴν ἐπαύριον πεντεκο-
στὴν ἑορτάζομεν οἱ πεπιστευκότες.

Εὐχαριστεῖ μὲν, τουτέστιν ἐν σχήματι προσ- v. 17.
ευχῆς διαλέγεται τῷ θεῷ πατρὶ, κοινωνὸν ὥσ- p. 281. a.
περ αὐτὸν καὶ συνευδοκητὴν ἀποφαίνων τῆς δο-
θησομένης ἡμῖν εὐλογίας ζωοποιοῦ· πᾶσα γὰρ
χάρις καὶ πᾶν δώρημα τέλειον ἐφ' ἡμᾶς ἔρχε-
ται παρὰ πατρὸς δι' υἱοῦ, ἐν ἁγίῳ πνεύματι·
τύπος δὲ ἦν ἄρα τὸ δρώμενον εἰς ἡμᾶς αὐτοὺς,
τῆς ὀφειλούσης προσανατείνεσθαι λιτῆς εἰ μέλ-
λοι προτίθεσθαι παρ' ἡμῶν τῆς μυστικῆς καὶ
ζωποιοῦ δωροφορίας ἡ χάρις, ὃ δὴ καὶ δρᾶν
εἰθίσμεθα· προσαναπέμποντες γὰρ τὰς εὐχαρι-
στίας, καὶ ὁμοῦ τῷ θεῷ καὶ πατρὶ δοξολογοῦν-
τες τὸν υἱὸν σὺν τῷ ἁγίῳ πνεύματι, προσιμεν
οὕτω ταῖς ἁγίαις τραπέζαις· πιστεύοντές τε ὅτι
ζωποιούμεθα καὶ εὐλογούμεθα καὶ σωματι-

XXII. κῶς καὶ πνευματικῶς· δεχόμεθα γὰρ ἐν αὐτοῖς τὸν ἐνανθρωπήσαντα δι' ἡμᾶς τοῦ θεοῦ πατρὸς λόγον, ὅς ἐστι ζωὴ καὶ ζωοποιὸς· εἶτα τίς ἐστιν ὁ τοῦ καθ' ἡμᾶς μυστηρίου λόγος, ὡς ἔνι ζητήσωμεν· ἔκτισε τοίνυν ὁ τῶν ὅλων θεὸς ἐπὶ ἀφθαρσίᾳ τὰ πάντα· καὶ εἰσὶν αἱ γενέσεις τοῦ κόσμου σωτήριοι· φθόνῳ δὲ διαβόλου, θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον· παρεκόμισε γὰρ εἰς παράβασιν καὶ παρακοὴν τὸν πρῶτον ἄνθρωπον, καὶ ταύτης ἕνεκα τῆς αἰτίας ὑπὸ θείαν ἀρὰν· εἴρηται γὰρ πρὸς αὐτὸν, γῇ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ· ἀλλ' ὑπερήλλαττο τῆς ἐκείνου δυσπροπίας τὸ βλάβος, ἡ τοῦ κτίσαντος ἡμερότης· βεβοήθηκε τοῖς ἐπὶ τῆς γῆς· ζωὴ μὲν γάρ ἐστι καττὰ φύσιν ὁ θεὸς καὶ πατὴρ· μόνος δὲ τοῦτο ὑπάρχων, ἐξελάμψε τὸν Χριστὸν, ζωὴν ὄντα καὶ αὐτὸν· οὐ γὰρ ἦν ἑτέρως δύνασθαι τὸν οὐσιωδῶς ἐκ ζωῆς προελθόντα λόγον· πάντα τοίνυν ὁ θεὸς καὶ πατὴρ ζωογονεῖ δι' υἱοῦ, ἐν ἁγίῳ πνεύματι· πῶς οὖν ἔδει τὸν ἐπὶ γῆς ἄνθρωπον κεκρατημένον θανάτῳ πρὸς ἀφθαρσίαν ἀναδραμεῖν; ἔδει τὴν ἀποθνήσκουσαν σάρκα, τῆς παρὰ θεοῦ ζωοποιοῦ δυνάμεως γενέσθαι μέτοχον· δύναμις δὲ τοῦ θεοῦ καὶ πατρὸς ἡ ζωοποιὸς, ὁ μονογενής ἐστι λόγος· τοῦτον ἡμῖν ἔπεμψε σωτῆρα καὶ λυτρωτὴν, καὶ γέγονε σὰρξ· οὐ τροπὴν ἢ ἀλλοίωσιν ὑπομείνας εἰς ὅπερ οὐκ ἦν· οὔτε μὴν

ἀποφοιτήσας τοῦ εἶναι λόγος· γεννηθεὶς δὲ μᾶλ- XXII.
λον κατὰ σάρκα ἐκ γυναικὸς, καὶ ἰδιοποιησά-
μενος σῶμα τὸ ἐξ αὐτῆς, ἵν' ἡμῖν ἑαυτὸν ἐμ-
φυτεύσῃ καθ' ἕνωσιν ἀδιάσπαστον, καὶ θανάτου
καὶ φθορᾶς ἀποφήνῃ κρείττονας· τὴν γὰρ ἡμῶν
ἠμπέσχετο σάρκα, ἵν' ἐκ νεκρῶν ἀναστήσας αὐ-
τὴν, ὁδοποιήσῃ λοιπὸν τῇ πρὸς θάνατον κατεν-
νεγμένῃ σαρκὶ, τὴν εἰς ἀφθαρσίαν ἀναδρομήν·
καθὰ φησὶν ὁ Παῦλος, ἐπειδὴ γὰρ δι' ἀνθρώ-
που θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νε-
κρῶν, ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνή-
σκουσιν, οὕτως καὶ ἐν τῷ Χριστῷ πάντες ζωο-
ποιηθήσονται· ἑνώσας τοίνυν ἑαυτῷ τὴν τῷ θα-
νάτῳ κάτοχον σάρκα, θεὸς ὢν ὁ λόγος καὶ ζωὴ,
ἀπεσόβησε μὲν αὐτῆς τὴν φθοράν, ἀπέφηνε δὲ
αὐτὴν καὶ ζωοποιὸν· καὶ μὴ ἀπιστήσῃς οἷς εἶ-
πον· δέχου δὲ μᾶλλον ἐν πίστει τὸ ῥῆμα, ἐκ
μικρῶν παραδειγμάτων τὰς ἐπ' αὐτῷ δὴ τού-
τῳ πληροφορίας συλλέγων· ὅταν εἰς οἶνον ἢ γοῦν
εἰς ἔλαιον ἢ εἴς τι τῶν ὑγρῶν, μικρὸν ἄρτον
ἐμβάλῃς, εὑρήσεις αὐτὸν γεγονότα μεστὸν τῆς
ἐκείνου ποιότητος· ὅταν σίδηρος ὁμιλήσῃ πυρὶ,
τότε ἐμπίπλαται τῆς ἐνεργείας αὐτοῦ, καὶ σί-
δηρος ὢν κατὰ φύσιν ἰδίαν, τὴν τοῦ πυρὸς ᾠδί-
νει δύναμιν· οὐκοῦν ὁ ζωοποιὸς τοῦ θεοῦ λόγος,
ἑνώσας ἑαυτὸν τῇ ἰδίᾳ σαρκὶ, καθ' ὃν οἶδε τρό-
πον αὐτὸς, ζωοποιὸν ἀπέφηνεν αὐτήν· ἔφη γὰρ

XXII. αὐτὸς, ἀμὴν λέγω ὑμῖν· ὁ πιστεύων εἰς ἐμὲ, ἔχει ζωὴν αἰώνιον· ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς· καὶ πάλιν· ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ἐάν τις φάγῃ ἐκ τοῦ ἄρτου τούτου, ζήσεται εἰς τὸν αἰῶνα· καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστὶν· ἀμὴν, λέγω ὑμῖν· ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς· οὐκοῦν ἐσθίοντες τὴν σάρκα τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, καὶ πίνοντες αὐτοῦ τὸ τίμιον αἷμα, ζωὴν ἔχομεν ἐν ἑαυτοῖς, ἓν ὡς πρὸς αὐτὸν ἀποτελούμενοι, καὶ ἐν αὐτῷ μένοντες, ἔχοντες δὲ αὐτὸν καὶ ἐν ἑαυτοῖς· καὶ μή τις λεγέτω τῶν ἀπιστεῖν εἰωθότων, ἆρα οὖν ἐπειδὴ καὶ ἐν ἡμῖν ζωὴ κατὰ φύσιν ὑπάρχων ὁ τοῦ θεοῦ λόγος αὐλίζεται, ζωοποιόν ἐστι καὶ τὸ ἑκάστου σῶμα; ἔστω δὲ μᾶλλον ὡς ἕτερόν ἐστι τὸ κατὰ μέθεξιν σχετικὴν ἡμᾶς ἔχειν ἐν ἑαυτοῖς τὸν υἱὸν, ἕτερον δὲ ὁλοτρόπως τὸ αὐτὸν γενέσθαι σάρκα, τουτέστιν ἴδιον ποιήσασθαι σῶμα τὸ ἐκ τῆς ἁγίας παρθένου ληφθὲν· οὐ γὰρ ἐν ἡμῖν γενόμενος, ἐνανθρωπῆσαι λέγεται καὶ γενέσθαι σὰρξ· τοῦτο γὰρ γέγονεν ἅπαξ, ὅτε προῆλθεν ἄνθρωπος, οὐκ ἀποβαλὼν τὸ εἶναι θεὸς· ἴδιον οὖν γέγονε σῶμα τοῦ λόγου, τὸ ἐκ τῆς ἁγίας παρθένου ληφθὲν καὶ ἑνωθὲν αὐτῷ· πῶς δὲ ἢ τίνα τρόπον, εἰπεῖν οὐκ

ἔνεστιν· ἄφραστος γὰρ καὶ ἀπερινόητος παντε- XXII.
λῶς, καὶ αὐτῷ μόνῳ γνώριμος ὁ τῆς ἑνώσεως
τρόπος· ἔδει τοίνυν αὐτὸν διὰ τοῦ ἁγίου πνεύ-
ματος ἐν ἡμῖν γενέσθαι θεοπρεπῶς· συναναχιρ-
νᾶσθαι δὲ ὥσπερ τοῖς ἡμετέροις σώμασι, διὰ
τῆς ἁγίας αὐτοῦ σαρκὸς καὶ τοῦ τιμίου αἵμα-
τος· ἃ δὴ καὶ ἐσχήκαμεν εἰς εὐλογίαν ζωοποιὸν,
ὡς ἐν ἄρτῳ τὲ καὶ οἴνῳ· ἵνα γὰρ μὴ ἀπονάρκι-
σωμεν, σάρκα τὲ καὶ αἷμα προκείμενα βλέπον-
τες ἐν ἁγίαις τραπέζαις ἐκκλησιῶν, συγκαθι-
στάμενος ὁ θεὸς ταῖς ἡμετέραις ἀσθενείαις, ἐνίη-
σι τοῖς προκειμένοις δύναμιν ζωῆς, καὶ μεθίστη-
σιν αὐτὰ πρὸς ἐνέργειαν τῆς ἑαυτοῦ σαρκὸς· ἵνα
εἰς μέθεξιν ζωοποιὸν ἔχωμεν αὐτὰ, καὶ οἷον
σπέρμα ζωοποιὸν ἐν ἡμῖν εὑρεθῇ τὸ σῶμα τῆς
ζωῆς· καὶ μὴ ἀμφιβάλῃς ὅτι τοῦτό ἐστιν ἀλη-
θὲς, αὐτοῦ λέγοντος ἐναργῶς, τοῦτό μου ἐστὶ
τὸ σῶμα, καὶ τοῦτό μου ἐστὶ τὸ αἷμα· δέχου
δὲ μᾶλλον τοῦ σωτῆρος ἐν πίστει τὸν λόγον·
ἀλήθεια γὰρ ὢν, οὐ ψεύδεται (*).

Ὤιετο μὲν ἴσως διαβολικῆς ἀπονοίας ἐπίμε- v. 21.
p. 282. b.

(*) Nolo heic praetermittere praeclarum aliud S. Cyrilli de sacramento Eucharistiae testimonium, quod in eodem codice p. 282. b. legitur. Κυρίλλου πρὸς Καλοσίριον. Μαίνονταί γε μὴν οἱ λέγοντες ἀπραχτεῖν εἰς ἁγιασμὸν τὴν μυστικὴν εὐλογίαν, εἰ ἀπομείνοι λείψανον αὐτῆς εἰς ἑτέραν ἡμέραν· οὐ γὰρ ἀλλοιοῦται ὁ Χριστὸς, οὐδὲ τὸ ἅγιον αὐτοῦ σῶμα μεταβληθήσεται· ἀλλ' ἡ τῆς εὐλογίας δύναμις καὶ ἡ ζωοποιὸς χάρις, διηνεκής ἐστιν ἐν αὐτῷ.

XXII. στος ὢν ὁ προδότης, δύνασθαι λαθεῖν θεὸν ὄντα Χριστὸν· ἀλλ' ἠλέγχετο παρὰ Χριστοῦ, παμπόνηρος ὢν, καί τοι τραπέζης ἀξιούμενος καὶ συνέστιος ὢν· καὶ τῆς θείας ἡμερότητος, μέχρι παντὸς ἀπολαύσας, ὃ δὴ μάλιστα φορτικωτέραν αὐτῷ τὴν κόλασιν ἀπεργάζεται.

v. 22. Πλὴν οὐαὶ τῷ Ἰούδᾳ, καὶ τὴν τοῦ σωτῆρος φωνήν· ὁ μὲν γὰρ κατ' εὐδοκίαν τοῦ θεοῦ πατρὸς δέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα παντὸς ἡμᾶς ἐξέληται κακοῦ· ὁ δὲ τὸν τῶν ὅλων σωτῆρα Χριστὸν καὶ λυτρωτὴν ταῖς τῶν φονώντων χερσὶ παραδοὺς, τὴν τῷ διαβόλῳ πρεπωδεστάτην κληρονομήσει δίκην.

v. 24. p. 283. a. Οἱ μέν τοι μαθηταὶ ἀνθρώπινόν τι παθόντες, πεφιλονεικήκασι πρὸς ἀλλήλους, τίς ἄρα μείζων ἔσται ἐν αὐτοῖς, οὐκ ἀνεχομένων τάχά που τῶν τὴν δευτέραν ἐχόντων τάξιν, τοῖς πρωτεύουσι παραχωρεῖν· κεκίνηται δὲ τοῦτο καὶ γέγραπται, πρὸς ὄνησιν ἡμετέραν· ἐπετίμα γὰρ παραχρῆμα Χριστὸς, τῇ τοιᾷδε νόσῳ· τοῦτο δὲ ἦν, ἡ ἀνόητος φιλοδοξία, ῥίζαν ἔχουσα τὴν ὑπεροψίαν· τὸ μὲν γὰρ ἧρθαι κατ' ἀρετὴν, τοῦ παντὸς ἄξιον λόγου· δεῖ δὲ τοὺς οὕτω διακειμένους, μετρίῳ κεχρῆσθαι φρονήματι, καὶ παραχωρεῖν ἐξ ἀγάπης ἀδελφοῖς τὸ ἐν μείζοσιν εἶναι δοκεῖν· τὸ γὰρ πεφυσσημένον ἔχειν τὸ φρόνημα, παραπλησίους ὁρᾶσθαι ποιεῖ τοῖς τῶν

ἐθνῶν ἡγουμένοις, οἷς τὸ ὑπέρογκον φρόνημα, φίλον ἀεί πως ἐστὶν, εὐεργέται γάρ φησι καλοῦνται, τουτέστι κολακεύονται παρὰ τῶν ὑποβεβηκότων· ἀλλ' ἐκεῖνοι μὲν ὡς ἔξω νόμων ἱερῶν ἐν τοιαύταις ἔστωσαν ἀῤῥωστίαις, παρ' ἡμῖν δὲ οὐχ' οὕτως, ἀλλ' ἔστω τὸ ὕψος ἐν ταπεινότητι. XXII.

Ταῦτα λέγοντος τοῦ Χριστοῦ, τίς ἐστιν οὕτως ἀπηνὴς, ὡς μὴ πᾶσαν ἀποπτύσαι φιλοδοξίαν; ὁ γὰρ ὑπὸ πάσης κτίσεως λογικῆς καὶ ἁγίας διακονούμενος, ὁ σύνθρονος καὶ συμβασιλεύων τῷ θεῷ καὶ πατρὶ, διακόνου τάξιν ἐπέχων, ἔνιψε τοὺς πόδας τῶν μαθητῶν· καθ' ἕτερον δὲ τρόπον διακονίας ἔχει τάξιν τῆς μετὰ σαρκὸς οἰκονόμιας ὁ τρόπος· ἔφη γὰρ ὁ Παῦλος· λέγω γὰρ Χριστὸν διάκονον γεγενῆσθαι περιτομῆς εἰς τὸ πληρῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων, καὶ τὰ ἑξῆς· οὐκοῦν διηκόνησεν ὁ διακονούμενος· καὶ ὁ τῆς δόξης κύριος, τεταπείνωκεν ἑαυτὸν, ἡμῖν καταλιμπάνων ὑπογραμμόν. v. 27. p. 283. b.

Ἀλλ' εἰκὸς ἐκεῖνο τάχά που καθ' ἑαυτοὺς διενθυμεῖσθαί τε καὶ λέγειν τοὺς μαθητὰς· ποῖος οὖν ἔσται τῆς γνησιότητος ὁ μισθὸς; ἢ τί τὸ ἐντεῦθεν ἔσται χρήσιμον, συμβησομένων ἔσθ' ὅτε καὶ πειρασμῶν; ἵνα τοίνυν τῇ τῶν ἐσομένων ἀγαθῶν ἐλπίδι διανευρούμενοι, πάντα ὄκνον ἐπ' ἀγαθοῖς σπουδάσμασιν ἐκπέμψωσι τῆς ἑαυτῶν

XXII. διανοίας, ἀναγκαίως φησὶν· ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου κ. τ. λ.

v. 28. Σύνες ὅπως τῶν τῆς ἐνανθρωπήσεως μέτρων οὐκ ἀποφοίτᾳ, οὕπω τὸν τίμιον ὑπομείνας σταυρὸν· διαλέγεται γὰρ ὡς εἷς ἐξ ἡμῶν· μετὰ δέ γε τὴν ἐκ νεκρῶν ἀναβίωσιν, πεφανέρωκεν ἑαυτοῦ τὴν δόξαν, καιροῦ καλοῦντος εἰς τοῦτο· ἔφη γὰρ ὅτι ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· διαλέγεται τοίνυν ἀνθρωπίνως, ὡς ἔφην· διὰ τοῦτο φησὶ, καθὼς διέθετό μοι ὁ πατήρ μου βασιλείαν, καὶ τὰ ἑξῆς· ἆρα οὖν καὶ μετὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν, ἐνστάντος τοῦ καιροῦ, καθ' ὃν συνεσόμεθα τῷ Χριστῷ, συμμόρφους ἡμᾶς ἀποφαίνοντος τοῦ σώματος τῆς δόξης αὐτοῦ, μετὰ τὸ ἐδύσεσθαι τὴν ἀφθαρσίαν, ἐδεσμάτων πάλιν ἐν χρείᾳ ἐσόμεθα καὶ τραπέζης; οὐδαμῶς· ἀλλ' ἐκ τῶν καθ' ἡμᾶς πραγμάτων ὑποφαίνει τὰ πνευματικά· οἱ μὲν γὰρ τὰς παρὰ τῶν ἐπιγείων βασιλέων πρώτας ἔχοντες τιμὰς, συνέστιοι τέ εἰσιν αὐτοῖς καὶ ὁμόσιτοι· εἰσὶ δὲ καὶ ἕτεροί τινες, τιμῆς μὲν τῆς παρὰ τῶν κρατούντων ἀξιούμενοι, οὐ μὴν ὅτι καὶ κοινῆς τραπέζης ἀπτόμενοι· ὅτι τοίνυν ἐν ταῖς πρωτευούσαις τιμαῖς ἔσονται παρ' αὐτῷ, ὡς ἐκ παραδείγματος τοῦ καθ' ἡμᾶς διαδείκνυσιν.

Ἀναγκαῖον οἶμαι καὶ ἐπωφελὲς, μαθεῖν τίς ἦν ἡ πρόφασις, ἡ παρενεγκοῦσα εἰς τοῦτο τοῦ σωτῆρος τοὺς λόγους· τρίτον τοῖς μαθηταῖς ἐπικούρημα προσκεκόμικε, διὰ τῶν προκειμένων ἀναγνωσμάτων· διδάσκει γὰρ ὅτι μέτρια φρονεῖν ἡμᾶς ἀναγκαῖον, οὐδὲν μὲν ὄντας τό γε ἧκον εἰς τὴν ἀνθρώπου φύσιν, καὶ εἰς τὸ τῆς ἡμετέρας διανοίας εὐόλισθον, στηριζομένους δὲ καὶ ὄντας ὅπερ ἐσμὲν, δι' αὐτόν τε καὶ παρ' αὐτοῦ· οὔκουν ἐφ' ἑαυτοῖς μᾶλλον, ἀλλ' ἐπὶ τοῖς παρ' αὐτοῦ χαρίσμασι, σεμνύνεσθαι δεῖ· κἂν εἴ τις οὕτως διαθεθῇ, ποῖον εὑρήσει τόπον ἐν αὐτῷ τὸ ὑπερκεῖσθαί τινων ἐθέλειν; ταύτῃ τοι τοὺς μὲν ἑτέρους ἀφίησι μαθητὰς, ἐπ' αὐτὸν δὲ τὸν κορυφαῖον ἔρχεται· καὶ φησὶν ὅτι πολλάκις ἠθέλησεν ὁ σατανᾶς σινιάσαι ὑμᾶς ὡς τὸν σῖτον, ἀντὶ τοῦ δοκιμάσαι καὶ πειράσαι· ἔθος γὰρ τῷ σαθανᾷ, τοῖς εὐδοκιμοῦσιν ἐπιπηδᾶν· οὕτως ἐζήτησε τὸν Ἰὼβ, ἀλλ' ἡθάτο τῆς ἐκείνου τλημαθείας· πλὴν πλεονεκτεῖ τὴν ἀνθρώπου φύσιν· ἀσθενὴς γὰρ αὕτη, δεινὸς δὲ καὶ ἀπηνὲς ἐκεῖνος· ὡς γάρ φησι περὶ αὐτοῦ τὸ γράμμα τὸ ἱερὸν, ἡ καρδία αὐτοῦ πέπηγεν ὥσπερ λίθος, ἕστηκε δὲ ὥσπερ ἄκμων ἀνήλατος· πλὴν τοῖς τῶν ἁγίων ὑπεννήνεχθαι ποσὶ, Χριστοῦ καὶ τοῦτο κατωρθωκότος· ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ· ἰδοὺ δὴ πάλιν ἡμῖν συμπλάττεται, καὶ ἐκ τῶν τῆς ἀν- XXII. v. 31. p. 284. a.

XXII. θρωπότητος διαλέγεται μέτρων· καί τοι θεὸς ὢν φύσει, καὶ εἰ γέγονε σὰρξ· δεηθῆναι γάρ φησιν ὡς ἄνθρωπος· ἐμφαίνει δὲ διὰ τούτων, ὡς εἴπερ ἐξεδόθη πρὸς πεῖραν τῷ σατανᾷ, ἄπιστος ἂν ἐγένετο παντελῶς· ὅπου γε καὶ μὴ ἐκδοθεὶς, ἠσθένησεν· ἠρνήσατο γὰρ παιδίσκης μιᾶς θορυβούσης αὐτὸν ἐν τῇ αὐλῇ τοῦ ἀρχιερέως.

v. 32. Ὁ μέν τοι κύριος, τὴν τοῦ μαθητοῦ ἄρνησιν αἰνιξάμενος ἐν οἷς ἔφη ἐδεήθην περὶ σοῦ ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου, εἰσφέρει παραχρῆμα τὸν τῆς παρακλήσεως λόγον· καὶ φησὶ, καὶ σύ ποτε ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου· τουτέστι γενοῦ στήριγμα καὶ διδάσκαλος τῶν διὰ πίστεως προσιόντων ἐμοί· καὶ θαύμασον πάλιν τοῦ λόγου τὸ εὐτεχνὲς, καὶ τὸ ὑπερβάλλον τῆς θείας γαληνότητος· ἵνα γὰρ μὴ εἰς ἀπόγνωσιν ἀγάγῃ τὸν μαθητὴν, ὅτι τῶν τῆς ἀποστολῆς αὐχημάτων ἀποπεμφθήσεται ἀρνησάμενος αὐτὸν, ἀναπίμπλησιν ἀγαθῆς ἐλπίδος, καὶ ὅτι τεύξεται τῶν ἐπηγγελμένων ἀγαθῶν· ἔφη γὰρ ὅτι καὶ σὺ ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου· ὢ τῆς ἀφάτου φιλανθρωπίας· οὕπω γέγονεν ἡ ἁμαρτία, καὶ τὴν ἄφεσιν ἐκομίσατο, καὶ πάλιν αὐτὸν ἐν τοῖς ἀποστολικοῖς κατέταξεν ἀξιώμασιν.

v. 34. p. 285. b. Ἐκδέξῃ δὲ τὰ προκείμενα καὶ ὧδε· προκαταμεμήνυκε τῷ θαυμασίῳ Πέτρῳ, ὅτι τρὶς αὐ-

τὸν ἀρνήσεται, κατὰ τὸν τῆς συλλήψεως δηλο- XXII.
νότι καιρὸν· ἐπειδὴ δὲ ἅπαξ μνήμη γέγονε τῆς
συλλήψεως αὐτοῦ, ἀκολουθεῖ δὲ πάντως τῇ
τοιᾷδε μνήμῃ καὶ τὰ ἐφεξῆς γεγονότα, τὰ ἐπὶ
τῷ σταυρῷ φημὶ πάθη· λοιπὸν τὸν ἐπισκήψαν-
τα τοῖς ἰουδαίοις προαπαγγέλλει πόλεμον· διὰ
τοῦτο φησὶν, ὅτε ἀπέστειλα ὑμᾶς χωρὶς βαλαν-
τίου καὶ πήρας καὶ ὑποδημάτων, μή τινος ὑστε-
ρήσατε; οἱ δὲ εἶπον, οὔ· πέπομφε μὲν γὰρ ὁ σω-
τὴρ τοὺς ἁγίους ἀποστόλους, κηρύσσειν αὐτοῖς
ἐπιτάξας τοῖς ἀνὰ πᾶσαν κώμην τε καὶ πόλιν
τὸ εὐαγγέλιον τῆς βασιλείας τῶν οὐρανῶν, καὶ
θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν
τῷ λαῷ· ἐκέλευσε δὲ βαδίζοντας, μηδενὸς τῶν
σωματικῶν ποιεῖσθαι φροντίδα· ἐπ' αὐτῷ δὲ πᾶ-
σαν ἔχοντας τοῦ ζῆν τὴν ἐλπίδα περινοστεῖν,
ὃ δὴ καὶ πεπράχασιν· ἀλλὰ νῦν φησὶν, ὁ ἔχων
βαλάντιον, ἀράτω καὶ πήραν ὁμοίως· καὶ τί δὴ
τοῦτό ἐστιν, ἐροῦμεν· ἐσχηματίσθη μὲν ὁ λό-
γος ὡς πρὸς αὐτοὺς, βλέπει δὲ κατὰ τὸ ἀλη-
θὲς, εἰς τὸ παντὸς ἰουδαίου πρόσωπον· αὐτοῖς
γὰρ μᾶλλον διαλέγεται Χριστὸς, εἴ τις γάρ,
φησιν, εὐπορεῖ χρημάτων κατὰ τὴν τῶν ἰουδαίων
χώραν, ἅπαντα συνειληχὼν, φευγέτω· εἰ δέ τις
τούτων μὲν οὐκ εὐπορεῖ, πενίᾳ δὲ συζῶν ἐσχά-
τῃ τὴν χώραν οἰκεῖ, καὶ οὗτος ὅπερ ἔχει, φησὶ,
πωλησάτω ἄμφιον, καὶ ἀγορασάτω μάχαιραν·

XXII. ἔστι γὰρ λοιπὸν ἅπασι τοῖς τὴν χώραν οἰκοῦσιν ὁ λόγος οὐ περί γε τοῦ ἔχειν τί ἢ μή, ἀλλὰ περὶ αὐτοῦ τοῦ εἶναι καὶ ζῆν· κατασκήψει γὰρ εἰς αὐτοὺς ὁ πόλεμος ἀφορήτοις ὁρμαῖς, ὡς οὐδὲν ἀρκέσαι πρὸς ἀντίστασιν· εἶτα, τὴν αἰτίαν τῶν τοιούτων κακῶν ἀπαγγέλλει, λέγων· ὅτι δεῖ μὲν αὐτὸν κατὰ τὰς γραφὰς, μετὰ τῶν ἀνόμων λογισθῆναι, συγκρεμάμενον δηλονότι τοῖς συσταυρωθεῖσιν αὐτῷ λῃσταῖς, καὶ τὴν τοῖς ἀνόμοις πρέπουσαν ὑπομείναντα δίκην· τέλος δὲ λοιπὸν τῷ μέχρι τούτων ἐλθεῖν, ὁ τῆς οἰκονομίας λήψεται λόγος· τέλος γάρ φησιν, ἔχει τὰ περὶ ἐμοῦ, μέχρι δηλονότι τοῦ παθεῖν τὸν κατὰ σάρκα θάνατον· συμβήσεται δὲ τοῖς ἀπεκτονόσιν, ἃ καὶ πάλαι προείρηται διὰ τῶν ἁγίων προφητῶν· ταυτὶ μὲν ὁ κύριος περὶ τῶν συμβησομένων τῇ Ἰουδαίων χώρᾳ προκαταμεμήνυκεν· οἱ δέ γε μαθηταὶ οὐ συνῆκαν τῶν εἰρημένων τὸ βάθος· ᾠήθησαν δὲ μᾶλλον, ὅτι διὰ τὴν συμβησομένην ἔφοδον αὐτῷ παρὰ τοῦ προδότου, καὶ τῶν συλληψομένων αὐτὸν, μαχαιρῶν εἶναι χρείαν διεβεβαιώσατο· ταύτῃ τοι φασὶν, ἰδοὺ μάχαιραι ὧδε δύο· καὶ τί πρὸς αὐτοὺς ὁ σωτὴρ; ἱκανόν ἐστι· μονονουχὶ διαγελᾷ τὴν φωνὴν· εὖ εἰδὼς ὅτι τῶν εἰρημένων τὴν δύναμιν οὐ συνιέντες οἱ μαθηταὶ, ᾠήθησαν ὡς ἔφην, μαχαιρῶν εἶναι χρείαν εἰς τὴν ἐσομένην ἔφοδον κατ᾽

αὐτοῦ· πρὸς ἐκεῖνα τοίνυν ὁρῶν ὁ σωτὴρ, ἃ τοῖς ἰουδαίοις συμβήβηκε, τῆς εἰς αὐτὸν ἕνεκα δυσσεβείας, τὸ εἰρημένον διαγελᾷ· καὶ φησὶν, ἱκανά ἐστι· καί φησι, ἀρκέσουσι ξίφη δύο, πρὸς ἀντίστασιν τοῦ πολέμου τοῦ μέλλοντος ἥξειν κατ' αὐτῶν, πρὸς ὃν οὐδὲν ἂν ὤνησαν οὐδὲ πολλαὶ ξιφῶν χιλιάδες. XXII.

Ἐν ἡμέρᾳ μὲν ὁ σωτὴρ τὰς ἐν Ἱεροσολύμοις ἐποιεῖτο διατριβὰς, ἐπιλαβούσης δὲ τῆς ἑσπέρας ἐν τῷ ὄρει τῶν ἐλαιῶν, ὁμοῦ τοῖς ἁγίοις ηὐλίζετο μαθηταῖς, εἰς χωρίον λεγόμενον Γεθσημανῆ· Ματθαῖος γὰρ οὕτω φησὶν ὁ σοφώτατος εὐαγγελιστὴς· ἀφιγμένος δὴ οὖν ἐνταῦθα Χριστὸς, ὡς αὐτός που πάλιν ὁ Ματθαῖος φησὶ, παραλαβὼν τοὺς τρεῖς, τὸν Πέτρον φημὶ καὶ τοὺς τοῦ Ζεβεδαίου, ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν· ἐνταῦθά μοι βλέπε τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ βάθος, καὶ τῆς ἀπορρήτου σοφίας τὸ ὕψος· διὰ ποίαν αἰτίαν ᾧ δέσποτα ἀδημονεῖς; ἆρα δέδιας καὶ αὐτὸς τὸν θάνατον, καὶ δειλίᾳ κεκραπημένος παραιτῇ τὸ παθεῖν; καί τοι τοῖς μαθηταῖς εἰπὼν· μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· ἀλλὰ κἂν εἴ τις λέγοι τῆς πνευματικῆς εὐανδρίας παρὰ σοῦ τοῖς ἐξειλεγμένοις δίδοσθαι τὴν χάριν, οὐκ ἂν ἁμάρτοι τοῦ ἀληθοῦς· ἰσχὺς γὰρ πᾶσα παρὰ σοῦ, καὶ ζωὴ κα- v. 39. p. 287. b.

XXII. τὰ φύσιν ὑπάρχεις καὶ ζωοποιὸς· πῶς οὖν λελύπησαι καὶ ἀδημονεῖς ἕως θανάτου; καί τοι σαφῶς ἠπίστασο θεὸς ὢν φύσει, ὅτι τὸν κατὰ σάρκα θάνατον ὑπομείνας, ἀπαλλάξεις θανάτου τοὺς ἀνὰ πᾶσαν τὴν γῆν, καὶ τὸ τῆς νίκης τρόπαιον ἐγερεῖς κατὰ πάσης πονηρᾶς καὶ ἀντικειμένης δυνάμεως, καὶ ὡς θεὸς προσκυνηθήσῃ καὶ τῶν ὅλων δημιουργὸς· ἐπὶ τίσιν οὖν ἄρα λελύπησαι καὶ ἀδημονεῖς; ναί φησι, τὰ μὲν ἐκ τοῦ πάθους τῷ κόσμῳ ἀγαθὰ συμβησόμενα, ἐπίσταμαι· λυπεῖ δέ με ὁ πρωτότοκος Ἰσραὴλ, ὅτι οὐδ' ἐν δούλοις ἐστὶ· καὶ ὅτι ἡ τοῦ κυρίου μερὶς, τὸ σχοίνισμα τῆς κληρονομίας, μερὶς ἀλωπέκων ἔσται, κατὰ τὸ γεγραμμένον· ὅτι δὲ καί τοι τὸ ἐσόμενον εἰδὼς καθηλέει τὴν Ἱερουσαλὴμ, ὡς τῆς εἰς αὐτὸν ἕνεκα δυσσεβείας ἐσομένην ἐν πάντι κακῷ, κἀντεῦθεν ἂν μάθοις· ἀνῄει μὲν γὰρ ἐκ τῆς Ἰουδαίας εἰς Ἱεροσόλυμα· ὡς δέ φησιν ὁ εὐαγγελιστὴς, ἰδὼν τὴν πόλιν, ἔκλαυσεν ἐπ' αὐτῇ, ὡς ὅσον οὐδέπω ταῖς ἐσχάταις ταλαιπωρίαις καὶ ἀνηκέστοις συμφοραῖς ὁμιλήσουσαν βλέπων τὴν Ἱερουσαλὴμ· ἵνα δὲ μάθωμεν ταύτην ἐσχηκότα τὴν διάθεσιν ἐπ' αὐτῇ, διαμεμήνυκε τοῖς μαθηταῖς ὅτι καὶ ἀκηδιᾷ καὶ λελύπηται· οὐ γὰρ ἦν δυνατὸν μαθεῖν τὰ ἐν αὐτῷ κεκρυμμένα, μὴ διὰ λόγων ἐκφήναντος τὰ ἐν οἷς ἐστι· κἀκεῖνο δὲ οἶμαι τοῖς εἰρημένοις

προσεπενεγκεῖν ἀναγκαῖον· τὸ γάρ τοι τῆς λύ- XXII.
πης πάθος ἤ τοι τῆς ἀδημονίας, οὐ περὶ αὐτὴν
ἂν γένοιτο τὴν θείαν καὶ ἀκήρατον τοῦ λόγου
φύσιν· ἀμήχανον γὰρ, ὅτι παντὸς ἐπέκεινα πά-
θους ἐστὶν· ἐθελῆσαι δὲ φαμὲν τὸν σαρκωθέν-
τα λόγον, καὶ ἐν τοῖς ἀνθρωπότητος καθικέ-
σθαι μέτροις, διὰ τοῦ δοκεῖν ὑπομεῖναι τὰ αὐ-
τῆς· ὥσπερ οὖν πεινῆσαι λέγεται, καί τοι ζωὴ
καὶ ζωοποιὸς, καὶ ἅρτος ὁ ζῶν ὑπάρχων αὐτὸς,
κοπιάσαί τε ἐκ μακρᾶς ὁδοῦ, καί τοι τῶν δυν-
άμεων ὑπάρχων κύριος, οὕτω καὶ ἀκηδιάσαι καὶ
δοκεῖν εἰσδέξασθαι λύπην· οὐ γὰρ ἔδει τὸν καθ-
ιγμένον εἰς κένωσιν, καὶ τοῖς τῆς ἀνθρωπότη-
τος ἐμβεβηκότα μέτροις, παραιτεῖσθαι δοκεῖν
τὰ ἀνθρώπινα.

Συνεβούλευσε μαθηταῖς τὰ τῷ καιρῷ πρέ- v. 40.
ποντα, εἰπὼν· προσεύχεσθε ἵνα μὴ εἰσέλθητε
εἰς πειρασμόν· ἀλλ' ἵνα μὴ λόγοις αὐτοὺς ὠφε-
λήσῃ μόνοις, παράδειξις δὲ καὶ αὐτοῦ τοῦ πράγ-
ματος εὑρεθῇ, βραχὺ προσελθὼν, πεσὼν ἐπὶ γό-
νυ, προσηύχετο· καὶ τί δή ποτε τοῖς ἁγίοις οὐ
συνηύχετο μαθηταῖς, ἀλλὰ καθ' ἑαυτὸν μόνας; ἵνα μά-
θωμεν ἡμεῖς τῆς ἀρεσκούσης θεῷ προσευχῆς τὸν
τύπον· ἔφη γὰρ ἑτέρωθι· σὺ δὲ ὅταν προσεύχῃ,
εἴσελθε εἰς τὸ ταμιεῖον σου, ἀποκλείσον τὴν
θύραν, προσεύξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυ-
πτῷ· καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυφαίῳ,

XXII. ἀποδώσει σοι ἐν τῷ φανερῷ· πανταχοῦ γὰρ εὑρήσομεν καὶ τὰ μόνας εὐχόμενον· ἵνα καὶ σὺ μάθῃς, ὅτι σχολάζοντι νῷ, καὶ γαληνιώσῃ καρδίᾳ διαλέγεσθαι χρὴ τῷ ἐπὶ πάντας θεῷ· καὶ οὐ δή σου φαίη τίς ἂν, εἴ γε νοῦν ἔχοι, ὅτι τῆς σαρ' ἑτέρου χειρὸς ἡ ἐπικουρίας ἐν χρείᾳ καθεστηκὼς, ἐποιεῖτο τὰς λιτὰς· αὐτὸς γάρ ἐστιν ἡ πανσθενεστάτη χεὶρ, καὶ δύναμις τοῦ πατρὸς· ἀλλ' ἵνα ἡμεῖς διὰ τούτων μάθωμεν, μὴ νυστάζειν ἐν πειρασμοῖς, συντείνεσθαι δὲ μᾶλλον εἰς προσευχὰς· ἀμαθὲς δὲ λίαν, καὶ τὸ τῶν ἀγώνων καταθρασύνεσθαι· τῷ μετρίῳ δὲ φρονήματι χρῆναι φημὶ τὸ εὔτολμον καὶ τλημαθὲς ἀναπλέκειν.

v. 42. p. 288. a. Ὁρᾷς ὅπως μετ' εὐλαβείας ἀνθρωποπρεποῦς ἐποιεῖτο Χριστὸς τοῦ πειρασμοῦ τὴν παραίτησιν; εἰ γὰρ βούλει φησὶ, παρένεγκε· ὡς γὰρ εἷς ὑπάρχων τῶν καθ' ἡμᾶς, τοῖς τοῦ πατρὸς θελήμασιν ἀπονέμει τῶν ἐκβησομένων τὸ πέρας· ἵνα καὶ ἡμεῖς αἰτῶμεν ἐκεῖνα κρατεῖν, ἅπερ ἂν αὐτὸς εἰδείη συμφέροντα ταῖς ἡμετέραις ψυχαῖς· πρὸς δ' αὖ τούτοις, καὶ τῆς Ἰουδαίων ἀνοσιότητος τὸ χρῆμα κατηγορεῖ· ἦν μὲν γὰρ οὐκ ἀβούλητον αὐτῷ τὸ παθεῖν, φορτικόν γε μὲν ἑτέρως, διά τε τὴν ἀδοξίαν καὶ τῆς Ἰουδαίων συναγωγῆς τὸν ὄλεθρον· οὐ γὰρ ἂν ἠθέλησε κυριοκτόνον γενέσθαι τὸν Ἰσραὴλ· ἵνα μὴ ταύτης

ἕνεκα τῆς αἰτίας, ταῖς ἐσχάταις δίκαις ὑπενεχ- XXII.
θῇ· ἐπειδὴ δὲ οὐκ ἦν μὴ ὑποστῆναι τὸ πάθος,
εἵλετο αὐτὸ, συνευδοκοῦντος αὐτῷ τοῦ θεοῦ καὶ
πατρὸς· ὡς εἶναι τῆς μὲν ἀνθρωπείας φύσεως,
τὸ εἰς θορύβους εὔκολον· τῆς δὲ θείας, τὸ ἐφ'
ἅπασιν ἄθραυστον· ἡ μὲν γὰρ τοῦ θανάτου παρ-
εισδῦσα μνήμη, ταράττει τὸν Ἰησοῦν· ἡ δὲ τῆς
θεότητος δύναμις, κεκινημένον εὐθὺς χειροῦται
τὸ πάθος, καὶ μεταμορφοῖ πρὸς εὐτολμίαν· κε-
κίνηται γὰρ καὶ ἐν Χριστῷ τὰ ἀνθρώπινα, διὰ
δύο τρόπους· ἔδει γὰρ καὶ διὰ τούτων, αὐτὸν
οὐ δοκήσει καὶ ὑπονοίᾳ, φυσικῶς δὲ μᾶλλον
καὶ ἀληθῶς ἄνθρωπον ἐκ γυναικὸς γεγονότα,
φαίνεσθαι πάντα φέροντα τὰ ἀνθρώπινα, δίχα
μόνης τῆς ἁμαρτίας· φόβος δὲ καὶ δειλία, πά-
θη μὲν ἐν ἡμῖν φυσικὰ, τό γε μὴν ἐν ἁμαρτίαις
τετάχθαι, διαπεφευγότα· ἔτι, ἐκινεῖτο ἐν Χρι-
στῷ τὰ ἀνθρώπινα, οὐχ' ἵνα κινηθέντα κρατύ-
νηται, ἀλλ' ἵνα τῇ δυνάμει τοῦ λόγου διακό-
πτηται· πρὸς ἀμείνω τινὰ καὶ θειοτέραν κατά-
στασιν, μεταστοιχειουμένης ἐν πρώτῳ Χριστῷ,
ἦν γὰρ οὕτω καὶ οὐχ' ἑτέρως, καὶ εἰς ἡμᾶς αὐ-
τοὺς τὸν τῆς ἰάσεως διαβῆναι τρόπον· εἰς γὰρ
καὶ ὅτι μάλιστα τὸ συμβὰν, οὐχὶ πάντη τε καὶ
πάντως θελητὸν ἦν αὐτῷ· ἀλλ' οὖν τῆς πάντων
ἕνεκα σωτηρίας καὶ ζωῆς, ἑκούσιον ἐποιήσατο
τὸ ἐπὶ τῷ σταυρῷ πάθος· ἤδει γὰρ τὰ ἐντεῦ-

XXII. θεν ἐσόμενα κατορθώματα, καὶ ὅτι τὴν ἀνθρώπου φύσιν ἀνακαινιεῖ, καὶ αἵματι τῷ οἰκείῳ κατακτήσεται· εἰ γὰρ μὴ ἐποιήσατο θελητὸν, καί τοι λίαν ἀβούλητον ὂν τὸ παθεῖν, τίς ἂν νοοῖτο λοιπὸν τοῦ προσεύχεσθαι ἡ πρόφασις, καὶ λέγειν, πατὴρ εἰ βούλει, παρένεγκε τὸ ποτήριον τοῦτο; γέγονε μέν τοι ἄνθρωπος ὁ τοῦ θεοῦ λόγος, οὐ διά τινα πρόφασιν ἑτέραν, ἀλλ' ἵνα πάντα τὰ αὐτοῦ, ταῖς ἡμῶν ἀσθενείαις ἀναμίξας τρόπον τινὰ καὶ συγκεράσας, νευρώσῃ τὴν ἀνθρώπου φύσιν, καὶ πρὸς τὴν αὐτοῦ μεταποιήσῃ στερρότητα· ὅταν οὖν φαίνηται δειλιῶν τὸν λόγον τὸν θάνατον, καὶ λέγων, παρένεγκε τὸ ποτήριον, ἐννόει πάλιν, ὅτι δειλιῶσα τὸν θανάτον ἡ σὰρξ, ἐδιδάσκετο φορουμένη περὶ τοῦ θεοῦ λόγου, μηκέτι τοῦτο πάσχειν· ἔλεγε δὲ πρὸς τὸν πατέρα· οὐχ' ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ· οὐκ ἐφοβεῖτο μὲν γὰρ καθὸ λόγος ἐστὶ καὶ θεὸς τὸν θάνατον αὐτὸς, ἀλλ' εἰς τέλος τὴν οἰκονομίαν διεξάγειν· τοῦτο γὰρ ἦν τὸ θέλημα τοῦ πατρὸς· ἔχει δὲ καὶ τὸ μὴ θέλειν ἀποθανεῖν, διὰ τὸ παραπεῖσθαι τὴν σάρκα τὸν θάνατον φυσικῶς· διδάσκων τοίνυν τὴν ἀνθρωπότητα μηκέτι τὰ αὐτῇ προσόντα φρονεῖν, ἀλλὰ τὸ τοῦ θεοῦ θέλημα ζητεῖν, ὡς ἄνθρωπος λέγει· οὐχ' ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ· διὰ τοῦτο γὰρ φαίνεται καὶ προσθεὶς ἐν τῷ Ματθαίῳ· τὸ μὲν πνεῦ-

μα, προθυμον· ἡ δὲ σὰρξ, ἀσθενὴς· ἀτονοῦσα μὲν γὰρ ἡ ἀνθρώπου φύσις, καὶ ἐν αὐτῷ τῷ Χριστῷ τὸ ὅσον εἰς αὐτὴν, εὑρίσκεται· ἀνακομίζεται δὲ διὰ τοῦ ἑνωθέντος αὐτῇ λόγου, εἰς εὐτολμίαν θεοπρεπῆ. XXII.

Διὰ τί δέ φησιν, ὁ λεγόμενος Ἰούδας; μὴ γὰρ οὐκ ἤδει τὸν ἄνδρα τοῖς ἐξειλεγμένοις ἐναριθμούμενον; ἀλλ' ὡς ἤδη μεμισηκὼς αὐτοῦ καὶ τὸ ὄνομα, φησὶν, ὁ λεγόμενος Ἰούδας· προσεπάγει δὲ τούτῳ τὸ εἷς τῶν δώδεκα, πρὸς ἔνδειξιν καὶ διαβολὴν τῆς τοῦ προδότου φαυλότητος· ὁ γὰρ ἐν ἴσῳ τοῖς ἀποστόλοις τετιμημένος, τοῖς φονῶσι κατὰ Χριστοῦ γέγονε προφάσις· δέδωκε γὰρ αὐτοῖς σημεῖον· ὃν ἂν φιλήσω, αὐτός ἐστιν· ἐπελάθετο παντελῶς τῆς δόξης τοῦ Χριστοῦ· ὠήθη τάχά που δύνασθαι λαθεῖν· δόλου ὄργανον τὴν ἐξαίρετον ἀγάπην ἀποφῆναι προσεδόκησεν. v. 47. p. 292. b.

Ταύτῃ τοι καὶ μάλα εἰκότως, φορτικώτερον αὐτῷ τὸ κρῖμα ἐποίει, ὅτι οὐδὲ τὸ σχῆμα καὶ σύμβολον ἠσχύνθη τῆς προδοσίας τὸ φίλημα· ἐπάγει γοῦν ὁ εὐαγγελιστὴς· ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ κ. τ. λ.

Εἰδέναι γὰρ ἀναγκαῖον καὶ τὰ τῷ Ἰωάννῃ περὶ τούτου εἰρημένα· ἔφη γοῦν· ὅτι οἱ μὲν τῶν Ἰουδαίων ὑπηρέται, προήεσαν συλλημψόμενοι τὸν Ἰησοῦν, ὁ δὲ ὑφηγητὰ αὐτοῖς, λέγων· τίνα ζη-

XXII. τεῖτε; λεγόντων δὲ τῶν ὑπηρετῶν, Ἰησοῦν τὸν ναζωραῖον, αὐτὸς ἑαυτὸν ταῖς τῶν φονώντων χερσὶ προσεκόμιζε, λέγων· ἐγώ εἰμι· οἱ δὲ ἀπῆλθον, φησὶν, εἰς τὰ ὀπίσω· καὶ τοῦτο γέγονε τρὶς· τίς οὖν ἡ οἰκονομία, καὶ τίνος ἕνεκεν προσεκόμισεν ἑαυτὸν ὁ σωτὴρ, οἱ δὲ κατέπιπτον ἀκούοντες τὸ ἐγώ εἰμι; ἵνα δὴ μάθοιεν ὡς οὐκ ἀβούλητον αὐτῷ τὸ παθεῖν· οὐ γὰρ τῆς ἐκείνων ἰσχύος γέγονεν ἀποτέλεσμα, τὸ συλλαβέσθαι Χριστὸν, καὶ προσαγαγεῖν τοῖς ἀνοσίοις καθηγηταῖς, ἀλλ' αὐτὸς ἑαυτὸν δέδωκεν.

p. 293. b. Φέρε δὲ κἀκεῖνο ζητήσωμεν· ἆρα ψῆφος τοῦ θεοῦ καὶ πατρὸς, θέλημα δὲ καὶ αὐτοῦ τοῦ υἱοῦ κέκληκεν αὐτὸν ὡς ἐξ ἀνάγκης εἰς τὸ πάθος; εἶτα, πῶς εἴπερ ἐστιν ἀληθὲς, οὐκ ἔδει πάντως καὶ προδότην γενέσθαι τινα, παρενεχθῆναι δὲ καὶ εἰς τοῦτο θράσους τὸν Ἰσραὴλ, ὡς καὶ ἀπειθῆσαι Χριστῷ καὶ ἀτιμάσαι πολυτρόπως, ἐξαρτίσαι δὲ καὶ τὸν ἐπὶ τοῦ ξύλου θάνατον αὐτῷ; εἶτα, πῶς εὑρίσκεται λέγων, οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται, καὶ τὰ ἑξῆς; διὰ τί δὲ καὶ ἀπόλωλεν ὁ Ἰσραὴλ, ἀλλ' οὐκ ἀδίκως ὁ θεὸς, αἰσίᾳ δὲ κρίσει ταλαντεύει τὰ καθ' ἡμᾶς; πῶς οὖν τὸ ἀβούλητον ἐποιήσατο θελητὸν; ἠλέησε μὲν γὰρ ὁ θεὸς καὶ πατὴρ τοὺς ἐπὶ τῆς γῆς πεπραχότας ἀθλίως· καὶ ἔπεμψεν ἐξ οὐρανοῦ τὸν υἱὸν σω-

τῆρα καὶ λυτρωτὴν· ὃς καὶ γέγονεν ἐν ὁμοιώσει XXII.
τῇ πρὸς ἡμᾶς· ἀλλὰ καί τοι προεγνωκὼς ἃ πείσεται, εἵλετο παθεῖν διὰ τὸ σῶσαι τὴν γῆν, συνευδοκοῦντος αὐτῷ τοῦ θεοῦ καὶ πατρὸς διὰ πολλὴν ἡμερότητα καὶ φιλανθρωπίαν· οὐκοῦν ὅσον μὲν ἦκεν εἰς τὴν ἐκ τοῦ παθεῖν ἀδοξίαν, οὐκ ἂν ἠθέλησε παθεῖν· ἐπειδὴ δὲ οὐκ ἐνεδέχετο μὴ παθεῖν, διὰ τὴν ἰουδαίων ἐπ' αὐτῷ γενομένην ὠμότητα καὶ ἀπειθειαν, ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας.

Ἰάσατο γὰρ θεοπρεπῶς τὸν ὑπομείναντα τὴν v. 51.
πληγὴν, τοῖς ἀφιγμένοις εἰς τὸ συλλαβεῖν αὐτὸν, θεοπρεπὲς καὶ τοῦτο διδοὺς σημεῖον. p. 294. a.

Ἆρά γε αἰτιᾶται Χριστὸς τοὺς τῶν ἰουδαίων v. 52.
καθηγητὰς, ὅτι μὴ πρόωρον αὐτῷ τὴν τοῦ θανάτου πάγην ἐσκεύαζον; οὐ τοῦτο βούλεται δηλοῦν· ἀλλ' ὅτι ἐξὸν ὑμῖν καθημέραν ἐν τῷ ἱερῷ διδάσκοντα κατασχεῖν, οὐκ ἐκρατήσατε· ἐταμιευόμην γὰρ μᾶλλον τῷ παθεῖν ἐν καιρῷ τῷ καθήκοντι· καὶ οὗτός ἐστιν ὁ παρὼν· μὴ γὰρ ἀγνοήσητε, φησὶν, ὅτι αὕτη ἐστὶν ὑμῶν ἡ ὥρα καὶ ἡ ἐξουσία τοῦ σκότους· τουτέστιν ὀλιγοστὸς ἐδόθη ὑμῖν καιρὸς τῆς κατ' ἐμοῦ πλεονεξίας, συνευδοκήσαντος τοῖς ἐμοῖς θελήμασι τοῦ πατρὸς· οὐκοῦν μίαν ὥραν ἔχετε κατ' ἐμοῦ, τουτέστιν ὀλίγον παντελῶς καὶ συνεσταλμένον καιρὸν, τὸν μεταξὺ δηλονότι τοῦ τιμίου σταυροῦ, p. 294. b.

XXII. καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως· αὕτη δέ ἐστι καὶ ἡ δοθεῖσα ἐξουσία τῷ σκότει· σκότος δὲ ὀνομάζει τὸν σατανᾶν τοῖς ἰουδαίοις ὁμοῦ κατεξαναστῆναι Χριστοῦ· ἵν' ὁ μὲν σώσῃ διὰ τοῦ παθεῖν τὴν ὑπ' οὐρανὸν, καὶ ἀναβιώῃ τριήμερος, τὸ τοῦ θανάτου κατήσας κράτος· οἱ δὲ δίκην αἰώνιον τίσωσιν ὁμοῦ τῷ προδότῃ.

v. 53. Οὐ τὸ βράδος οὖν αἰτιᾶται τὸ πρὸς μιαιφονίαν, ἀλλὰ δείκνυσιν ὅτι οὐ τῆς αὐτῶν ἰσχύος ἔργον ἡ σύλληψις, ἀλλὰ τῆς αὐτοῦ βουλήσεως, τὸ ἀβούλητον πάθος οἰκονομικῶς ποιησαμένου θελητὸν, καὶ τοῦτο καιρῷ τῷ προσήκοντι παραδεξαμένου· οὐ γὰρ δὴ αἰτιᾶται αὐτοὺς, ὅτι μὴ πρόωρον αὐτῷ τὸ πάθος ἐπήγαγον, ἀλλὰ μᾶλλον ἐλέγχει αὐτοὺς, ὡς οἰηθέντας ἀσυνέτως, ἄκοντος αὐτοῦ περιέσθαι· τότε μὲν οὖν οὐκ ἐκρατήσατέ μου φησὶν· οὐ γὰρ ἐβουλόμην· οὐκ ἂν δὲ οὐδὲ εἰς τὸ παρὸν ἰσχύσατε, εἰ μὴ ταῖς ὑμετέραις χερσὶν ἐθελοντὴς ὑπενήνεγμαι· ὥστε, οὐ τῆς ἰουδαίων ἰσχύος ἔργον ἦν τὸ θανάτῳ περιβαλεῖν τὸν κύριον· ἀλλὰ τοῖς μὲν ἐκείνων ἀνοσίοις τολμήμασιν, ἐπιγράψοι τίς ἂν τὸ ἐγχείρημα· τῷ δὲ σωτῆρι Χριστῷ, τὸ ὑπὲρ πάντων ἐθελῆσαι παθεῖν· ἵνα πάντας ἐξέλῃται, καὶ ἀγοράσας αἵματι τῷ ἰδίῳ, παραστήσει τῷ θεῷ καὶ πατρί.

v. 57. p. 295. a. Τινὲς μέν τοι φασὶν ὁμωμοκέναι τὸν Πέτρον,

ὅτι οὐκ οἶδεν ἄνθρωπον γεγονότα τὸν Ἰησοῦν· XXII.
τοῦτο δὲ ἄπιστον· ἤδει γὰρ καθ' ἡμᾶς γεγονότα τὸν μονογενῆ· καὶ ὁμολόγει, σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ ζῶντος· καὶ οὐχ' ὡς ἕνα τῶν καθ' ἡμᾶς, υἱὸν αὐτὸν εἶναι θεοῦ διαβεβαιούμενος, τὰ τοιάδε φησὶν· ἀλλὰ καί τοι τοῖς τῆς ἀνθρωπότητος μέτροις ἐμβεβηκότα θεωρῶν, τὸν ἐπέκεινα πάντος γενητοῦ, καὶ ἐκ τῆς τοῦ θεοῦ καὶ πατρὸς οὐσίας ἀναλάμψαντα λόγον, οὐκ ἀπέστη τοῦ εἰδέναι καὶ ὁμολογεῖν ὡς ἔστιν αὐτὸς υἱὸς θεοῦ τοῦ ζῶντος.

Βαβαὶ, ὁ γῆς καὶ οὐρανοῦ κύριος, ὡς εἷς ἐξ v. 63. p. 295. b.
ἡμῶν διακαρτερεῖ τυπτόμενος, καὶ τὸν ἐκ τῶν ἀσεβῶν ὑπομένει γέλωτα, τύπον ἡμῖν τῆς εἰς ἄκρον ἀνεξικακίας παρατιθεὶς· ὁ γὰρ ἑτάζων καρδίας, πῶς ἂν ἠγνόησε τίς ἐστιν ὁ παίσας αὐτόν;

Ἐπειδὴ ἀνισχούσης ἡμέρας, τὸ δυσσεβὲς αὐ- v. 66.
τῶν συναγήγερτο βουλευτήριον, παρεκομίζετο μὲν εἰς μέσον ἀθέσμως ἐξυβριζόμενος ὁ Μωϋσέως καὶ προφητῶν δεσπότης· διεπυνθάνετο δὲ ὁ ὑβριστὴς ἰουδαῖος, εἰ αὐτός ἐστιν ὁ Χριστὸς· ἀλλ' εἴποι τίς ἂν πρὸς αὐτοὺς, εἰ μὲν ἀγνοῶν ἐρωτᾷς, πῶς οὐκ ἔδει πρὶν ἂν μάθῃς τὸ ἀληθὲς, καλὰ μηδένα λυπῆσαι τρόπον, μὴ ἄρά πως θεῷ προσκρούσειας; εἰ δὲ ὑποπλάττῃ τὴν ἄγνοιαν, εὖ εἰδὼς αὐτὸν ὄντα Χριστὸν, ἀκούσῃ λέ-

XXII. γοντος ἱερου γραμματος, θεὸς οὐ μυκτηρίζεται· τί δὲ, εἰπέ μοι, πολυπραγμονεῖς, καὶ παρ' αὐτοῦ μανθάνειν ἀξιοῖς, εἰ αὐτός ἐστιν ὁ Χριστὸς; καί τοι με τὸν εὐκόλως ἀπό τε νόμου καὶ προφητῶν, τὴν ἐπ' αὐτῷ γνῶσιν ἐλεῖν· ἀλλ' ἄπιστοι ὁμολογουμένως καὶ ἀσύνετοι πάντελῶς, ὁμοῦ τοῖς ὑπὸ χεῖρα λαοῖς, οἱ τῶν ἰουδαίων καθηγηταὶ· ἐρομένοις τοίνυν εἴπερ ἐστὶν ἀληθῶς αὐτὸς ὁ Χριστὸς, καὶ αὐτὸ δὴ τοῦτο μαθεῖν ἐθέλουσιν, ἐὰν εἴπω, φησὶν, οὐ μὴ πιστεύσητε· καὶ ἐὰν ἐρωτήσω ὑμᾶς, οὐ μὴ ἀποκριθῆτε· ποῦ τοιγαροῦν ἀκούοντες οὐ πεπιστεύκασι; ποῦ δὲ σεσιγήκασιν ἐρωτώμενοι; ἀνελθὼν Χριστὸς εἰς Ἱεροσόλυμα, εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας πρόβατα, καὶ βόας, καὶ περιστερὰς, καὶ τοὺς κερματιστὰς καθημένους· καὶ ποιήσας, φησὶν, ὡς φραγέλλιον ἐκ σχοινίων, ἐξέβαλε πάντας ἐκ τοῦ ἱεροῦ, λέγων· μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου, οἶκον ἐμπορίου· ἐπειδὴ τοίνυν ὠνόμαζε πατέρα τὸν θεὸν, πρὸς τοῦτο ἀσχάλλοντες οἱ τὰς ἐν τῷ ναῷ τελοῦντες θυσίας, ἐπεπήδων λέγοντες· ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; καὶ πρός γε ταῦτα, Χριστὸς· τὸ βάπτισμα Ἰωάννου, πόθεν ἦν; οἱ δὲ εἶπον, οὐκ οἴδαμεν· ἤρετο δὲ καὶ ἑτέρωθί που, λέγων· τί δοκεῖ ὑμῖν περὶ τοῦ Χριστοῦ; τίνος υἱός ἐστιν; οἱ δὲ εἶπον, τοῦ Δαβὶδ· εἶτα, πρὸς αὐτοὺς ὁ κύριος ἔφη· πῶς οὖν

Δαβὶδ ἐν πνεύματι κύριον αὐτὸν καλεῖ; καὶ πρὸς τοῦτο πάλιν σεσιγήκασι· καὶ ἐτέρωθι πάλιν εὑρήσεις πολυπραγμονῶν τὰ παραπλήσια ἐν τοῖς θείοις εὐαγγελίοις. XXII.

Ἵνα γὰρ τοῖς ἰουδαίοις φορτικωτέραν τὴν ἐπὶ τῇ ἀπιστίᾳ δίκην ἐργάσηται, μονονουχὶ λέγει· ὅτι τῆς κατ' ἐμοῦ δυσσεβείας, βραχὺς ὑμῖν ἐδόθη καιρὸς, ὁ μέχρι τοῦ τιμίου σταυροῦ· μετὰ γὰρ τοῦτο εὐθὺς, εἰς τὴν ἐμὴν παλινδρομήσω τιμὴν, καὶ σύνεδρος ἔσομαι τῷ πατρὶ καὶ μετὰ σαρκός. v. 69.

Ταῦτα λέγοντος τοῦ Χριστοῦ, τὸ τῶν φαρισαίων ἀνεκαύθη στίφος εἰς ἀκαθέκτους ὀργὰς· ἁρπάζουσι τὴν φωνὴν εἰς πρόφασιν δυσφημίας, οὐδὲ μιᾶς μαρτυρίας ἔτι δεῖσθαι φασὶν, ὡς αὐτήκοοι γεγονότες τῶν λόγων αὐτοῦ· ἀλλ' ὦ πονηροὶ καὶ ἀνόητοι, ἠξιοῦτε μαθεῖν εἰ πέρ ἐστιν αὐτὸς ὁ Χριστὸς· ἐδίδαξεν, ὡς φύσει καὶ ἀληθῶς ἐστὶν υἱὸς τοῦ θεοῦ καὶ πατρὸς, καὶ σὺν αὐτῷ τοὺς τῆς θεότητος ἔχει θρόνους, ἐντεῦθεν ἦν μάλιστα μαθεῖν ὅτι αὐτός ἐστιν ὁ Χριστὸς· τί δήποτε τὴν τῆς σωτήριας ὁδὸν ὀλέθρου πρόφασιν ἑαυτοῖς ἀπεφήνατε; v. 71.

CAP. XXIII.

Καὶ ϖοῦ κεκώλυκε φόρους διδόναι Καίσαρι; καί τοι ϖεπόμφατε ϖρὸς αὐτὸν ἐξ ἑαυτῶν τι- XXIII. v. 2. p. 296 a.

XXIII. νὰς, μετὰ τῶν καλουμένων ἡρωδιανῶν, πειράζοντάς τε καὶ λέγοντας· διδάσκαλε, ἔξεστι φόρους διδόναι Καίσαρι, ἢ οὔ; εἶτα πρὸς τοῦτο, Χριστὸς, ἐπιδείξατέ μοι, φησὶ, νόμισμα τοῦ κήνσου· ἤρετό τε τίνος ἔχει εἰκόνα καὶ ἐπιγραφὴν τὸ προσοισθὲν δηνάριον· ὡς δὲ Καίσαρος ἔφασκον, ἀπόδοτε φησὶ τὰ Καίσαρος, Καίσαρι· καὶ τὰ τοῦ Θεοῦ, τῷ Θεῷ· ποῦ τοιγαροῦν κεκώλυκε φόρους διδόναι Καίσαρι; ἀλλ' εἰς ἣν αὐτοῖς ὁ σκοπὸς, τὸ καταγαγεῖν εἰς θάνατον τὸν ἀναφέροντα πρὸς ζωήν.

v. 26. p. 298. a. Ἤνεγκε μὲν τὸν σταυρὸν ὁ σωτὴρ ἐκ τοῦ πραιτωρίου, ὅτι καὶ Ἀβραὰμ ἀνιὼν ἐπὶ τὸ προδειχθὲν αὐτῷ ὄρος, ἵνα θύσῃ τὸν Ἰσαὰκ, θεοῦ γενέσθαι τὸ χρῆμα προστάττοντος, ἐπετίθει τῷ παιδίῳ τὰ ξύλα· καὶ ἦν εἰς τύπον Χριστοῦ, τὸν ἑαυτοῦ σταυρὸν· εἰς ὦμους ἔχοντος, καὶ τὸ οὗ ἡ ἀρχὴ, ἐπὶ τοῦ ὤμου αὐτοῦ· ἀρχὴ γὰρ αὐτοῦ, γέγονεν ὁ σταυρὸς, δι' οὗ βεβασίλευκε τῆς ὑπ' οὐρανὸν· καὶ τὰ μέσην δὲ τὴν ὁδὸν ὑπαντήσαντες, τὸν Κυρηναῖον κατεσχήκασι, καὶ μετέθηκαν ἐπ' αὐτὸν τὸ ξύλον.

v. 27. Ἐβάδιζε μὲν οὖν ὁ σωτὴρ, ἐπὶ τὸν τοῦ σταυροῦ τύπον· εἵποντο δὲ κλαίουσαι αἱ γυναῖκες, σὺν ἑτέροις πολλοῖς· φιλόδακρυ γάρ πως ἀεὶ τὸ θῆλυ γένος, καὶ τὸν νοῦν εἰς ἔλεον εὐδιάθρυπτον ἔχον· ἀλλ' ὦ θυγατέρες φησὶν Ἰερου-

σαλὴμ, τὸ μὲν ἐπ' ἐμοὶ δάκρυον σβήσατε· κλαύ- XXIII.
σατε δὲ μᾶλλον ἐφ' ὑμᾶς καὶ ἐπὶ τὰ τέκνα ὑμῶν· ἔρχονται γὰρ ἡμέραι φησὶν, ἐν αἷς ἔσται γυναιξὶν ἀμείνων ἡ ἀπαιδία· ἐπισκήψαντος γὰρ τοῦ πολέμου τῇ Ἰουδαίων χώρᾳ, ἅπαντες ἄρδην ὀλώλασι μικροὶ καὶ μεγάλοι· τότε, φησὶ, τὸ ὑπὸ βουνοῖς καὶ ὄρεσι γενέσθαι, τοῦ παντὸς ἄξιον· εἰ γὰρ ἐν τῷ ὑγρῷ ξύλῳ, φησὶ, ταῦτα ποιοῦσιν, ἐν τῷ ξηρῷ τί γένηται; καὶ πέπλασται μὲν ὡς ἐν τάξει παραβολῆς ὁ λόγος, ἦγουν παραδείγματος, ὠδίνει δὲ νοητοῦ πράγματος δύναμιν· βούλεται γὰρ δηλοῦν ἐκεῖνο, οἶμαί που· ὑγρὸν μὲν ξύλον, ἑαυτὸν ὀνομάζει, τουτέστι χλωρὸν καὶ ἔγκαρπον καὶ εὐανθὲς· καρποὶ δὲ ἦσαν αὐτοῦ, μυσταγωγίαι καὶ παραινέσεις, καὶ θεοπρεποῦς ἐξουσίας ἐπιδείξεις, διὰ τῆς ὑπὲρ λόγον θεοσημείας· ἀλλ' ἐν τούτοις ὄντα, ταῖς οὕτω δειναῖς περιβεβλήκασιν ἀτιμίαις οἱ Ῥωμαίων στρατηγοὶ, ἦγουν ὁ κατακρίνας αὐτὸν Πιλάτος· ὅτε τοίνυν, φησὶ, τοιαῦτα πεπράχασιν εἰς ἐμὲ, τί δράσουσιν ὡς ξηρῷ καὶ ἀκάρπῳ προσπεπολεμηκότες τῷ Ἰσραὴλ; ὄψονται γὰρ ἐπ' αὐτῷ οὐδὲν τῶν τεθαυμασμένων, ἐφ' οἷς ἦν εἰκὸς τιμῆς καὶ φειδοῦς ἀξιωθῆναι τῆς παρ' αὐτῶν· κατεμπρήσουσι γὰρ αὐτὸν, δηλονότι τῆς εἰς Χριστὸν δυσσεβείας εἰσπραττόμενοι δίκας.

Μάτην μέν τοι αὐτοῦ κατειρωνεύονται οἱ τῆς v. 35.
p. 303. b.

XXIII. συναγωγῆς ἡγούμενοι, κατασείοντες τὰς κεφαλὰς, καὶ ϖικρὸν αὐτῷ μειδίαμα καταχέοντες, ἄλλους ἔσωσεν, ἑαυτὸν σωσάτω φασὶν· εἰ ἄλλους ἔσωσε, καὶ οἶσθα τοῦτο κατὰ ἀλήθειαν γεγονὸς, ϖῶς οὐκ ἂν ἴσχυσε τῶν σῶν ἑαυτὸν ἐξελέσθαι χειρῶν;

v. 39. p. 304. a. Ὁ μὲν εἷς φησὶ τῶν λῃστῶν, τὰ αὐτὰ τοῖς ἰουδαίοις ἠρεύγετο· ὅ γε μὴν ἕτερος, ταῖς τοῦ τοῦ συγκεκραμένου φωναῖς ἐπετίμα· ὡμολόγησε τὴν ἁμαρτίαν, μεμαρτύρηκε Χριστῷ τὸ ἀνυπαίτιον, πεπίστευκεν εἰς αὐτὸν, βασιλέα ἐκάλει καί τοι σταυρούμενον· ταύτῃ τοι τὸν τῶν ἁγίων ἥρπασε κλῆρον.

v. 44. p. 306. a. Ὁ παντὸς ἐπέκεινα γενητοῦ, ὁ σύνεδρος τῷ πατρὶ, καθῆκεν ἑαυτὸν εἰς κένωσιν, καὶ ἔλαβε δούλου μορφὴν, καὶ τῶν τῆς ἀνθρωπότητος ἠνέχετο μέτρων, ἵνα πληρώσῃ τὴν ἐπαγγελίαν τὴν τοῖς πατράσι τῶν ἑβραίων ἐπηγγελμένην παρὰ θεοῦ· οἱ δὲ γεγόνασιν οὕτω σκληροί τε καὶ ἀπείθεις ὥστε καὶ ἀντανίστασθαι τῷ δεσωότῃ· τὸν γὰρ ἀρχηγὸν τῆς ζωῆς, θανάτῳ περιβαλεῖν ἐσπούδασαν· καὶ τὸν κύριον τῆς δόξης ἐσταύρωσαν· ἐπειδὴ δὲ σταυρῷ παρέδοσαν τὸν τῶν ὅλων δεσπότα, ἔδυνεν ὁ ἥλιος ἐπ' αὐτοῖς· συνεσκότασε δὲ ἐν ἡμέρᾳ τὸ φῶς, καὶ τὸν θεῖον Ἀμὼς· γέγονε γὰρ σκότος ἀπὸ ὥρας ἕκτης, ἕως ὥρας ἐνάτης· καὶ τοῦτο τοῖς ἰουδαίοις σημεῖον ἦν ἐναρ-

γες, τοῦ κατασκοπισθῆναι νοητῶς τὰς τῶν σταυ- XXIII.
ρωσάντων ψυχὰς· πώρωσις γὰρ ἀπὸ μέρους γέγονε τῷ Ἰσραὴλ· ἐωραῖται δὲ αὐτοῖς καὶ Δαβὶδ ἐκ φιλοθεΐας, λέγων· σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν· καὶ αὐτὴ δὲ ἡ κτίσις, τὸν ἑαυτῆς ἐπένθει δεσπότην· ὁ μὲν γὰρ ἥλιος, ἐσκοτίζετο· διερρήγνυντο δὲ πέτραι, καὶ αὐτὸς δὲ ὁ ναὸς τὸ τῶν πενθούντων ἐωλήρωσε σχῆμα, περιερρηγνυμένου καταπετάσματος ἀπὸ ἄνωθεν ἕως κάτω· καί τι τοιοῦτον ὑπεσήμαινεν ἡμῖν ὁ θεὸς, διὰ φωνῆς Ἡσαΐου· λέγων· καὶ ἐνδύσω τὸν οὐρανὸν, σκότος· καὶ θήσω σάκκον τὸ περιβόλαιον αὐτοῦ.

Ἄθρει δή μοι πάλιν, ὅτι πεπονθὼς ὑπὲρ v. 47. p. 309. b.
ἡμῶν τὸ ἐπὶ τοῦ σταυροῦ πάθος, ἤρξατο τοῦ σαγηνεύειν πολλοὺς εἰς ἐπίγνωσιν ἀληθείας· ὁ γὰρ ἑκατόνταρχος, φησὶν, ἰδὼν τὰ γεγενημένα, ἐδόξαζε τὸν θεὸν· λέγων, ὅτι ὄντως ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν, ἔτυπτον δὲ καὶ τὰ στήθη τῶν Ἰουδαίων τινὲς, κατανυττόμενοί που πάντως, καὶ τοῖς τῆς διανοίας ὄμμασιν, ἀναβλέποντες πρὸς κύριον, καὶ τάχά που τῆς κατὰ Χριστὸν δυσσεβείας ἀπαλλάττοντες ἑαυτοὺς, διὰ τοῦ τῶν σταυρωσάντων καταβοᾶν, εἰ καὶ μὴ ἐμφανῶς διὰ τὴν τῶν ἡγουμένων ἀνοσιότητα· οὐκοῦν ἀληθὴς ἦν λέγων ὁ κύριος, ὅταν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν.

XXIII. v. 54. p. 310. b. Ἠκολούθουν σοφαὶ γυναῖκες τῷ πάντων ἡμῶν σωτῆρι Χριστῷ· τὰ εἰς πίστιν τὴν ἐπ' αὐτῷ χρήσιμά τε καὶ ἀναγκαῖα συλλέγουσαι· ἐπειδὴ δὲ τῆς ἁπάντων ζωῆς ἀντάλλαγμα τὴν ἑαυτοῦ ἔδωκε σάρκα, ἔδραμον αἱ σοφαὶ πρὸς τὴν τοῦ σώματος θεραπείαν· ᾠήθησαν γὰρ ὅτι ἀποκρεῖ νεκρὸς ἐν μνημείῳ.

CAP. XXIV.

XXIV. v. 4. p. 311. a. Ἀφίκοντο μὲν αἱ γυναῖκες ἐπὶ τὸ μνῆμα, οὐχ' εὑροῦσαι γε μὴν τὸ σῶμα τοῦ Χριστοῦ, ἐγήγερτο γὰρ, εἰς πολλὴν περιέπτωκασον ἀπορίαν· καὶ τί τὸ ἐντεῦθεν; τῆς εἰς Χριστὸν ἀγάπης ἕνεκα, καὶ τῆς εἰς τοῦτο γενομένης σπουδῆς ἠξιώθησαν ἰδεῖν ἁγίους ἀγγέλους· καὶ δὴ καὶ γεγόνασιν αὐταῖς εὐαγγελισταὶ, καὶ τῆς ἀναστάσεως κήρυκες, τί ζητεῖτε, φάσκοντες, τὸν ζῶντα μετὰ τῶν νεκρῶν; οὐκ ἔστιν ὧδε, ἀλλ' ἠγέρθη· ζῇ μὲν γὰρ ἀεὶ, καὶ ζωὴ κατὰ φύσιν ἐστὶν ὁ τοῦ θεοῦ λόγος· καθεὶς δὲ ἑαυτὸν εἰς κένωσιν, καὶ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ὑπελθὼν, ἐγεύσατο θανάτου· ἀλλ' ἦν τοῦτο τοῦ θανάτου θάνατος· ἐγήγερται τοίνυν ἐκ νεκρῶν, ὁδὸς τῆς εἰς ἀφθαρσίαν ἀναδρομῆς, οὐχ ἑαυτῷ μᾶλλον, ἀλλ' ἡμῖν, γενόμενος· καὶ μηδεὶς ζητείτω τὸν ἀεὶ ζῶντα μετὰ τῶν νεκρῶν· οὐκ ἔστι γὰρ ὧδε, τοὐτ-

ἐστιν ἐν θανάτῳ καὶ μνήματι· ποῦ δὲ μᾶλλον; XXIV.
ἐν οὐρανῷ δηλονότι καὶ ἐν δόξῃ θεοπρεπεῖ· ἵνα
δὲ βεβαιοτέραν αὐταῖς τὴν ἐπὶ τούτοις ἐνιδρύ-
σειαν πίστιν, εἰς μνῆμα ἀναφέρουσιν, ὡς ἔφη
Χριστὸς, ὅτι χρὴ πάντως αὐτὸν εἰς χεῖρας ἁμαρ-
τωλῶν δοθῆναι, καὶ παθεῖν, καὶ ἀναστῆναι τῇ
τρίτῃ ἡμέρᾳ.

Ἄγγελοι μέν τοι καὶ τοῖς ποιμέσιν ἐν Βη- p. 312. a.
θλεὲμ τὸν τόκον εὐηγγελίζοντο, καὶ νῦν τὴν
ἀνάστασιν· καὶ λελειτούργηκεν οὐρανὸς τοῖς πε-
ρὶ αὐτοῦ κηρύγμασι καὶ περιέπουσι τὸν υἱὸν ὡς
θεὸν, καὶ ὅτε γέγονε σὰρξ, αἰτῶν ἄνω πνευ-
μάτων στρατιάς.

Μυσταγωγηθεῖσαι διὰ φωνῆς ἀγγέλων αἱ v. 9.
γυναῖκες, ἀπαγγέλλουσι ταῦτα δρόμῳ τοῖς μα-
θηταῖς· ἔδει γὰρ γυναιξὶ τὴν οὕτω λαμπρὰν
δοθῆναι χάριν· ἡ γὰρ πάλαι γεγενημένη τοῦ
θανάτου διάκονος, ἀπαλλάττεται τῆς αἰτίας,
διακονοῦσα φωναῖς ἁγίων ἀγγέλων, καὶ τὸ σε-
πτὸν τῆς ἀναστάσεως μυστήριον, καὶ πρώτη μα-
θοῦσα καὶ ἀπαγγέλλουσα· κεκέρδαγκε τοίνυν
τὸ θῆλυ γένος, καὶ λύσιν ὀνειδισμοῦ καὶ κα-
άρας ἀνατροπὴν· ὁ γὰρ εἰπὼν πάλαι πρὸς αὐ-
τὰς, ἐν λύπαις τέξῃ τέκνα, παῦλαν αὐταῖς δέ-
δωκε τοῦ κακοῦ, συναντήσας αὐταῖς ἐν τῷ κή-
πῳ, ὥς φησιν ἕτερος εὐαγγελιστὴς, καὶ εἰπὼν,
χαίρετε· πλὴν τοῖς ἁγίοις ἀποστόλοις ὁ περὶ

XXIV. τῆς ἀναστάσεως λόγος ἔδοξεν εἶναι λῆρός τις ἁπλῶς καὶ πρᾶγμα κατεψευσμένον, διά τοι τὸ μὴ δὲ αὐτοὺς εἰδέναι τὴν θεόπνευστον γραφὴν· ἠπίστησαν γοῦν, καὶ τὸ ἀπαγγελθὲν ἔσκωψαν καὶ διέπτυσαν.

v. 36. p. 317. a. Νῦν δὲ τῆς ἀκολουθίας ἐχόμενοι, φαμὲν· ὅτι ἤδη πολλαχόθεν τοῦ λόγου τῆς ἀναστάσεως περιθέοντος τοὺς ἀποστόλους, καὶ τοῦ πόθου πρὸς τὴν ὄψιν ἐγηγερμένου, ποθούμενος ἔρχεται, καὶ ζητοῦσι καὶ προσδοκῶσιν ἀποκαλύπτεται· πλὴν οὐκέτι κρατουμένοις ὀφθαλμοῖς ἐπιφαίνεται, οὐκέτι ὡς περὶ ἑτέρου διαλέγεται· ἀλλ' ἐμφανῆ ἑαυτὸν δίδωσι καὶ θαρρεῖν παρακελεύεται· οἱ δὲ καὶ οὕτως εἰσὶν ἀμφίβολοι καὶ δεδίασιν· ᾠοντο γὰρ οὐκ αὐτὸν βλέπειν, φάσμα δέ τι καὶ σκιὰν· εἶτα, καὶ τὸν ἐκ τῶν τοιούτων λογισμῶν κατευνάζει θόρυβον· τὸ ἐντριβὲς αὐτοῖς καὶ οὐκ ἄηθες ἐπιφθεγξάμενος ῥῆμα· ἔφη γὰρ, εἰρήνη ὑμῖν.

v. 38. p. 317. b. Ἵνα βεβαίως καὶ ἐνδοιασμοῦ δίχα πιστεύσειαν αὐτὸν ἐκεῖνον ὄντα τὸν πεπονθότα, διαδείκνυσιν εὐθὺς, ὅτι θεὸς ὢν φύσει, γινώσκει τὸ κεκρυμμένον, καὶ τὸν ἐν αὐτοῖς τῶν ἐννοιῶν οὐκ ἠγνόησε θόρυβον· ἔφη γὰρ τί τεταραγμένοι ἐστὲ; ἀπόδειξις αὕτη καὶ μάλα σαφὴς τοῦ μὴ ἕτερον εἶναι τινὰ τὸν ὁρώμενον, ἀλλ' ἐκεῖνον αὐτὸν, ὃν καὶ τέθρανται, τὸν ἐπὶ ξύλου πα-

θόντα θάνατον καὶ τεθειμένον ἐν μνημείῳ, ὃς καὶ νεφροὺς ὁρᾷ καὶ καρδίαν, καὶ οὐκ ἂν αὐτὸν λάθοι τῶν ἐν ἡμῖν οὐδέν· σημεῖον οὖν ἄρα ποιεῖται τὸ χρῆμα, τὸ εἰδέναι φημὶ τὸν τῶν ἐν αὐτοῖς ἐννοιῶν θόρυβον· πιστούμενος δὲ καὶ ἑτέρως, ὅτι καὶ νενίκηται θάνατος, καὶ ἀπεδύσατο τὴν φθορὰν ἡ ἀνθρώπου φύσις ὡς ἐν αὐτῷ καὶ πρώτῳ, δείκνυσι τὰς χεῖρας τὲ καὶ τοὺς πόδας, καὶ τὰς διατρήσεις τῶν ἥλων, καὶ ψηλαφᾶν ἐπιτρέπει καὶ πληροφορεῖσθαι διὰ τρόπου παντὸς, ὅτι τὸ πεπονθὸς ὡς ἔφην ἐγήγερται σῶμα· οὐκοῦν συκοφαντείτω μηδεὶς τὴν ἀνάστασιν· κἂν ἀκούσῃς τοῦ ἱεροῦ γράμματος λέγοντος περὶ τοῦ ἀνθρωπίνου σώματος, σπείρεται σῶμα ψυχικὸν, ἐγείρεται σῶμα πνευματικὸν, μὴ ἀνέλῃς τῶν ἀνθρωπίνων σωμάτων τὴν εἰς ἀφθαρσίαν ἀναδρομήν· ὥσπερ γὰρ ψυχικόν ἐστι τὸ ταῖς ψυχικαῖς ἤγουν σαρκικαῖς ἐπιθυμίαις ἀκολουθοῦν καὶ ὑπεζευγμένον, οὕτω καὶ πνευματικὸν τὸ τοῖς τοῦ ἁγίου πνεύματος θελήμασιν ὑποκείμενον· μετὰ γὰρ τὴν ἐκ νεκρῶν ἀνάστασιν, οὐκ ἔστιν ἔτι φιλοσαρκίας καιρὸς, ἀλλ' ἀπραξήσει παντελῶς τῆς ἁμαρτίας τὸ κέντρον· αὐτὸ μέν τοι τὸ κατενεχθὲν εἰς τὴν γῆν, τὴν ἀφθαρσίαν ἐνδύσεται. XXIV.

Ἵνα τοίνυν αὐτὸ τοῦτο εἰδεῖεν σαφῶς οἱ μαθηταὶ, ὅτι αὐτὸς ἐκεῖνος ἐστὶν ὁ παθὼν καὶ p. 318. a.

XXIV. ταφεὶς καὶ ἀναστὰς, δείκνυσιν ὡς ἔφην πόδας τὲ καὶ χεῖρας· καὶ ὅτι μὴ καθάπερ ᾠόηλο πνεῦμα μᾶλλον ἐστῖιν, ἀλλὰ σῶμα καὶ τὸ ἀληθὲς, πληροφορεῖσθαι προστάττει λέγων· καὶ ἴδετε ὅτι πνεῦμα κ. τ. λ.

Σκιὰ γὰρ καὶ πνεῦμα καὶ δόκησις ἁπλῶς, οὐκ ἂν ὑπομείνῃ τὴν χειρὸς ἁφήν.

v. 41. p. 319. a. Ἀλλ' ὅπερ ἐλέγομεν, δείξας τὰς χείρας καὶ τοὺς πόδας τοῖς μαθηταῖς ὁ κύριος, ἐπληροφόρησεν αὐτοὺς, ὅτι τὸ παθὸν ἀνέστη σῶμα· ἵνα δὲ πρὸς τούτοις καὶ ἔτι μειζόνως ἱδρυμμένην αὐτοῖς ἐργάσηται τὴν ἐπὶ τούτῳ πίστιν, ἤτησέ τι τῶν ἐδωδίμων· ὀπτοῦ δὲ ἰχθύος μέρος ἦν· καὶ λαβὼν, κατεδήδοκεν ὁρώντων αὐτῶν· ἵν' εἰδεῖεν ὅτι σῶμα μὲν τὸ ἀνθρώπινον, δέοιτο ἂν τῆς τοιᾶσδε τροφῆς, πνεῦμα δὲ οὐκέτι· τίς οὖν ἀξιῶν πιστὸς εἶναι, καὶ τῶν ἁγίων εὐαγγελιστῶν τὴν μαρτυρίαν ἀναμφιβόλως δεχόμενος, ἔτι πλασμάτων ἀκούσειεν αἱρετικῶν; ἔτι δοκησισόφων ἀνάσχοιτο; νικᾷ γὰρ ἀνθρωπίνην ἐξέτασιν, καὶ τὴν ἐκ τῶν συνήθων ἡμῖν πραγμάτων ἔννοιαν, ἡ τοῦ Χριστοῦ δύναμις· ἔφαγεν ἰχθύος μέρος, διὰ τὴν ἀνάστασιν· καὶ τὸ τῇ βρώσει ἀκολουθοῦν, οὐκέτι ἐπὶ Χριστοῦ ἠκολούθησεν· ὅπερ ἄπιστος ἄν τις ἐπιζητοίη, εἰδὼς ὅτι τὰ εἰσιόντα εἰς τὸ στόμα, πάντως ἐκχωροῦσι καὶ εἰς ἀφεδρῶνα βάλλονται· ἀλλ' οὐχ ὅ γε

πιατὸς, εἰς ἔννοιαν τοιοῦτόν τι λήψεται, ἀλλὰ δυνάμει θεοῦ δώσει τὸ πρᾶγμα. XXIV.

Ὅτε τὸν λογισμὸν αὐτῶν, δι' ὧν εἶπε, δι' ὧν ἐψηλαφήθη, δι' ὧν ἔφαγεν εἰρήνευσε, τότε διήνοιξε τὸν νοῦν τοῦ συνιέναι ὅτι οὕτως ἔδει παθεῖν αὐτὸν, δῆλον δὲ ὅτι διὰ ξύλου σταυροῦ. v. 45. p. 319. b.

Ἀποφέρει τοίνυν τοὺς μαθητὰς ὁ κύριος, εἰς ἀνάμνησιν ὧν ἔφη· προαπήγγειλε γὰρ αὐτοῖς τὰ ἐπὶ τῷ σταυρῷ πάθη, καθὰ φθάσαντες ἔφασαν οἱ προφῆται· ἀνοίγνυσι δὲ καὶ τοὺς τῆς καρδίας αὐτῶν ὀφθαλμοὺς, ὥστε συνιέναι τὰ πάλαι προειρημένα. v. 46.

Πνεύματος ἁγίου κάθοδον, ὃ διὰ Ἰωὴλ ὁ θεὸς προεπηγγείλατο, τοῖς μαθηταῖς ὁ σωτὴρ ἐπαγγέλλεται καὶ τὴν ἐξ ὕψους δύναμιν, ἵν' εἶεν εὐσθενεῖς καὶ ἀκαταγώνιστοι, καὶ δίχα παντὸς δέους διακηρύξειαν τοῖς ἁπανταχοῦ τὸ θεῖον μυστήριον. v. 49. p. 420. a.

Εὐλογήσας αὐτοὺς καὶ βραχὺ προελθὼν, ἀνεφέρετο εἰς τὸν οὐρανὸν, ἵνα σύνεδρος ᾖ τῷ πατρὶ καὶ μετὰ τῆς ἐνωθείσης αὐτῷ σαρκὸς· καὶ ταύτην ἡμῖν ἐνεκαίνισε τὴν ὁδὸν ἐν ἀνθρωπείᾳ μορφῇ γεγονὼς ὁ λόγος· ἥξει δὲ πάλιν κατὰ καιροὺς ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ, μετὰ τῶν ἀγγέλων, καὶ παραλήψηται ἡμᾶς καθ' ἑαυτοῦ. v. 51.

Locus praetermissus, pertinens ad cap. II. v. 11.

p. 30. a. Ὃς ἐστι Χριστός. Καὶ οὐδετέρου δύναμιν ἔχει· οὔτε μὴν τὴν τινὸς οὐσίαν, ὅτι ποτέ ἐστι, σημαίνει· καθάπερ ἀμέλει τὸ ἄνθρωπος, ἢ ἵππος, ἢ βοῦς· πράγματος δὲ μᾶλλον ἐνεργουμένου περί τινα, ποιεῖται δήλωσιν· ἐλαίῳ μὲν γὰρ ἐχρίοντο τῶν ἀρχαιοτέρων τινὲς, κατά γε τὸ θεῷ τηνικάδε δοκοῦν, καὶ σύνθημα βασιλείας ἦν ἡ χρίσις αὐτοῖς· ἐχρίοντο δὲ καὶ προφῆται νοητῶς, τῷ ἁγίῳ πνεύματι· ὥστε καὶ ἐντεῦθεν ὀνομάζεσθαι χριστοὺς, κατὰ τὸ, μὴ ἅπτεσθε τῶν χριστῶν μου· ἐπὶ δὲ τοῦ σωτῆρος Χριστοῦ, χρίσιν μὲν γενέσθαι φαμὲν, πλὴν οὔτε συμβολικὴν ὡς ἐν ἐλαίῳ δρωμένην, οὔτε μὴν τὴν ὡς ἐν χάριτι προφητικῇ· ἀλλ' οὐδὲ ἐκείνην τὴν ὡς ἔν γε τῷ προχειρίζεσθαι νοουμένην πρὸς κατόρθωσίν τινος πράγματος, κατὰ τὸ ἐν Ἡσαΐᾳ· οὕτω λέγει κύριος τῷ χριστῷ μου Κύρῳ· καί τοι γὰρ εἰδωλολάτρης ὑπάρχων ὁ ἀνὴρ, ὠνόμασται χριστὸς· διὰ τὸ οἱονεὶ κεχρίσθαι πρὸς βασιλέα, τῇ ἄνωθεν ψήφῳ, προκεχειρίσθαί τε παρὰ θεοῦ κατὰ κράτος ἑλεῖν τὴν βαβυλωνίων· ὁ δὲ σωτὴρ ἐχρίσθη τῷ πνεύματι τῷ ἁγίῳ, τῷ ἐλαίῳ τῆς ἀγαλλιάσεως, καθ' ἡμᾶς ἀνθρωπίνως, ἵν' ἐν αὐτῷ καὶ μόνῳ τοῖς τῆς ἁμαρτησίας αὐχήμασιν ἡ ἀνθρώπου φύσις στεφανουμένη, ἀξία τὲ

ἤδη γενομένη τοῦ μεταλαχεῖν τοῦ ἁγίου πνεύματος, καταπλουτήσῃ τὸ ἅγιον, ἀναμορφωθείη τε οὕτω πρὸς θεὸν δι' ἁγιασμοῦ· οὐκ ἀποφοιτῶντος ἔτι καθὰ καὶ ἐν ἀρχαῖς, ἐμφιλοχωροῦντος δὲ μᾶλλον αὐτῇ· ταύτῃ τοι καὶ γέγραπται ὅτι κατέπτη μὲν ἐπὶ Χριστῷ τὸ πνεῦμα· μεμένηκε δὲ ἐπ' αὐτόν· λέγεται τοίνυν Χριστὸς ὁ τοῦ θεοῦ λόγος· ὁ δι' ἡμᾶς καὶ καθ' ἡμᾶς ἄνθρωπος καὶ ἐν τῇ τοῦ δούλου μορφῇ· καὶ χριόμενος μὲν ἀνθρωπίνως κατὰ τὴν σάρκα, χρίων δὲ θεϊκῶς τῷ ἰδίῳ πνεύματι τοὺς εἰς αὐτὸν πιστεύοντας.

ΤΕΛΟΣ.

ΣΕΒΗΡΟΥ ΑΝΤΙΟΧΕΩΣ

ΕΙΣ ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ.

Cap. I. v. 11. Cod. p. 2. a. Οὕτω καὶ Παῦλος· ἐπειδὴ ἐφανερώθη ἐν σαρκὶ, διὰ τοῦτο αὐτὸν καὶ ὤφθαι ἀγγέλοις φησὶν· ἡ γὰρ φανέρωσις, διὰ τῆς σαρκὸς οὐ κατὰ φαντασίαν γέγονεν.

v. 17. p. 5. b. Ἐκείνῳ μέν τοι προσεκτέον, πῶς εἶπεν ὁ ἄγγελος, ὅτι πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπιστρέψει πρὸς κύριον τὸν θεὸν αὐτῶν· εἶτα, συνῆψε· καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ· ὥστε κύριος καὶ θεὸς Ἰσραὴλ ὑπῆρχεν ὁ Χριστὸς, οὗ προέδραμεν ὁ Ἰωάννης.

Τί δέ ἐστι τὸ ἐπιστρέφειν καρδίας πατέρων ἐπὶ τέκνα κατὰ τὸν Ἠλίαν, καὶ αὖθις ἴδωμεν· οἱ ἰουδαῖοι, καὶ Ἰωάννου καὶ τῶν ἀποστόλων πατέρες ὑπῆρχον· ἀλλ' ὅμως πρὸς τὸ εὐαγγέλιον, ἐκ τύφου καὶ βασκανίας, καὶ ἀπιστίας, ἐτύφλωττον· καθάπερ οὖν υἱοὶ φιλόστοργοι, ὁ Ἰωάννης καὶ οἱ ἀπόστολοι μετ' αὐτὸν, μὴ βλέποντας τοὺς ἰουδαίους ἐχειραγώγουν, καὶ τὸ ἀληθὲς ὑπεδείκνυον, τὴν τῆς ἀπιστίας λήμην ἐκμάττοντες· καὶ πρὸς τὴν οἰκείαν δικαιοσύνην καὶ φρόνησιν ἕλκοντες τοὺς τέως ἀπειθεῖς· οὗ-

τω καὶ Ἠλίας ἡνίκα ἂν ἔλθῃ προτρέχων τῆς δευτέρας Χριστοῦ παρουσίας, τοὺς ἐναπομείναντας Ἰουδαίους τῇ πατρίῳ πλάνῃ, καὶ τὸ πατέρων πρόσωπον ἐπέχειν κομπάζοντας, ἐπιστρέψει πρὸς τὴν τῶν ἀποστόλων ἐν τάξει τέκνων λελογισμένων ἀλήθειαν· ἵνα τὸ καταλειμμα τοῦ Ἰσραὴλ σωθῇ, φησὶν ὁ ἀπόστολος. I.

Ἔτι ὁ Ζαχαρίας τύπον ἐπέχει τῆς νομικῆς ἱερωσύνης τε καὶ λατρείας, ἥ τις ἐν τοῖς ἑαυτῆς ἀδύτοις καὶ βάθεσιν, οἱονεὶ θυμιάμασι, κεκρυμμένην εἶχε τὴν νοητὴν εὐοσμίαν τῆς πνευματικῆς ἱερουργίας, καὶ τὸ τοῦ εὐαγγελίου μυστήριον· ᾧ περ ἐπειδὴ ἠπίστησαν Ἰουδαῖοι, αὐτοῖς μὲν ὁ νόμος ἔμεινεν ἄφωνος· καὶ ἄπρακτος καὶ ἀνενέργητος, καὶ κατὰ τὰς στείρας, ἄγονος· ἐπαύσαντο γὰρ αἱ κατὰ νόμον τελούμεναι θυσίαι· τοῖς δὲ πιστοῖς, οὐ μόνον οὐκ ἄφωνος, ἀλλὰ καὶ μετὰ προφητείας φθεγγόμενος, καὶ πνευματικῶς ἐνεργούμενος· ζητητέον δὲ τίνος ἕνεκεν ποτὲ μὲν λόγῳ μόνον ὁ θεὸς μεμφόμενος, ποτὲ δὲ καὶ ἔργῳ ἐπιτιμῶν, ἐνταῦθα τῷ Ζαχαρίᾳ καὶ δι' ἔργου ἐπετίμησε, καὶ εἰς κωφότητα καὶ ἀφωνίαν αὐτὸν περιέστησεν; ὅτι διὰ τῶν προτέρων ἐχρῆν αὐτὸν παιδεύεσθαι, καὶ τὴν πρὸς τοὺς πατέρας μέμψιν, παίδευσιν ἰδίαν ποιήσασθαι· καὶ μὴ διακριθῆναι περὶ τὴν θείαν ἐπαγγελίαν· οἱ γὰρ πρότεροι, τοῖς δεύτεροις v. 22. p. 6. b.

ὁδηγία, οὐδὲ αὐτὸς γὰρ Ἀβραὰμ τὸ μέτρον τῆς πίστεως ἐπλήρωσεν, ὡς ἐχρῆν· ἀλλὰ τὰ πρῶτα καὶ ἐγέλασε καὶ εἶπεν εἰ τῷ ἑκατονταέτει γενήσεται· καὶ ἡ Σάρρα δὲ γελάσασα, ἐμέμφθη· πλὴν ἐπειδὴ τὰ μεγάλα δυσέκφικτα τοῖς ἀνθρώποις, διὰ τοῦτο συγγινώσκει θεὸς· ὁ δὲ Ζαχαρίας τοιαῦτα ἔχων τὰ παραδείγματα, εἰκότως σφοδρότερον ἐπιτιμᾶται, διὰ τὸ μικρὰ φρονῆσαι, καὶ μὴ λογίσασθαι τὴν τοῦ λέγοντος δύναμιν, ἀλλὰ τὴν τοῦ πράγματος ἀδυναμίαν.

v. 63. p. 11. a. Καθάπερ μέν τοι ὁ Ζαχαρίας πατὴρ ἦν Ἰωάννου, τῆς βοώσης ἐν τῇ ἐρήμῳ φωνῆς, καὶ καλεῖν αὐτὸν Ἰωάννην διὰ τῆς γλώττης οὐκ ἴσχυε· λαβὼν δὲ δέλτιον, τὴν προσηγορίαν ἐνέγραφεν, οὕτω καὶ ὁ νόμος, ῥίζα τίς ἦν καὶ ἀρχὴ τῆς τοῦ εὐαγγελίου φωνῆς· ἥ τις ἔρημον οὖσαν τὴν οἰκουμένην, θεογνωσίας ἐπλήρωσεν· ἣν οὐκ ἦν δυνατὸς ὁ νόμος ὡσανεὶ διὰ γλώττης φανερῶς ἐκφωνεῖν, ὡς ἐν δέλτῳ δὲ διὰ τῶν τύπων ὑπέγραφεν.

v. 31. p. 15. b. Εἰ μὴ γὰρ ὁ λόγος μείνας ἐν οἷς ἦν, ἀμείνων γὰρ τροπῆς ὡς θεὸς, ἐκ μήτρας αὐτῆς ἑνωθεὶς σαρκὶ καθ' ὑπόστασιν ψυχὴν ἐχούσῃ τὴν νοερὰν, καὶ τῆς ἐμῆς γενέσεως τὰς ὠδῖνας· καὶ αὐτὴν τὴν εἰς τὸ εἶναι πάροδον, διὰ τῆς ἰδίας κυοφορίας εὐλόγησε, καὶ τῆς κατὰ σάρκα γεν-

νήσεως, οὐκ ἐλύθη τὸ ἐν λύπαις τέξῃ τέκνα, τὸ τῆς πικρᾶς γεύσεως ἐπιτίμιον. I.

Μέγας γὰρ ἀληθῶς ὁ κύριος ἡμῶν, ὡς ὢν κατὰ φύσιν υἱὸς τοῦ ὑψίστου πατρὸς· καὶ οὐχ' ὡς εἷς τῶν πολλῶν· τὸ δὲ ἔσται καὶ κληθήσεται, πρέπον τῇ κατὰ σάρκα οἰκονομίᾳ, καὶ τοῖς τῆς πτωχείας μέτροις, ἣν ἑκὼν ἐπτώχευσε δι' ἡμᾶς, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν. v. 32. p. 17. a.

Τοῦτο δι' οὐδὲν ἕτερον εἴρηται τῷ Γαβριὴλ, ἢ ἵνα τὴν παρθένον ἀναμνήσῃ τῶν προφητῶν, καὶ μάθῃ σαφῶς ὅτι ὁ ἐξ αὐτῆς τεχθησόμενος, οὗτός ἐστιν ὁ Χριστὸς, ὁ ὑπὲρ ἐκείνων προφητευθεὶς ἐκ σπέρματος ἐλεύσεσθαι τοῦ Δαβίδ.

Οὔτε οὖν τὸν θρόνον αἰσθητὸν χρὴ νοεῖν, οὔτε οἶκον Ἰακὼβ, τὸ ἰουδαίων ἔθνος· ἀλλὰ πάντας τοὺς διὰ τῆς κλήσεως τοῦ σωτῆρος ἡμῶν, ἐξ ἁπάντων τῶν ἐθνῶν εἰς τὴν τῶν ἁγίων υἱοθεσίαν εἰσποιουμένους. p. 18. a.

Μὴ πρὸς τὴν φύσιν φησὶν ἀπίδῃς, μὴ λόγον ἐπιζητήσῃς τοῦ θαύματος, πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ· ἤκουσας ἅγιον, ἀπέλασον τῆς σῆς διανοίας πᾶσαν μίξεως φαντασίαν, καὶ ἡδονῆς, καὶ ῥύπου παντὸς, καὶ κηλῖδος, καὶ καθαρὰν τὴν ἐπέλευσιν τοῦ πνεύματος πίστευε· δημιουργικῶς γὰρ ἐνεργήσει τὴν κύησιν, σοῦ μόνον συνεισφερούσης ἐκ τῆς σῆς οὐσίας, ὅσα μητέρες πεφύκασι συνεισφέρειν τῷ τόκῳ. v. 35. p. 19. b.

1. Μὴ ταράττέτω σε τὸ μὴ γινώσκειν ἄνδρα· μὴ δὲ πρὸς τὴν ἐκ σωματικῆς συμπλοκῆς κύησιν, ἀπαγάγῃς τὸν νοῦν· πνεῦμα γὰρ ἐπελεύσεται ἐπὶ σὲ· πνεύματος δὲ ὄνομα, πάσης ἐστὶν ἔξω σωμάτων ἐμφάσεως· καὶ πνεῦμα, οὐ τὸ τυχὸν, ἀλλὰ τὸ ἅγιον· οὐχ' ἓν τῶν ἁγιαζομένων καὶ τοῖς λειτουργικοῖς τάγμασι ἐμπεριειλημμένων, ἀλλ' αὐτὸ τὸ ἅγιον, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, τὸ πάσῃ κτίσει τὴν ἁγιότητα χορηγοῦν· ὅπου δὲ ἁγιότητος μνήμη, πάντως ἐκεῖ καθάρσεως, καὶ ἡδονῆς καὶ ἁμαρτίας ἴχνος οὐδέν.

p. 21. a. Ὅρα δὲ ὅτι ἕνα οἶδεν ὁ Γαβριὴλ τὸν Ἐμμανουὴλ, τεχθησόμενον μὲν κατὰ σάρκα ἐκ τῆς ἁγίας παρθένου, ἅγιον δὲ λεγόμενον, οὐχ' ὡς ἔνοικον ἔξοντα τὸν υἱὸν τοῦ θεοῦ, καὶ ἐκ μετοχῆς ἁγιασθησόμενον, ἀλλ' ὡς ὄντα κατὰ φύσιν ἅγιον, τῷ τὸν αὐτὸν υἱὸν ὑπάρχειν θεοῦ, καὶ ἕνα εἶναι ἐξ ἀμφοῖν θεότητός τε καὶ ἀνθρωπότητος.

v. 42. p. 24. a. Ὁ τὸν καρπὸν εὐλογήσας, τὴν κοιλίαν τὴν τὸν καρπὸν ἐνεγκοῦσαν εὐλόγησεν· ἀλλὰ γὰρ οὐκ οἶδ' ὅπως εἰς μέσον ἦλθεν ὁ τῆς Εὐτυχοῦς βδελυρᾶς δοκήσεως ἔλεγχος, τὸ καρπὸν κοιλίας τὸν Χριστὸν λέγεσθαι· πᾶς γὰρ καρπὸς, ἐκ τῆς οὐσίας τοῦ καρποφοροῦντος δένδρου βεβλάστηκε, καὶ τῆς αὐτῆς ἐστὶν ἐκείνῳ φύσεως καὶ οὐχ ἑτέρας τίνος· πῶς οὖν ὁ ἀνόητος οὐκ

ἐκ Μαρίας εἶναι φησὶ τὸ σῶμα τοῦ Ἐμμανουὴλ, ι.
ἀλλὰ τὴν κοιλίαν τὴν τὸν εὐλογημένον καὶ ἀληθῆ καρπὸν βλαστήσασαν παρωσάμενος, τὴν δόκησιν φαντάσματος τινὸς ἀνυποστάτου ἀναπλάττει μητέρα, φάσμα καὶ ὄναρ τὴν σωτηρίαν ἡμῶν ἐργαζόμενος; εἰ γὰρ τῆς αὐτῆς οὐσίας ἦν τῷ Ἀδὰμ ἡ ἐκ τῆς πλευρᾶς αὐτοῦ ληφθεῖσα καὶ κτισθεῖσα γυνὴ, καὶ τὴν παράβασιν τῆς ἐντολῆς σὺν αὐτῷ πλημμελήσασα, ἀφ' ἧς ἡ ἁμαρτία κατάσταται, τῆς αὐτῆς πάντως οὐσίας καὶ ἡ παρθένος ὑπῆρχεν, ἐξ ἧς χωρητὸς ὁ δεύτερος Ἀδὰμ ἀνατέταλκε· ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· ἵνα οἱ ἐν τῷ Ἀδὰμ ἀποθανόντες, ζωοποιηθῶμεν ἐν τῷ Χριστῷ.

Οἱ τοίνυν τὴν ὀνειρώδη φαντασίαν μυθεύοντες, τὴν ἀληθῆ τῆς θεοτόκου παρθένου κύησιν ἐντρεπέσθωσαν· φερούσης ἐν τῇ γαστρὶ τὸν οὐράνιον λόγον, ἐξ αὐτῆς ἀτρέπτως σαρκούμενον· ὡρὸς ἦν, καὶ Ἐλισάβετ ἐβόησεν· εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, πάντως γὰρ ὁ καρπὸς ἐξ αὐτῆς τῆς οὐσίας τοῦ δένδρου βεβλάστηκεν· ὅθεν καὶ τὸ θαῦμα θεοπρεπὲς ὅτι τόκος ἀληθὴς καὶ οὐ φάσματος πάροδος, τὸν τῆς παρθενίας δεσμὸν οὐ διέῤῥηξεν.

Ἀλλὰ ποῦ εἰσὶν οἱ λέγοντες, ὡς διὰ σωλῆνος τῆς παρθένου πεποιηκέναι Χριστὸν τὴν πάροδον; οἱ μήτε τὸν χρόνον δυσωπούμενοι, μή-

τε τοὺς μῆνας, μήτε τὴν νηδὺν, μήτε τὴν Ἰωσὴφ ἀγωνίαν ἐννοούμενοι· ποία ϖάροδος Θεοῦ, δέεται χρόνου ἐνναμηνιαίου; οὐκ ἀκούεις τῆς ἐμπεπλησμένης πνεύματος ἁγίου Ἐλισάβετ, καρπὸν κοιλίας Χριστὸν λεγούσης; ἢ λέληθέ σε ὅτι ϖρῶτον βλαστὸς, εἶτα ἄνθρωπος, ἔπειτα καρπός;

Cap. II. v. 15. p. 31. b. Ἄγγελοι χαίρουσι, ποιμένες περιαστράπτονται, ἀγγελικὴν στρατιὰν θεασάμενοι, καὶ ὑμνολογούσης ἀκούσαντες, καὶ τὴν Βηθλεὲμ ἐπιζητοῦσι θερμῶς, ἤ τις οἶκος ἄρτου μεθερμηνεύεται· τοὺς τῆς ἐκκλησίας προτυποῦντες ϖοιμένας τὲ καὶ ἱερεῖς, οἷς ἔργον ἐστὶ τὸν οὐρανίον ἄρτον ἐϖιζητεῖν, τὸν ἀμνὸν τοῦ Θεοῦ τὸν μυστικῶς καθεκάστην ἱερουργούμενον.

v. 21. p. 34. a. Εἰ δὲ οἱ τὴν δόκησιν εἰσαγαγόντες μανιχαῖοι ἐκεῖνο ὡς ἄμαχόν τι ϖροβάλλονται, τί ἄρα Χριστοῦ ϖεριτμηθέντος ἡ ἀκροβυστία αὐτοῦ γέγονε; καὶ οἴονται ἡμᾶς εἰς ἀπορίαν περικλείειν, οὐκ ἴσασιν ὅτι τῆς ἀνοίας αὐτῶν καὶ ἀθεΐας ἐστὶ μόνης, τὸ διὰ τὰ μὴ γεγραμμένα, τῶν γεγραμμένων τὴν ὁμολογίαν ἀρνεῖσθαι· ὅτι μὲν γὰρ ϖεριετμήθη κατὰ τὸν νόμον, οὐ μόνον τὸ εὐαγγέλιον μαρτυρεῖ, ἀλλὰ καὶ Παῦλος διάκονον αὐτόν φησι γεγενῆσθαι ϖεριτομῆς, εἰς τὸ βεβαιῶσαι τὰς ἐϖαγγελίας τῶν ϖατέρων· αἱ δὲ ἐϖαγγελίαι ἦσαν, τὸ τῷ σπέρματι αὐτῶν ἐνευλογηθήσεσθαι ϖάσας τὰς ϖατριὰς τῶν ἐθνῶν·

τὸ δὲ σωτέρμα ἦν ὁ Χριστὸς, ὃς ἦλθε πληρῶ- II.
σαι τούτων τῶν ἐπαγγελιῶν τὸ τέλος, καὶ κα-
τὰ σάρκα περιτομὴν, καὶ τὴν εἰς τοῦτο διακο-
νίαν πληρῶσαι· διακονία γὰρ καὶ λειτουργία,
πᾶς ὁ τῆς οἰκονομίας λόγος· καὶ οὕτως τῇ εἰς
αὐτὸν πίστει, πάντα σαγηνεῦσαι τὰ ἔθνη, καὶ
ποιῆσαι αὐτὰ τέκνα τοῦ Ἀβραὰμ· ὅτι μὲν οὖν
περιτέτμηται, τίς ὁ τολμῶν ἀρνεῖσθαι, ὡς οἱ τὴν
φαντασίαν πρεσβεύοντες; οὐκ ἐπειδὴ δὲ μὴ γέ-
γραπται τι περὶ τῆς ἀκροβυστίας αὐτοῦ, τού-
του χάριν ὁμολογήσομεν οὐδαμῶς ὅτι ἀληθῶς
περιετμήθη· πρόδηλον δὲ πάντως ὡς ἐκ νεκρῶν
ἀναστὰς, ἔσχε καὶ τὸ περιτμηθὲν μόριον· καθὸ
μέρος ὅλου τοῦ σώματος ἀδιάφθορον φυλάξας
αὐτὸ, καθ' οὓς οἶδεν ἀῤῥήτους λόγους αὐτὸς·
καὶ οὐδὲ κατὰ τοῦτο ἐλλιπῶς ἔχων, ἀνέστη
πλήρης καὶ ἄφθαρτος ὅλῳ τῷ σώματι.

Προκοπὴν γὰρ ἐκάλεσεν ὁ εὐαγγελιστὴς, τῆς v. 52.
p. 46. a.
Ἰησοῦ θεότητος τὴν κατὰ μέρος φανέρωσιν· ὁ
γὰρ ἴδια ἔχων τὰ τοῦ πατρὸς ἴδια, ποίαν αὔ-
ξησιν ἐπιδέχεται; προκόπτειν δὲ ὅμως ἐδόκει
παρά τε θεῷ καὶ ἀνθρώποις, προκοπτούσης ἐν
τοῖς ἀνθρώποις τότε κατ' ὀλίγον τῆς περὶ αὐ-
τοῦ θεοπρεποῦς ὑπολήψεως, ἣν εὐδοκίᾳ τοῦ πα-
τρὸς ἐπεδείκνυ· συμπροάγων τῷ χρόνῳ τῆς ἡλι-
κίας, τὴν ἔκλαμψιν τῆς θεότητος.

Cap. III.
Ἔτι διὰ τοῦτο τριακονταέτης ἐπὶ τὸ βάπτι- v. 23.
p. 61. b.

III. σμα παραγίνεται, ἵνα δείξῃ ὅτι τελείους ἄνδρας ἀποτίκτει κατὰ τὴν νοητὴν ἡλικίαν ἡ πνευματικὴ ἀναγέννησις· οὕτω γὰρ καὶ ὁ πρῶτος ἄνθρωπος, τέλειος ἐπλάσθη· καὶ εὐθέως ἐν τῷ παραδείσῳ τεθεὶς, ὡς τέλειος ἐντολὴν καὶ νόμον ἐλάμβανε, καὶ ἐπετρέπετο τοῦ παραδείσου τὴν ἐργασίαν καὶ φυλακήν· ἡ γὰρ νηπιότης καὶ ἡ κατὰ τὰς ἡλικίας αὔξησις, μετὰ τὴν ἐκβολὴν τοῦ παραδείσου τῇ ῥοώδει μίξει, καὶ τῷ ἐν γενέσει καὶ φθορᾷ βίῳ κατηκολούθησεν.

Cap. IV. v. 1. p. 72. b. Τί φής; ἄκων ἤγετο ὑπὸ τοῦ πνεύματος τὴν τοῦ διαβόλου πεῖραν ὑπενεγκεῖν, καὶ ἡμεῖς μὲν αὐτεξουσίῳ βουλήματι τὴν ἑαυτῶν διοικοῦμεν ζωήν; καὶ αὐθαιρέτως πρὸς τοὺς τῆς ἀρετῆς ἐρχόμεθα πόνους, καὶ τὴν ὑπὲρ αὐτῶν ὑπομένομεν πεῖραν; αὐτὸς δὲ ἀβουλήτως εἵλκετο; καὶ πῶς οὐκ ἄτοπον τοῦτο καὶ λογίσασθαι μόνον; ἀλλὰ τὸ ἀνήχθη ὑπὸ τοῦ πνεύματος, τοιαύτην ἔχει τὴν ἔννοιαν· ἀνηγμένην καὶ πνευματικὴν ἦλθε διαγωγήν, ἵνα καὶ χώραν δῷ τῷ πειράζοντα· καὶ τοῦτο δὲ τοῖς τῆς κενώσεως μέτροις ἁρμόδιον· ὡς γὰρ εἵλετο ἀτρέπτως ἄνθρωπος γενέσθαι, οὕτω πάντα ὑπὲρ ἡμῶν τὰ ἀνθρώπινα διεξέρχεται· δεικνὺς, ὡς ἡμᾶς προσήκει διὰ τὸ βάπτισμα τὴν τῆς υἱοθεσίας χάριν πλουτήσαντας, χωρεῖν πρὸς ἀνηνεγμένην ζωήν, καὶ ὑπὸ τοῦ πνεύματος ἄγεσθαι, ἀλλὰ μὴ ὑπὸ τοῦ βου-

λήματος τῆς σαρκὸς· κατὰ τὸ, ὅσοι πνεύματι 17.
θεοῦ ἄγονται, οὗτοι θεοῦ εἰσὶν· ὁ γὰρ ὁμοούσιον ἔχων τὸ πνεῦμα τὸ ἅγιον, καθὸ θεὸς ἦν καὶ ὁμοούσιος τῷ πατρὶ, πῶς ἔμελλε πνευματικῆς δεῖσθαι καὶ ἀνηγμένης ζωῆς;

Ὥσπερ ἡμῖν ἐβαπτίζετο, καθάρσεως οὐ δεό- v. 2.
μενος, αὐτὸς ὢν ἡ κάθαρσις, καὶ ὁ τῶν ὑδάτων ἁγιασμὸς, οὕτως ἡμῖν νηστεύει τε καὶ πειράζεται, καθὸ μὲν ἄνθρωπος ἦν, κατὰ ἀλήθειαν τὴν τοῦ διαβόλου προσιέμενος πεῖραν· καθὸ δὲ θεὸς ἦν ὁ αὐτὸς, ἀπρόσιτος ὢν τῷ πειράζοντι· καὶ οὐκ αὐτὸς τῆς ἐκ τοῦ πειρασμοῦ δοκιμασίας δεόμενος· πῶς γὰρ ὃς ἁμαρτίαν οὐκ ἐποίησεν; ἀλλ' ἡμῖν τῶν πρὸς τὸν διάβολον ἀπαρχόμενος παλαισμάτων, καὶ τύπον διδοὺς καὶ διδάσκων ἐκ τούτου σαφῶς, ὡς καὶ οἱ μέλλοντες εἰς αὐτὸν πιστεύειν, λήψονται μὲν ἐκ τοῦ βαπτίσματος τὴν τῶν ἀρχαίων ἁμαρτημάτων ἐλευθερίαν, καὶ τὴν τῆς υἱοθεσίας χάριν· λοιπὸν δὲ τῇ πανοπλίᾳ πεφραγμένοι τοῦ πνεύματος, πρὸς πικρότερον ἀνταγωνιστὴν ἔξουσι τὸν διάβολον, ὥσπερ ἀθληταί τινες, τῷ ἐλαίῳ τῷ θείῳ χρισάμενοι, καὶ πρὸς τὸ στάδιον τῆς ἀγωνίας ἀποδυσάμενοι, ἵνα τῶν στεφάνων καὶ τῆς ἀναῤῥήσεως τύχωσιν.

Τὸ μὲν οὖν βάσκανον καὶ ὑπερήφανον τῶν Cap. V. v. 31.
Ἰουδαίων στίφος, ἠτιᾶτο τοῦ ἰατροῦ τὸ κηδε- p. 89. b.
μονικὸν, ὡς χαμαίζηλον· καὶ πρὸς τοὺς μαθη-

v. τὰς λοιδορεῖν ἐπεχείρει· ὑπεροψίας γὰρ ἴδιον διαγελᾶν καὶ σκώπτειν τὸ συγκαταβατικὸν καὶ ὑφειμένον καὶ μέτριον· ὁ δὲ ἐπεστόμισεν αὐτοὺς· καὶ ἐξ αὐτῶν ὧν ἐνεκάλουν, πολλοῖς ἐγκλήμασιν ὑπευθύνους ἀπέδειξε· καὶ πρῶτον μὲν ὡς διδασκάλων οἴησιν ἔχοντας, καὶ ἀγνοοῦντας ὅτι διδασκαλίας ἀλλότριον τὸ μὴ συγκατιέναι τοῖς μαθηταῖς· ὡς καὶ ἰατρείας οὐκ ἴδιον, τὸ μὴ πρὸς τὰ τῶν νοσούντων ἐπικλίνεσθαι πάθη· δεύτερον δὲ ὡς φιλοτιμούμενος εἰδέναι τὰς γραφὰς, καὶ νοσοῦντας ἀμαθίαν ἐσχάτην· τοῦτο γὰρ δηλοῖ τὸ παρὰ τῷ Ματθαίῳ· πορευθέντες μάθετε, τί ἐστιν ἔλεος θέλω καὶ οὐ θυσίαν· τί τὸ πᾶν ἐν ταῖς νομικαῖς θυσίαις τίθεσθε, τὸν δὲ περὶ τοὺς ὁμογενεῖς ἔλεον διαπτύετε, τὸν μάλιστα θεὸν θεραπεύοντα; οὐκ ἦλθον καλέσαι δικαίους, τουτέστιν ὑμᾶς τοὺς τῇ οἰκείᾳ ψήφῳ δικαίους ἀποφαίνοντας ἑαυτούς· οὐ γὰρ βούλεσθε· τοὺς δὲ ὁμολογοῦντας ἁμαρτωλοὺς εἶναι, καὶ τῇ ἐμῇ κλήσει προστρέχοντας, σώσων ἦλθον· ἡ γὰρ κλῆσις, οὐκ ἀναγκαστική τίς ἐστιν, ἀλλ' ἀναμένουσα τὸ ἑκούσιον, ὡς τό γε ἐπ' ἐμοὶ, καὶ ὑμεῖς κέκλησθε· μόνον, εἰ τὴν πρόληψιν τῆς δοκούσης δικαιοσύνης ἀπόθησθε.

v. 34. p. 90. a. Εἰ τοίνυν φησὶ νυμφίος εἰμὶ, καὶ οὐκ ἀπιστεῖτε Ἰωάννῃ τῷ διδασκάλῳ, πρόδηλον ὡς δεῖ τοὺς ἐμοὺς μαθητὰς υἱοὺς τοῦ νυμφῶνος ὄντας,

διακονοῦνται γάρ μοι τὴν οἰκονομίαν ἐκπληροῦν- v.
τι τοῦ γάμου, φαιδροὺς εἶναι, καὶ μὴ πενθεῖν,
καὶ τῇ νηστείᾳ συστέλλεσθαι· κατηφὲς δὲ ἡ νη-
στεία, καὶ ἄλλως ἐπίπονον τοῖς ἀτελῶς διακει-
μένοις· τίς δὲ ὁ γάμος, καὶ ἡ νύμφη, καὶ ὁ
νυμφίος, μάθωμεν, καὶ μὴ ἀπλῶς παραδρά-
μωμεν· ὁ τοῦ Θεοῦ λόγος, τὴν ἡμετέραν ἀπο-
σκιρτήσασαν φύσιν, καὶ τὴν πρὸς αὐτὸν συνά-
φειάν τε καὶ οἰκείωσιν, ἀτιμάσασαν, καὶ τὴν λο-
γικήν τε καὶ κατ' εἰκόνα θεοῦ γενομένην ψυχὴν
ταῖς ἀλόγοις ἐπιθυμίαις τῆς σαρκὸς ὑποζεύξα-
σαν, ἐζήτησε καὶ ἐδίωξε, καὶ διὰ τῶν ἐναγγίων,
ἥνωσεν ἑαυτῷ· ἐκείνης γὰρ τὴν ἐκ τῆς θείας εἰ-
κόνος τοῦ νοῦ διαῤῥηξασάσης συνάφειαν, αὐτὸς
αὐτὴν διὰ τῆς κατὰ σάρκα συγγενείας προσάγε-
ται· μείνας ὃ ἦν θεὸς, καὶ ἀτρέπτως γενόμενος
ἄνθρωπος· σπέρματος γὰρ Ἀβραὰμ ἐπελάβετο,
καὶ ἐκ τῆς ῥίζης ἐβλάστησεν Ἰεσσαὶ· καὶ ἐκ τῆς
ὀσφύος Δαβὶδ, ἐξ ὧν ἡ ἁγία παρθένος ἡ ἀσπό-
ρως τοῦτον κυήσασα, μετασχόντα παραπλησίως
ἡμῖν αἵματος καὶ σαρκὸς ψυχὴν ἐχούσης τὴν
λογικήν· καὶ οὐκ ἠρκέσθη τούτῳ μόνον, ἀλλὰ
δὴ καὶ πρὸς μυστικὸν γάμον ἠγάγετο πιστεύ-
σασαν εἰς αὐτὸν, διὰ τοῦ βαπτίσματος συναρ-
μόσας, οὗ παρὰ τὸν Ἰορδάνην ἀπήρξατο, τοῦ
ἡμετέρου γένους ὢν ἀπαρχὴ, καὶ ὑπὲρ ἡμῶν βα-
πτιζόμενος, καὶ ἐκεῖ πηξάμενος πρῶτον τὴν πα-

v. στάδα τὴν νοητὴν, δι' ἧς αὐτῷ συναπτόμεθα· καὶ νύμφη καὶ ἐκκλησία λοιπὸν αὐτοῦ χρηματίζομεν.

Cap. VI. v. 20. p. 95. b. Τάχα δὲ οὐ τὸν ἐνδεᾶ χρημάτων πάντως ὁρίζεσθαι πτωχὸν εἶναι, τὸ γράμμα τὸ ἱερὸν· οὐδὲ τοὐναντίον πλούσιον, τὸν περιουσίᾳ τοιοῦτον ὑπάρχοντα· μακαρίζει δὲ τὸν κατὰ διάνοιαν τὴν ἐπαινετὴν πτωχείαν πτωχεύοντα, τὸν μέτριον τὸ ἦθος, τὸν ἐπὶ τοῖς δοθεῖσι χάριν εἰδότα θεῷ· τῶν δὲ μὴ δοθέντων ὀρεγόμενον, ὡς εἴ γέ τις κεκτημένος οὐδὲν· ἐρᾷ τε χρημάτων καὶ ἄγχεται τῇ ἐπιθυμίᾳ τοῦ πλούτου, καὶ ἔστιν ἥττων· καὶ ὤνιος ἑνὸς ὀβολοῦ, μετὰ τροφὴν καὶ σκεπάσματα· τούτοις γὰρ τὸ αὔταρκες ὁ ἀποστολικὸς περιέγραψε νόμος· ὁ τοιοῦτος οὐ μακαριζόμενος πτωχὸς, ἀλλὰ θρηνούμενος πλούσιος· τῇ γὰρ ὀρέξει τοῦ πλείονος, ἐν τῇ ψυχῇ τὸν κακὸν πλοῦτον πλουτεῖ· διὰ τοῦτο τὸ παρὰ τῷ Λουκᾷ γενικῶς κείμενον, μακάριοι οἱ πτωχοὶ, τῷ προσδιορισμῷ σαφηνιζόμενον ὁ Ματθαῖος ἐκδίδωσι· γράψας, μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι· οὕτως καὶ ὁ χρήμασι κομῶν, καὶ τῇ κλήσει τούτων ἀνθῶν, καὶ ἀκούων Παύλου Τιμοθέῳ γράφοντος· τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν, μὴ δὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ' ἐπὶ τῷ θεῷ τῷ ζῶντι, τῷ παρέχοντι ἡμῖν πάντα πλουσίως

εἰς ἀπόλαυσιν, ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔρ- VI.
γοις καλοῖς, καὶ τὰ ἑξῆς· καὶ ταῦτα ἐπιτη-
δεύων ἔργοις αὐτοῖς, οὗτος οὐχ ἑαυτῷ κεκτη-
μένος ἅπερ ἔχει μᾶλλον ἢ τοῖς ἐνδεέσιν, οὐ
πλούσιός ἐστι δακρυόμενος, ἀλλὰ πτωχὸς τῷ
πνεύματι καὶ κληρονόμος τῆς βασιλείας τῶν οὐ-
ρανῶν· οὐ τὸ πλουτεῖν γοῦν ἀπηγόρευται, ἀλλὰ
τὸ δουλεύειν τῇ ἐπιθυμίᾳ τοῦ πλούτου, καὶ
ἄγεσθαι πρὸς αὐτὸν, ὡς ἀνδράποδον ἀγεννές.

Ἐπεὶ δὲ οἱ τέσσαρες εὐαγγελισταὶ μύρῳ ὑπὸ Cap. VII.
γυναικὸς ἠλεῖφθαι τὸν κύριον ἔγραψαν, ζητη- v. 37.
τέον, μία τίς ἦν ἢ δύο· ἐνατενίζων τοίνυν ἐγὼ p. 120. b
τῷ ἀκριβεῖ τῶν εὐαγγελικῶν γραμμάτων, τρεῖς
εἶναι τὰς γυναῖκας λογίζομαι, ἐκ τῆς τῶν προσ-
ώπων ποιότητος, ἐξ αὐτοῦ τοῦ τρόπου τῆς πρά-
ξεως, ἐκ τῆς διαφορᾶς τῶν καιρῶν· ὁ μὲν γὰρ
Ἰωάννης περὶ Μαρίας τῆς τοῦ Λαζάρου ἀδελ-
φῆς ἱστορεῖ, ὅτι πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα
κατὰ τὴν οἰκίαν αὐτῆς, ἤλειψε τοὺς πόδας τοῦ
Ἰησοῦ· ὁ δέ γε Ματθαῖος, μετὰ τὸ εἰπεῖν τὸν
κύριον· οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα
γίνεται, ἐπάγει· ὅτι ἐν Βηθανίᾳ ἐν οἰκίᾳ Σί-
μωνος τοῦ λεπροῦ, γυνὴ τῆς κεφαλῆς τοῦ κυ-
ρίου μύρον κατέχεεν· οὐ τοὺς πόδας ἤλειψεν ὡς
ἡ Μαρία· καὶ Μάρκος δὲ συμφώνως ἅπαντα τῷ
Ματθαίῳ γεγενῆσθαι φησί· Λουκᾶς γε μὴν οὐ
περὶ τὸν καιρὸν τοῦ πάθους, ἀλλὰ περὶ τὰ μέ-

VII. σα που τοῦ εὐαγγελίου· ἢ καὶ ἔτι πρὸ τούτου τινὰ τῶν φαρισαίων εἰς ἑσπίασιν κεκληκέναι λέγει τὸν κύριον, ὃς καὶ τῆς δολερᾶς ὑποκρίσεως καὶ ἀπιστίας οὐκ ἀπήλλακτο· ἡμεῖς μὲν οὖν τρία εἶναι τὰ γύναια νομίζομεν· ὁ δὲ χρυσοῦς τὴν γλῶτταν πατὴρ δύο ταύτας τὰς γυναῖκας εἶναι φησὶ, μίαν μὲν τὴν παρὰ τῷ Ἰωάννῃ· ἑτέραν δὲ τὴν παρὰ τοῖς τρισὶν, ᾧ καὶ μᾶλλον πειστέον· ὁ μέν τοι φαρισαῖος οὗτος, τύπον ἐπέχει τῆς τῶν ἰουδαίων συναγωγῆς· παρ' ᾗ πρῶτον ὁ τοῦ θεοῦ λόγος κατέλυσεν· ὡς ἐν οἰκίᾳ μιᾷ τῇ Παλαιστίνῃ γινωσκόμενος μόνον, καὶ ἐπιφαινόμενος τῇ τοῦ μαρτυρίου σκηνῇ· ἐπεισῆλθε δὲ ἡ ἁμαρτωλὸς γυνὴ τῇ οἰκίᾳ, τοὐτέστιν ἡ ἐκ τῶν ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐθνῶν συναθροισθεῖσα ἐκκλησία, καὶ εἰς Χριστὸν αὐθαιρέτως πιστεύσασα τὸν τοῖς ἀχαρίστοις συνανακείμενον καὶ ἀγνώμοσι· καλῶς δὲ ἄγαν εἶπεν, ἰδοὺ γυνὴ ἁμαρτωλὸς· οὐ μονοειδὴς, ἀλλὰ παντοδαπὴ τὴν ἁμαρτίαν καὶ τὴν πορνείαν· πᾶσαν γὰρ ἁμαρτίαν γενικῶς πορνείαν σύνηθες ὀνομάζειν τῇ θείᾳ γραφῇ, καὶ μάλιστα τὴν μετάθεσιν τοῦ θείου σεβάσματος, ὅταν ἀψύχοις ζοάνοις ἀντὶ τοῦ μόνου θεοῦ προσενεχθείη· ἀλάβαστρον δὲ μύρου προσεκόμισε, τοὐτέστι πίστιν διαφανῆ καὶ εἰλικρινῆ καρδίαν· καθάπερ ἀγγείῳ τῷ ἐξ ὑέλου τὸ ἐκ πασῶν τῶν ἐναρέτων ἔργων εὐῶδες καὶ

συμμιγὲς περιέχουσαν· τοῦτο γὰρ τὸ μύρον τὸ VII.
νοητὸν· καὶ στᾶσα ὄπισθεν, τουτέστι μετὰ τὴν
συναγωγὴν ἐν δευτέρᾳ τάξει προσειλημμένη,
φιλεῖ οὐκ ἀργῶς· ἀλλὰ τῷ μύρῳ τοὺς πόδας
ἀλείφουσα, καὶ κατακολουθοῦσα τοῖς ἴχνεσιν
αὐτοῦ, διὰ τῆς ἐργασίας τῶν ἀρετῶν· ὅθεν καὶ
παρεξετάζων αὐτὴν τῇ συναγωγῇ, πρὸς τὸν Φα-
ρισαῖον ἔλεγεν ὡς ἐν τύπῳ Χριστὸς· φίλημά μοι
οὐκ ἔδωκας· εἰ γὰρ καί τι διεπράξατο τῶν δια-
τεταγμένων ἡ συναγωγή πότε, φίλτρῳ μὲν οὐ-
δαμῶς, φόβῳ δὲ μᾶλλον, δουλικῶς καὶ ὡς ἀν-
δραπώδης ἐποίησεν.

Καὶ διενοήθη πιστῶς ἡ αἱμόῤῥους γυνὴ ἅ- Cap. VIII. v. 44.
ψασθαι τοῦ κρασπέδου τοῦ ἱματίου Χριστοῦ, p. 130. b.
καὶ σωθήσεσθαι, καὶ τὸν καρδιογνώστην οὐκ
ἔλαθεν Ἰησοῦν· διὸ καὶ ὑπὸ τοῦ πλήθους συν-
ωθούμενος, ἔλεγεν· ἥψατό μου τίς· ἡ γὰρ τῆς
πίστεως ἐφαφὴ, δύναμιν ἰάσεως εἵλκυσε, καὶ
τὴν πολυχρόνιον πηγὴν τοῦ αἵματος ἀνεξήρανεν.

Πλὴν ὁ κύριος ἐπυνθάνετο· τίς μου ἥψατο;
οὐχ' ὡς ἀγνοῶν τὴν ἁψαμένην, ἀλλὰ διὰ τῆς
ἐρωτήσεως, τὴν αὐτῷ μόνῳ γνωσθεῖσαν ἀφὴν δη-
μοσιεῦσαι βουλόμενος· ἀμέλει, καὶ διαπορου-
μένων τῶν μαθητῶν, πολλοὶ γὰρ ἦσαν οἱ συν-
ωθοῦντες, κυρίως εἰπεῖν ἅπερ ἁπτόμενοι, ἐβόα·
ἥψατό μου τίς, ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξελ-
θοῦσαν ἀπ' ἐμοῦ· δύναμιν ἐξελθοῦσαν λέγων,

VIII. τὴν τῆς θεραπείας ἐνέργειαν· ἣν εἴλκυσεν ἐκείνη τῇ πίστει, καὶ ὥσπερ ἐκ φρέατος ἰάσεις ῥέοντος, ἀνιμήσατο.

v. 53. p. 131. b. Κἀνταῦθα τοίνυν ὁ τῇ ἀναστάσει τὸν θάνατον εἰς ὕπνον μεταβαλὼν, ἔλεγεν· οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει· οἱ δὲ πενθοῦντες τὴν ἐκ πολλοῦ κειμένην νεκρὰν, κατεγέλων αὐτοῦ· εἶτα εἰπὼν· ἡ παῖς ἐγείρου, διέῤῥηξεν ὡς θεὸς τὸν τοῦ θανάτου δεσμὸν· καὶ κόρην ἄωρον ἁρπαζεῖσαν ὑπὸ θανάτου καὶ πενθουμένην ἐπὶ τῶν οἰκείων ἀνθαρπάσας, τοῖς φύσασιν ἐπιδέδωκεν· ἐπέστρεψε φησὶ πνεῦμα αὐτῆς· τί γὰρ οὐκ ἔμελλε καλοῦντος θεοῦ; καὶ διαναστᾶσαν τὴν κόρην, οἷά τις ἰατρὸς ἀῤῥωστοῦσαν ἐγείρας, ἐκέλευε τρέφεσθαι, καὶ τὸ θαῦμα ἐπισκιάσαι διὰ τούτου βουλόμενος, καὶ μετριοφρονεῖν παιδεύων ἡμᾶς· τεκμήριον δὲ τοῦ ζῆν ἀληθινῶς· ἀλλὰ μὴ φαντασίᾳ δοκεῖν ζῆν, τὸ καὶ τροφῇ χρῆσθαι· καθάπερ πάντες οἱ ζῶντες· καὶ ἐξέστησαν φησὶν οἱ γονεῖς αὐτῆς, ὁ δὲ παρήγγειλε νῦν μηδενὶ εἰπεῖν τὸ γεγονὸς· τοῦτο σφραγὶς τῆς ἀφιλοδόξου καὶ ταπεινόφρονος ἀρετῆς, ἐξεστηκότας τῷ θαύματι, καὶ μονονουχὶ βοῶντας τοὺς γονέας, ἐπέχει τοῦ διακηρύττειν τὸ πρᾶγμα· δείξας ὅτι δοτήρ ἐστιν ἀγαθῶν, καὶ οὐ δόξης ἐραστὴς· καὶ τὸ ὅλον δίδωσι· λαμβάνει δὲ οὐδὲν· ὥσπερ οὐδὲ θεμιτὸν παρὰ ἀνθρώπων δίδοσθαί τι θεῷ·

πάντα δὲ ἀνθρώποις ὑπάρχειν παρὰ θεοῦ· ὁ μὲν VIII.
γὰρ δόξαν τῶν ἔργων ὠναύμενος, τὸ μὲν ἔδωκε, τὸ δὲ ἐκομίσατο· θεῷ δὲ οὐδὲν οὔτε προσδίδοται, οὔτε ἀντιδίδοται.

Αὐτὸς γὰρ ἦν ὁ καὶ ἐν ἀρχῇ ποιήσας τὸν Cap. IX. v. 13.
οὐρανὸν καὶ τὴν γῆν· καὶ εἰπὼν· βλαστησάτω ἡ p. 134. b.
γῆ· καὶ τῷ ῥήματι, δύναμιν ἐνθεὶς τῷ σπέρματι πολυπλασιασμοῦ, πρὸς τὸ καὶ ἕνα κόκκον σίτου ἑκατοστὴν ἔχειν πολλάκις, καὶ τὰ ἄλλα ὁμοίως πληθύνεσθαι· τοῦτο γὰρ καὶ τῷ Ἰσαὰκ διὰ τῆς εὐλογίας αὐτοῦ ἐποιδόσθαι, μαρτυρεῖ τὸ γράμμα τὸ ἱερὸν, ἱστοροῦν οὕτως· ἔσπειρε δὲ Ἰσαὰκ ἐν τῇ γῇ ἐκείνῃ· καὶ εὗρεν ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ, ἑκατοστεύοντα κριθήν· εὐλόγησε δὲ αὐτὸν ὁ κύριος· ἀπεριέργαστοι παντελῶς τῆς θαυματουργίας οἱ τρόποι· πίστει δὴ οὖν τιμάσθω τὰ ὑπὲρ νοῦν, καὶ ἀκουέτω θεὸς παρὰ πάντων τῶν τεθαυμακότων· οἶδα ὅτι πάντα δύνασαι, ἀδυναλεῖ δέ σοι οὐδέν· ὁ οὖν τὰ σπέρματα πληθύνας δημιουργικῶς ἅμα καὶ θεϊκῶς, καὶ οὐχ' ὡς ἐφίκοιτο νοῦς ἀνθρώπων οὐδενὸς, οὕτως καὶ θεοπρεπέστερον, καὶ πολλῷ τῷ μέσῳ παραδοξότερον· καὶ τοῖς πέντε ἄρτοις ἐνῆκε τὴν τοῦ πληθύνεσθαι εὐλογίαν καὶ δύναμιν.

Εἰ δὲ χρή τι καὶ ἀναγωγικῶς εἰπεῖν, πρῶ- p. 135. a.
ταν μὲν ἐπὶ τῇ χλοερᾷ τῶν εἰσαγωγικῶν καὶ ἁπλουστέρων νοημάτων πόᾳ, ἀνακλίνει τοὺς

IX. ἑστιωμένους ὁ κύριος· ἔπειτα δὲ τοὺς πέντε ἄρτους αὐτοῖς διαθρύπτει, τοὺς στερεωτέρους τῶν θείων μαθημάτων λόγους, τοὺς καθαρτικοὺς τῶν πέντε αἰσθήσεων· πρὸς ἕξιν δὲ ἤδη τελείαν ἐλκλακόσιν· ὡς γεγυμνασμένα ἔχειν τὰ αἰσθητήρια, δίδωσι τὴν τῶν ἑπτὰ ἄρτων ἑστίασιν, ἥ τις ἐστὶν ἡ τελειοτάτη διδασκαλία, ἐν αὐτῇ φέρουσα πνεῦμα σοφίας καὶ δυνάμεως καὶ συνέσεως, πνεῦμα βουλῆς, πνεῦμα γνώσεως καὶ εὐσεβείας, πνεῦμα φόβου θεοῦ, καθὼς ὁ Ἡσαΐας ἀπεριθμήσατο· τελειότητος γὰρ σύμβολον ὁ ἑπτὰ ἀριθμός· διὸ καὶ ὁ Ἰησοῦς ὑπὲρ τοὺς πέντε ἄρτους, τὴν τῶν ἑπτὰ παρέθηκε τράπεζαν· προστίθησι δὲ καὶ τὸ τῶν ἰχθύων ὄψον, ὅπερ ἐστὶ θαλάσσης καρπός· τοῦτο ὡς ἐμοὶ δοκεῖ δηλοῦντος τοῦ λόγου, ὡς ὁ τοῖς τοῦ εὐαγγελίου τραφεὶς ἄρτοις, καὶ τὴν διδασκαλίαν παραδεξάμενος, θαλάσσῃ προσομιλήσει, τουτέστι συγκακοπαθήσει τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ, καθὰ καὶ Παῦλος φησὶ, καὶ τοὺς ἐντεῦθεν ὑπομενεῖ πειρασμοὺς, τοὺς ἁλμυροὺς ὑπάρχοντας καὶ πικροὺς, ὧν ὁ καρπὸς, καθὰ τοὺς ἰχθύας γλυκύς· ὃς καθάπερ ὄψον συνεθιόμενος, ἡδυτέραν τῶν ἄρτων ποιεῖ τὴν γεῦσιν τὲ καὶ ἀνάδοσιν, καθὰ καὶ Παύλῳ δοκεῖ λέγοντι· πᾶσα παιδεία πρὸς τὸ παρὸν, οὐ δοκεῖ χαρᾶς εἶναι ἀλλὰ λύπης, ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτοῦ γε-

γυμνασμένοις ἐπιδίδωσιν· ὅτι δὲ ἡ θάλασσα δη- IX.
λοῖ τὴν τῶν πειρασμῶν ἐπανάστασιν, σαφῶς ὁ
ψάλλων βοᾷ· ἦλθον εἰς τὸ βάθος τῆς θαλάσ-
σης, καὶ καταιγὶς κατεπόντισέ με.

Καλῶς μέν τοι τῇ προσηγορίᾳ τοῦ γένους Cap. X. v. 30.
ἐχρήσατο, καὶ οὐκ εἶπε κατέβαινέ τις, ἀλλὰ p. 144. b.
ἄνθρωπός τις· περὶ γὰρ πάσης ὁ λόγος τῆς ἀν-
θρωπότητος, ἥ τις διὰ τῆς τοῦ Ἀδὰμ παραβά-
σεως, ἀπὸ τῆς ὑψηλῆς καὶ μεγαλοπρεποῦς καὶ ἀσπα-
σιάστου καὶ ἀπαθοῦς καὶ θείας τοῦ παραδεί-
σου διαβιβᾶς, Ἱερουσαλὴμ εὐκαίρως ὀνομασθεί-
σης, ὅπερ εἰρήνην σημαίνει θεοῦ, πρὸς τὴν Ἰε-
ριχὼ τὴν κοίλην καὶ χθαμαλὴν, καὶ τῷ καύμα-
τι πνιγηρὰν, κατωλίσθησε· δηλοῖ δὲ τὴν ἐμπα-
θῆ τοῦδε τοῦ κόσμου ζωὴν, χωρίζουσαν θεοῦ,
καὶ κάτω κατάγουσαν, καὶ τῇ φλογὶ τῶν αἰ-
σχίστων ἡδονῶν, πνῖγος ἐμποιοῦσαν, καὶ ἀπο-
κναίουσαν· πρὸς ἣν ἅπαξ παραβραπείσῃ καὶ καθ-
ελκομένῃ, καὶ πρὸς τὸ κάταντες καὶ πρανὲς φε-
ρομένῃ καθάπερ ἔφην τῇ ἀνθρωπότητι, λῃστῶν
οἷα δὴ σύστημα, τὸ τῶν ἀγρίων δαιμόνων στί-
φος ἐπέθετο, καὶ τῶν τῆς ἀρετῆς ἱματίων ἐξέ-
δυσεν· οὐκ ἀνδρείας, οὐ σωφροσύνης, οὐ δικαιο-
σύνης, οὐ φρονήσεως ἴχνος· οὐδέ τι τῶν χαρα-
κτηριζόντων τὴν θείαν εἰκόνα καταλιπόντες αὐτῇ·
καὶ οὕτω ταῖς συνεχέσι τῶν ποικίλων ἁμαρτη-
μάτων πληγαῖς, κατέσφαξαν καὶ ἀνεῖλον, θέν-

x. τες ἡμιθανῆ· ϖλὴν τοῖς δαίμοσι, τοῖς νοητοῖς λῃσταῖς, οὐκ ἔστιν εὐχέρεια τοῦ ϖλήττειν, εἰ μὴ ϖρολαβόντες ὑϖοσυλήσουσι τὰ τῶν ἀρετῶν περιβόλαια· καὶ μετὰ τοῦτο, πλήττουσιν ἀφειδῶς, καὶ μέχρι θανάτου· οὐ γὰρ ἱματίων ἐρῶσιν, ἀλλὰ τῆς ἡμετέρας ἀπωλείας τὲ καὶ σφαγῆς· διὰ τοῦτο σαφῶς εἶπεν ὁ κύριος, ὅτι ἐξέδυσαν, εἶτα ἔϖληξαν· κειμένην τοίνυν καὶ ψυχορῥαγοῦσαν τὴν ἀνθρωπότητα, νόμος ἐπεῖδεν ὁ διὰ Μωϋσέως δοθεὶς· τοῦτον γὰρ ὅ τε ἱερεὺς καὶ ὁ λευΐτης ὑποσημαίνουσι· τῆς γὰρ λευϊτικῆς ἱερωσύνης, ὁ νόμος εἰσηγητὴς· ἀλλ' ἐπεῖδε μὲν, ἠτόνησε δὲ, καὶ πρὸς τελείαν θεραπείαν οὐκ ἤρκησεν, οὔτε κειμένην ἀνέστησε· καὶ ἀτονήσας, ἀναγκαίως ὑϖεχώρησεν ἀϖράκτῳ ϖοδὶ· θυσίαι γὰρ καὶ προσφοραὶ δι' αὐτοῦ ϖροσεφέροντο, καθὰ Παῦλος φησὶν, οὐ δυνάμεναι κατὰ συνείδησιν τελειῶσαι τοὺς λατρεύοντας· ἐπεὶ καὶ ἀδύνατον ἦν εἰς τὸ πανΤελὲς, αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας· τούτου χάριν οὐκ εἶπεν ὁ κύριος, ὡς ὁ ἱερεὺς καὶ ὁ λευΐτης ἰδὼν τὸν ἡμιθνῆτα καὶ κείμενον, ϖαρῆλθεν, ἀλλ' ἀντιϖαρῆλθεν· οὐ ϖαρώδευσε φησὶ καταλείψας ἀθέατον, ἀλλ' ἔστη καὶ ἐθεάσατο, καὶ θεραπεῦσαι διενοήθη καὶ ἐφήψατο· πρὸς δὲ τὴν θεραπείαν ἀδυνατήσας, καὶ τῇ τῶν πληγῶν ἤ τοι ϖαθῶν ἐϖικρατείᾳ νικηθεὶς, εἰς τοὐϖίσω ϖάλιν

ἀπέδραμε· τοῦτο γὰρ τὸ ἀντιπαρῆλθε, δηλοῖ· x.
σαμαρείτην δὲ ἑαυτὸν ἐπὶ τοῦ παρόντος, ἐπίτη-
δες ἐκάλεσεν ὁ Χριστὸς· ἐπειδὴ γὰρ πρὸς τὸν
νομικὸν ἦν ὁ λόγος αὐτῷ, τὸν ἐπὶ τῷ νόμῳ μέ-
γα κομπάζοντα, παραστῆσαι διὰ τῶν λεγομέ-
νων ἐσπούδασεν, ὡς οὐχ' ὁ ἱερεὺς, οὐχ' ὁ λε-
υίτης, οὐχ' ἁπλῶς εἰπεῖν οἱ κατὰ τὰς ἐντολὰς
Μωϋσέως οἰόμενοι πολιτεύεσθαι, ἀλλ' αὐτὸς
τὸ βούλημα τοῦ νόμου πληρώσων ἦλθεν· ἔργοις
τε αὐτοῖς ἐπιδείξων, τίς τὲ ὁ πλησίον, καὶ τί
τὸ ἀγαπῆσαι τοῦτον ὡς ἑαυτὸν, ὃν ὑβρίζοντες
ἔλεγον οἱ ἰουδαῖοι· σαμαρείτης εἶ σὺ καὶ δαι-
μονίον ἔχεις· ὃν ὡς καταλύοντα τὸν νόμον, ἠ-
τιῶντο συχνότερον· ὁ σαμαρείτης τοίνυν ὁδεύων
ὃς ἦν ὁ Χριστὸς, εἶδε τὸν κείμενον· καὶ γὰρ
ὥδευσεν ἀληθῶς, οὐ παρώδευσεν· αὐτὸ τοῦτο
πρόφασιν ὁδοῦ ποιησάμενος, τὸ ἡμᾶς ἐπισκέψα-
σθαι· δι' οὓς καὶ κατῆλθεν ἐπὶ τῆς γῆς, παρ'
οἷς καὶ κατέλυσεν· οὐ γὰρ ὤφθη μόνον, ἀλλὰ
καὶ συνανεστράφη τοῖς ἀνθρώποις, κατὰ ἀλή-
θειαν· καὶ χωρὶς τροπῆς καὶ φαντασίας γενό-
μενος ἄνθρωπος· τοῦτο γὰρ ἰατρῶν καὶ γνη-
σίων καὶ φιλοστόργων, τὸ συνανέστρεφεσθαι τοῖς
ἀῤῥωστοῦσι, καὶ μὴ ἀφίστασθαι πρὶν ἂν ὑγιαί-
νωσιν· ὅθεν καὶ οἶνον τοῖς ἕλκεσιν ἐπαντλῶν,
τὸν διδασκαλικὸν λόγον καὶ ἐπιστύφοντα· καὶ
γὰρ ἐπότισεν ἡμᾶς οἶνον κατανύξεως, ὡς ὁ ψάλ-

x. λων προφήτης φησὶν, ἐπείπερ οὐχ' οἷοί τε ἦμεν ἄκρατον αὐτὸν ἐνεγκεῖν· οὐ γὰρ ὑπομένει τὴν ὑπερβάλλουσαν σφύψιν τὸ τῶν τραυμάτων χαλεπὸν καὶ ἀνίατον, ἐλαίῳ τοῦτον ἐκέρασε· διὰ τοῦτο καὶ ἁμαρτωλοῖς καὶ τελώναις συνανεκλίνετο.

Cap. XI. v. 5. p. 153. a. Ὁ τοίνυν τῆς οἰκίας κύριος, ὁ θεός ἐστι καὶ σωτὴρ Ἰησοῦς ὁ Χριστὸς· ὁ πάντας φιλῶν καὶ τοὺς μήπω πεπιστευκότας αὐτῷ, καὶ διψῶν τὴν σωτηρίαν αὐτῶν· ὁ δὲ τοὺς τρεῖς ἄρτους κατὰ τὸ μέσον τῆς νυκτὸς αἰτῶν, ὁ βραδέως ἐπὶ τὴν πίστιν ἐρχόμενος· τρεῖς γὰρ ἄρτους, τὴν εἰς τὴν τριάδα πίστιν εἶναι λογίζομαι· ὁ δὲ φίλος ὁ παραγενόμενος ἐξ ὁδοῦ, καὶ ἐπιξενωθεὶς αὐτῷ, νοηθείη ἂν εἰκότως ὁ ἄγγελος παραγενόμενος πρὸς τὴν ἐσχάτην τοῦ βίου παραλαβεῖν ἡμᾶς καὶ ἀπαγαγεῖν τὴν τελευταίαν ὁδὸν· φιλοῦσι γὰρ ἡμᾶς καὶ αὐτοὶ· τὴν ἡμετέραν σωτηρίαν, εὐφροσύνην ποιούμενοι κατὰ τὴν τοῦ κυρίου μαρτυρίαν τὴν λέγουσαν, ὅτι χαρὰ γίνεται ἐνώπιον τῶν ἀγγέλων τοῦ θεοῦ ἐπὶ ἁμαρτωλῷ μετανοοῦντι· φησὶν οὖν ὁ πάντας θέλων σωθῆναι, ὅτι κἄν τινες ἐν ἀμελείᾳ τὸν βίον τρίψαντες, καὶ τῆς πίστεως ἀλογήσαντες, περὶ τὰ ἔσχατα τοῦ βίου, εἰς συναίσθησιν ἔλθωσι τῶν οἰκείων ἁμαρτημάτων, καὶ τῇ πίστει προσδράμωσι, καὶ καθάπερ ἀωρὶ τῶν νυκτῶν τὴν ἐμὴν θύραν κρούσωσιν, ὑπακούσω οὐ διὰ τὸ δίκαιον, ἀλλὰ διὰ τὸ

ἀναιδὲς αὐτῶν· ἀναίδειαν δὲ ἐνταῦθα, τὴν ὑπο- XI.
μονὴν φησὶν καὶ προσεδρείαν· καὶ τοὺς ἄρτους
ὀρέξω τῆς πίστεως, ἥ τίς ἐστιν ἡ ὁμολογία τῆς
ἁγίας τριάδος· τὰ δὲ ἐπὶ τῆς κλίνης παιδία, οἱ
πεπιστευκότες ἐν ἁπλῇ καρδίᾳ τῷ εὐαγγελίῳ,
καὶ ἠξιωμένοι τῷ κυρίῳ συναναπαύεσθαι.

Ταύτης μέν τοι τῆς παραβολῆς τὴν αἰτίαν p. 154. a.
ἔξωθεν ἐπινοεῖν, μωρόν ἐστι καὶ ἀνόητον· αὐ-
τοῦ τοῦ σωτῆρος σαφῶς ἐπαγαγόντος διὰ τῶν
οἰκείων ῥημάτων, καὶ φανερώσαντος ὅτι ταύτην
εἰς μέσον παρήγαγε πρὸς ὑποτύπωσιν τοῦ δεῖν
ἡμᾶς ἀπαύστως, καὶ μὴ δέ ποτε ναρκῶντας ἢ
ἀτονοῦντας, συνεχῶς προσεύχεσθαι καὶ αἰτεῖν·
ἐπήγαγε γὰρ· κἀγὼ ὑμῖν λέγω, αἰτεῖτε κ. τ. λ.

Ἀρχὴ μὲν οὖν ἀρετῆς, τὸ εὔχεσθαί τινι γνω- v. 9.
ρισθῆναι τὴν ὁδὸν τῆς ἀληθείας· δεύτερος δὲ p. 154. b.
βαθμὸς, τὸ ζητεῖν πῶς δεῖ ὁδεῦσαι τὴν ὁδὸν·
τρίτος, τὸ ἁψάμενον τῆς ἀρετῆς, κρούειν τὴν
θύραν ἵνα εἰσέλθῃ εἰς τὴν εὐρύχωρον γνωστι-
κὴν ἐργασίαν· ἅπερ πάντα, διὰ δεήσεως λαμβά-
νει τις· ἴσως δὲ, καὶ τὸ μετὰ πράξεως αἰτεῖν
ἠνίξατο, διὰ τοῦ εἰπεῖν, κρούετε· κρούει γάρ τις
τῇ δεξιᾷ χειρὶ· ἀγαθῆς δὲ πράξεως σύμβολον
ἡ δεξιὰ χείρ· ἢ αἰτεῖν μέν ἐστι, τὸ προσεύχε-
σθαι· ζητεῖν δὲ τὸ καὶ διὰ τῶν ἀγαθῶν ἔργων,
σύμφωνα πράττειν τῇ προσευχῇ, καὶ μὴ μόνον
ζητεῖν, ἀλλὰ καὶ κρούειν τὴν θύραν· τὸ δὲ κρού-

XI. ειν δηλοῖ, τὸ τῇ μακροθυμίᾳ τοῦ θεοῦ συμπαρεκτείνειν ἡμᾶς τὰς δεήσεις, καὶ ἐπιμένειν καὶ μὴ ἀπονάρκᾶν.

v. 51. p. 164. b. Καὶ ἀκόλουθον τοῦτο νοεῖν, περὶ Ζαχαρίου τοῦ τὸν θεσπέσιον Ἰωάννην γεγεννηκότος· ὃν ἐξ ἀγράφου παραδόσεως ἱστόρηται τοὺς Ἰουδαίους ἀνελεῖν, μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου, διὰ τὸ προφητεύειν αὐτὸν ἐναργῶς, μᾶλλον δὲ ὑποδεικνύναι τὴν Θεοτόκον παρθένον, καὶ τὸν ἐξ αὐτῆς τεχθέντα μέγαν Θεὸν, οἷα δή τινα βασιλέα καὶ ἄρχοντα καὶ κύριον ἐπὶ τὸ ἔθνος αὐτῶν· καὶ αὐτὴν τὴν ἁγίαν παρθένον, μετὰ τὴν ἀπερινόητον σύλληψιν τὴν ἐκ πνεύματος ἁγίου, τοῦ τόπου τῶν παρθένων τοῦ ἐν τῷ ἱερῷ, τοῦ μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου, μὴ ἀποστῆσαι, καθὰ δὴ ἀνδρὶ συνημμένην, ἀλλ' ἔτι παρθένον γινώσκειν αὐτὴν, καὶ συγχωρεῖν κατὰ τὸν αὐτὸν καὶ συνήθη τόπον ἑστάναι· διὰ γοῦν ταῦτα, φασὶν εἰς ὀργὴν τοὺς ἀκούοντας ἐμπεσεῖν, καὶ ἐπ' αὐτὸν ὁπλίσαι τὰς χεῖρας· δεδιότας τὸν ἐκ τῆς αὐτοῦ προφητείας προσδοκώμενον βασιλέα, μέλλοντα καταδυνασεύειν αὐτῶν, καὶ τὸν δουλικὸν αὐτοῖς ἐπιθεῖναι ζυγόν.

Cap. XII. v. 10. p. 169. b. Ἵνα δὲ περιελόντες τὸ μῆκος τοῦ λόγου, διὰ βραχέων τὸ πᾶν εἴπωμεν, ὁ τῶν Ἰουδαίων παράνομος δῆμος κατὰ τὸ εἰρημένον ἐν ταῖς πράξεσι, Στεφάνῳ τῷ πρωτομάρτυρι τῷ πνεύματι

τῷ ἁγίῳ διηνεκῶς ἀντιπίπτοντες· καὶ τὴν ἐναν- XII.
τίαν ἀεὶ τοῖς τοῦ θεοῦ νόμοις φερόμενοι, πρὸς
τὸ εὐτελές τε καὶ τὸ δι' ἡμᾶς ταπεινὸν τῆς τοῦ
θεοῦ λόγου καὶ σωτῆρος ἐνανθρωπήσεως τυφλώτ-
τοντες· καὶ ὡς ἐν σκότῳ περιπατοῦντες, προσ-
έπταιον, καὶ γέγονεν αὐτοῖς ὁ λίθος ὁ ἀκρο-
γωνιαῖος καὶ ἐκλεκτὸς καὶ ἔντιμος, πέτρα σκαν-
δάλου, καὶ λίθος προσκόμματος, καὶ οὐδαμῶς
ἐνενόουν αὐτοῦ τὴν προαιώνιον ὕπαρξιν, καὶ τὴν
ἐκ πατρὸς ἀσώματον γέννησιν, καὶ τὸ πρὸς τὸν
γεγεννηκότα ἴσον, καὶ κατὰ πᾶν ὁτιοῦν ἀπαράλ-
λακτον· ἀλλ' εἰς γῆν συρομένην ἔχοντες τὴν διά-
νοιαν, ἔλεγον· οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος
υἱὸς; οὐχ ἡ μήτηρ αὐτοῦ λέγεται Μαριάμ; καὶ
πάλιν, περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλ-
λὰ περὶ βλασφημίας· καὶ ὅτι ἄνθρωπος ὢν σὺ,
ποιεῖς σεαυτὸν θεόν· ταῦτα οὖν ὅσα ὡς εἰς υἱὸν
ἀνθρώπου βλασφημοῦντες ἔλεγον, τῇ κατὰ σάρ-
κα οἰκονομίᾳ καθάπερ εἶπον προσπταίοντες, φη-
σὶν ὁ σωτὴρ ἀφαιθήσεσθαι αὐτοῖς· ἔχουσιν εἰς
ἀπολογίαν τῆς ἀγνοίας τοῦ μυστηρίου, τὸ κα-
τὰ ἄνθρωπον τοῦ Ἐμμανουὴλ χθαμαλὸν καὶ
ὑποβεβηκὸς· ὅσα μέν τοι γε κατὰ τῶν θεοσημ-
μειῶν καὶ τῶν τεραστίων δυνάμεων, ἃς ἐτέλει
καὶ ἐνήργει, τῷ ἐνυπάρχοντι αὐτῷ καὶ ὁμοου-
σίῳ πνεύματι δυσφημοῦντες ἐπαροίνουν, λέγοντες
αὐτὸν ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκ-

XII. βάλλειν τὰ δαιμόνια, ταῦτα ὡς εἰς τὴν τοῦ ἁγίου πνεύματος βλασφημίαν ὁρῶντα, καὶ ἐξ αὐτῶν τῶν ἔργων ἔχοντα τὸ θεοπρεπὲς, καὶ μηδένα τόπον ἀπολογίας αὐτοῖς καταλιμπάνοντα, φησὶν ὁ Χριστὸς μὴ ἀφαιθήσεσθαι μήτε ἐν τῷ νῦν αἰῶνι μήτε ἐν τῷ μέλλοντι· ταῦτα δὲ μέχρι τοῦ καιροῦ τοῦ σταυροῦ νοητέον, ἐπειπερ ἕως ἐκείνου τοῦ χρόνου, συνεσκίασεν ὁ σωτὴρ διὰ τῶν οἰκονομικῶν ῥημάτων καὶ πραγμάτων, τὸ ὑπερέχον τῆς οἰκείας θεότητος· μετὰ γὰρ τὸν σταυρὸν καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν, μηκέτι κατὰ σάρκα γινωσκόμενος, τουτέστι μηκέτι διὰ τῶν ταπεινῶν καὶ ἀνθρωπίνων ἐρχόμενος πραγμάτων ἢ λόγων, τῆς οἰκονομίας ἄπαξ πέρας λαβούσης, καθὰ φησὶν ὁ ἀπόστολος, εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν· καὶ ὁ εἰς αὐτὸν βλασφημῶν, ὥσπερ εἰς τὸ πνεῦμα παροινῶν, ὡς ἀσύγγωστα ἁμαρτάνων, ἄφεσιν οὐδὲ μίαν ἔχει τοῦ ἁμαρτήματος· ταῦτα δὲ φαμὲν, εἴ γέ τις τῇ βλασφημίᾳ μέχρι τοῦ τέλους τῆς οἰκείας ζωῆς ἐναπέμεινε, καὶ οὕτως μετέστη τοῦ βίου· εἰ γὰρ ἔφθασε μεταμεληθῆναι, τῶν τῆς ζωῆς ταύτης ἡμερῶν ἐνδαψιλευομένων αὐτῷ, πρόδηλον ὡς ἡ μετάνοια κρείττων ἐστὶν παντὸς ἁμαρτήματος, ἄφεσιν δηλαδὴ τοῖς μετανοοῦσι παρέχουσα.

v. 38. p. 182. b. Τὸ μὲν οὖν ῥητὸν, ταύτην εἰσκομίζει τὴν δή-

λωσιν, ὡς ὁ κύριος κατὰ τὴν δευτέραν αὐτοῦ XII.
πάρουσίαν ἀθρόως καὶ ἀδοκήτως ἥξει· κατὰ δὲ
ἀναγωγὴν καὶ ἀνηγμένην ἔννοιαν ἐντεῦθεν νοή-
σομεν, τοὺς μὲν τῆς πρώτης φυλακῆς εἶναι, τοὺς
ἐπιμελέστερον βιοῦντας, καὶ παρὰ τοὺς ἄλλους
ἀγρύπνως διακειμένους περὶ τὴν τῶν ἀγαθῶν
ἐργασίαν, καὶ διὰ τοῦτο πρώτης τάξεως ἐπει-
λημμένους· τοὺς δὲ τῆς δευτέρας φυλακῆς, τοὺς
ὑποβεβηκότας μὲν, μέσης δέ τινος πολιτείας μέ-
τρον ἐσχηκότας· τοὺς δὲ τῆς τρίτης, τοὺς καὶ
τούτων καταδεεστέρους· τοσοῦτον δὲ ἐργασαμέ-
νους, ὅσον τὴν τρίτην τάξιν μὴ ὑποβέβηκε· τὸ
δ' αὐτὸ καὶ ἐπὶ τετάρτης λογιστέον, καὶ πέμ-
πτης εἰ τύχοι· διαφόρων γάρ ἐστι πολιτειῶν
μέτρα, καὶ ὁ ἀγαθὸς μισθαποδότης, ἑκάστῳ
τὸ κατ' ἀξίαν ἐπιμετρεῖ· διὰ τοῦτο γὰρ καὶ
ἔφησε πολλὰς εἶναι τὰς ἡτοιμασμένας μονὰς ἐν
τῇ μελλούσῃ ζωῇ, διὰ τὸ τῶν εὖ βεβιωκότων
διάφορον μέτρον.

Μηδεὶς δὲ νομιζέτω τὸ, οὐκ ἐνδέχεσθαι, βίαν Cap. XIII. v. 33.
ἀναγκαστικὴν Ἰουδαίοις ἐπάξειν· ἵνα ἀκούοντες, p. 198. b.
τρόπον τινὰ συνελαθεῖεν τὰς μιαιφόνους χεῖ-
ρας ἐπιβαλεῖν τῷ Χριστῷ· τοῦτο γὰρ εἴρηται,
οὐ μόνον προαγορευτικῶς, ἀλλὰ καὶ κατὰ τὴν
τοῦ εἰκότος διάγνωσιν· ὡς ἂν εἴ τις θεασάμενος
δούλους φονικωτάτους, διαφόρους οἰκονόμους
καὶ ἐπιτρόπους ἀπεκτονότας, φήσειεν ἀληθῶς,

XIII. οὐκ ἐνδέχεται μὴ πάντως τούτους καὶ ἐπὶ τὸν οἰκοδεσπότην τὰς χεῖρας ὁπλίσαι· τοῦτο γὰρ δηλῶν καὶ ὁ κύριος, εὐθέως ἐπήγαγεν.

v. 35. p. 199. b. Ἢ τότε αὐτοῖς φανεῖσθαι φησὶν, ὅτε τὴν παγκόσμιον ἐπιφάνειαν ποιήσεται· τότε μὴν ὄψεσθε, ὅτε ἀνάγκη ἐρεῖτε· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.

Cap. XVIII. v. 11. p. 239. a. Ὁ μὲν φαρισαῖος, ἑστὼς ἐν μέσῳ τοῦ ἱεροῦ, μεγαλοφώνως ἠτεῖτο καὶ προσηύχετο, καὶ ὡς ἄξιος ὢν ἧτει τυχεῖν, τὰς οἰκείας πράξεις ἀπηριθμεῖτο· καὶ ὅσῳ πολλὰ κατέλεγε, τοσούτῳ πλέον τὴν θείαν ἀπέβυεν ἀκοὴν· καὶ ὁ τῶν ῥημάτων ὄγκος, κενὸς περὶ τὰ χείλη καταῤῥεῖ, καὶ εἰς ἀφρὸν διελύετο· ὁ δὲ τελώνης, ἔργα μὲν οὐκ ἀγαθὰ εἶχεν ἀπαριθμεῖσθαι, ἀλλὰ μακρὰν ἑστὼς, καὶ τοῦ νεὼ τὴν ἐσχάτην ὑποδὺς γωνίαν, τὸ στῆθος ἔπαιε, τὴν ψυχὴν ὥσπερ ὑπομιμνήσκων διὰ τούτου, τῶν αὐτῇ πεπλημμεληκότων, καὶ εἰς αἴσθησιν διεγείρων καθεύδουσαν· καὶ μὴ δὲ τῆς ἐν τῇ προσευχῇ στάσεως ἑαυτὸν ἡγούμενος ἄξιον, τοῦτο μόνον ἐτόλμα λέγειν· ὁ Θεὸς ἱλάσθητί μου τῷ ἁμαρτωλῷ· καὶ τὸ μόλις ἐξιὸν τοῦ στόματος ῥῆμα, πτέρυξιν ὑψηλοῖς ἐπῄρετο, καὶ πρὸς οὐρανὸν ἀνεφέρετο, καὶ κρούον τὴν θύραν, εἴσω τῆς θείας ἀκοῆς παρεπέμπετο, καὶ ἐδικαίου τὸν προσευξάμενον· ὁ γὰρ οἰόμενος ἑαυτὸν ἄξιον εἶναι τοῦ εἰς τὰ ἅδυτα παρακύ-

πτειν τοῦ ἱεροῦ, καὶ πλησίον εἶναι Θεοῦ, πόρ- XVIII.
ρω μετὰ τῶν βεβήλων ἀπορριφήσεσθαι· ὁ δὲ καὶ
τῆς θύρας ψαῦσαι φρίττων, καὶ αὐτῶν τῶν ταμίειων τοῦ βασιλέως κατατρυφήσει, κατὰ τὴν
ἐν τῷ ἅσματι τῶν ἀσμάτων νύμφην τὴν λέγουσαν· εἰσήνεγκέ με ὁ βασιλεὺς, εἰς τὸ ταμιεῖον
αὐτοῦ.

Νοηθείη δ' ἂν καὶ περὶ ἐθνῶν καὶ Ἰουδαίων Cap. XIX. v. 26.
τὸ, παντὶ τῷ ἔχοντι δοθήσεται, καὶ τὰ ἑξῆς· p. 259. a.
τοῖς γὰρ κατακούσασι προθύμως τῶν αὐτοῦ
λόγων· τοῖς μαθηταῖς λέγω, καὶ τοῖς ἐξ ἐθνῶν πεπιστευκόσι καὶ κατέχουσι ἐν τῇ διανοίᾳ
τὸν τῆς διδασκαλίας θεμέλιον, καὶ ἐδόθη, καὶ
ἐπερισσεύθη τὰ τῆς θείας ἀπογνώσεως, καὶ τὰ
τῶν τοῦ πνεύματος δωρεῶν· Ἰουδαίων δὲ μὴ κατασχόντων τὸν αὐτοῦ λόγον, καὶ ὃ ἐδόκουν ἔχειν ἀφῃρέθη· τοῦτο δέ ἐστιν, ἡ κατὰ τὸν Μωϋσέως νόμον λατρεία, καὶ τὰ προφητικὰ καὶ θεόπνευστα γράμματα, τὰ προαγορεύοντα τὴν παρουσίαν τοῦ κυρίου, καὶ αὐτὸ τὸ τοῦ Ἰσραὴλ διαβόητον ὄνομα.

Ἐν ταῖς πράξεσι τῶν ἀποστόλων εἰσάγεται Cap. XXII. v. 17.
Πέτρος πρὸς Κορνήλιον εἰπὼν, οἵ τινες συνεφά- p. 280. b.
γομεν καὶ συνεπίομεν αὐτῷ μετὰ τὸ ἀναστῆναι
αὐτὸν ἐκ νεκρῶν· ὥστε καινὴ πόσις τοῦ ποτηρίου
ἐστὶν, ἣν μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν ἔπιε
μετὰ τῶν μαθητῶν αὐτοῦ, τὸν ναὸν τοῦ σώμα-

XXII. τος τοῦ ἀναστάντος πιστούμενος, καὶ τὸ τῆς ψευδοδοξίας ἀνόσιον ἐξοστρακίζων δοξάριον· μάλιστα μὲν οὖν βασιλείαν θεοῦ, τὴν αὐτοῦ καλεῖ ἀνάστασιν· ἔχει δὲ τὸ ῥητὸν, καὶ ἑτέραν ἀπόδοσιν· νοοῦμεν γὰρ καινοῦ ποτηρίου πόσιν, τὴν ἐν τῇ μελλούσῃ καὶ προσδοκωμένῃ βασιλείᾳ τῶν οὐρανῶν τῶν θείων νοημάτων ἐπηγγελμένην ἡμῖν ἀποκάλυψιν· ὅτε λύεται μὲν τὰ ἔσοπτρα καὶ τὰ αἰνίγματα, φανεροῦται δὲ ἡ πρόσωπου πρὸς πρόσωπον θέα, καθὰ φησὶν ὁ θεῖος ἀπόστολος.

v. 19. p. 281. b. Ἕνα ἄρτον ὁ ἐνανθρωπήσας τοῦ θεοῦ λόγος, ἐν τῷ μυστικῷ δείπνῳ τῆς ἱερουργίας τοῦ μεγάλου μυστηρίου πρῶτος αὐτὸς ἀπαρχόμενος, καὶ τοῖς ἀποστόλοις τοῦτο παραδιδοὺς λαβὼν, εὐλόγησε· καὶ δέδωκεν εἰς ὄνομα τοῦ ἰδίου θανάτου καὶ τῆς ἀναστάσεως, εἰπὼν· τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ διδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· ὃ καὶ ἐσθίομεν, καὶ ἀπαθὲς καὶ ἀθάνατον καὶ ἀφθαρσίας πλῆρες, καὶ ἀναπιμπλῶν ἡμᾶς τῆς αὐτοῦ εὐλογίας καὶ ἀθανασίας, ὥσπέρ τι σπέρμα τῆς μελλούσης ἡμῖν ἐγγίνεσθαι θείας χαρίτος, καὶ δυνάμεως τῆς ἀναστάσεως· οὕτω καὶ ὁ ἄρτος, καὶ τὸ ποτήριον τῆς εὐλογίας· τὰ ἐπὶ τῶν ἁγίων θυσιαστηρίων ἱερουργούμενα, τοῦ θανάτου καὶ τῆς ἀναστάσεως καταγγελλομένων τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τελειοῦται· καὶ ἔστιν αὐτὸ τὸ σῶμα καὶ

τὸ αἷμα αὐτοῦ τοῦ παθόντος ἐκουσίως σαρκὶ, καὶ ἀναστάντος ὑπὲρ ἡμῶν, ἄφθαρτον καὶ ἀπαθὲς καὶ ἀθάνατον, καὶ τοῖς μετέχουσιν, ἀφθαρσίας καὶ ἀπαθείας καὶ ἀθανασίας παρεκτικόν· καὶ γὰρ αὐτὸς ὁ κύριος ἐν τῷ μυστικῷ δείπνῳ συνεσθίων τοῖς μαθηταῖς, καὶ τῆς ἱερουργίας ταύτης ἡμῖν ἀπαρχόμενος, τοῦτον τὸν τρόπον τελεῖσθαι τὴν θυσίαν παρέδωκεν, ὃς μέχρι καὶ τήμερον ἐν ταῖς ἁγιωτάταις ἐκκλησίαις πεφύλακται. XXII.

Τίς δέ ἐστιν ἡ ἐπὶ τῆς βασιλικῆς τραπέζης ἑστίασις; βασιλικὰ πάντως νοήματα, τῆς βασιλευούσης τριάδος τὴν μετουσίαν τοῖς ἑστιωμένοις λαμπρὰν ἀναστράπτοντα· καὶ ἧς οὐκ ἔστι κρεῖττον ἢ λαμπρότερον ἐπινοεῖν. v. 30. p. 283. b.

Τάχα δὲ καὶ τὸ, πατὴρ παρένεγκε τὸ ποτήριον, οὐχ' ὡς δεδιὼς τὸν θάνατον ἔφη, ἀλλ' ἵνα διὰ τούτων τῶν ῥημάτων προκαλέσηται τὸν διάβολον, πῆξαι αὐτῷ τὸν σταυρόν. v. 42. p. 292. a.

Καὶ ὥσπερ σαρκὶ τὸν θάνατον ὑπομείνας, ἑκὼν ἐν αὐτῇ τὴν ἀθανασίαν ἐφύτευσεν, οὕτω καὶ τὸ τῆς δειλίας βουλήσει προσηκάμενος πάθος, αὐτῇ τὸ θάρσος καὶ τὴν ἀνδρείαν ἐνέσπειρεν· ἐξ ἧς τοὺς πιστεύσαντας εἰς αὐτὸν, πρὸς τοὺς τοῦ μαρτυρίου μεγάλους ἄθλους ἐνεύρωσε· ταύτῃ τοι καὶ θρόμβοι ἱδρῶτος αὐτοῦ παραδόξως οἷα σταγόνες αἵματος ἀπερρέον, ἵνα v. 44.

XXII. τῆς ἡμετέρας φύσεως ὥσπερ ἀναξηράνῃ καὶ ἐξοικίσῃ τὴν τῆς δειλίας πληγήν· ἐπεὶ, εἰ μὴ τοῦτο ἦν ὡς ἐν μυστηρίῳ πραττόμενον, οὐδὲ εἰ σφόδρα δειλότατός τις καὶ ἀγεννέστατος ὑπῆρχεν, αἵματος ἔμελλε νοτίσιν ἐξ ἀγωνίας μόνης ὥσπερ ἰκμάσιν ἱδρῶτος παρὰ φύσιν ὑγραίνεσθαι· τοιοῦτόν ἐστι κἀκεῖνο τὸ εἰρημένον, ὡς ἄγγελος ἦν παρεστηκὼς τῷ σωτῆρι· καὶ τοῦτο γὰρ τῆς περὶ ἡμᾶς ἕνεκεν οἰκονομίας ἐπράττετο· τῶν γὰρ ὑπὲρ εὐσεβείας ἀγώνων, οὗτος ἡμῖν καθὰ καὶ τῶν ἄλλων ἀπήρξατο· μαρτυρήσας ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν, ὥς φησιν, ὁ ἀπόστολος· καὶ δεικνὺς ἐκ τοῦ καθ' αὐτὸν ὑποδείγματος, ὡς οἱ ἀθλεῖν μέλλοντες τοὺς ἱεροὺς ἄθλους, ἀγγέλους ἐξ οὐρανοῦ ἐπικουροῦντας αὐτοῖς ἔχουσι· εἰ γὰρ αὐτὸς ἦν ἡ παναλκὴς σοφία καὶ δύναμις τοῦ πατρὸς, πῶς ἔχρηζεν ἑνὸς ἀγγέλου τοῦ ἐνισχύοντος, ὁ πάντα συνέχων ὡς δεσπότης; ἀνθρώποις οὖν ἀνθρωπίνως συνανεστρέφετο· ἰδοὺ γάρ, φησιν ὁ Ματθαῖος, ἄγγελοι προσῆλθον καὶ διηκόνουν αὐτῷ, καὶ αὐτὸς δὲ οἰκονομικῶς ἔτι καὶ ὑφειμένως διαλεγόμενος αὐτοῖς, ἔλεγεν· ἢ δοκεῖτε ὅτι οὐ δύναμαι ἄρτι παρακαλέσαι τὸν πατέρα μου, καὶ παραστήσει μοι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων; πῶς οὖν πληρωθῶσιν αἱ γραφαὶ ὅτι οὕτως δεῖ γενέσθαι;

Cap. XXIII. v. 34. p. 301. a. Ἄλλως δὲ τὸ πυνθάνεσθαι, εἴ γε ἐκ τῆς τοῦ

κυρίου φωνῆς, ἣν ἀνεβόησεν ἐπὶ τοῦ σωτηρίου XXIII.
σταυροῦ λέγων, πάτερ ἄφες αὐτοῖς, συνεχωρήθησαν Ἰουδαῖοι τῆς θεομάχου γρώμης τὸ ἔγκλημα, σαφῆ ἔχει τὴν λύσιν· ἐπείπερ ἐπήγαγε τὸ, οὐ γὰρ οἴδασι τί ποιοῦσιν, ὥστε τοὺς τῇ ἀγνοίᾳ παραχρῆμα συναπελθόντας, ἔχειν ἐκ τῆς φωνῆς τὸ ὠφέλιμον· τοὺς μέν τοι γε ἐπιμείναντας μετὰ τὸν σταυρὸν, ἔξω τῆς ὠφελείας ἐποίησε τὰ ἐπιγενόμενα θαύματα· σκότους δηλαδὴ πληρωθείσης μεσούσης ἡμέρας, πάσης τῆς γῆς καὶ αὐτῆς σεισθείσης ἐκ βάθρων αὐτῶν, καὶ τοῦ καταπετάσματος, σχισθεισῶν δὲ ὁμοίως καὶ τῶν πετρῶν· τοὺς γὰρ τοιούτους οὐκ ἄν τις ὑπὸ τῆς ἀγνοίας ἔτι βοηθεῖσθαι νομίσειε, τῶν θεοπρεπῶν τούτων θαυμάτων ἀνακηρυττόντων αὐτὸν εἶναι θεὸν, λαμπρᾷ τῇ φωνῇ· καὶ ἐπισφραγισθέντων διὰ τῆς ἀναστάσεως· καὶ τοῦτο δεδήλωκεν ἡ ῥωμαίων πολιορκία, καὶ τὰ περιστοιχίσαντα κακὰ τὴν Ἱερουσαλὴμ, ἃ καὶ πρὸς φθορὰν αὐτὴν ἤγαγε παντελῆ.

Ὁ μὲν οὖν βλάσφημος τῶν ἰουδαίων δῆμος, v. 35. p. 303. b.
τὸν ἑκούσιόν σου σταυρὸν θεασάμενοι, ὀνειδίζοντες ἔλεγον· εἰ υἱὸς εἶ τοῦ θεοῦ, κατάβηθι νῦν ἀπὸ τοῦ σταυροῦ· σὺ δὲ δι' αὐτῶν τῶν ἔργων ἐβόας, ὁ μόνος μακρόθυμος, οὐ πρὸς ὑμᾶς μοι νῦν ὁ ἀγὼν ὦ ἀνόητοι· τὰ γὰρ τῆς ὑμετέρας ἀσεβείας ἀπήρτισται· περιμένω δὲ τὴν τοῦ

XXIII. θανάτου πεῖραν, ἵνα τοῦτον ὑποστὰς σαρκὶ, δείξω νεκρόν τε καὶ ἄωρακτον· ὅταν δέ μου καὶ τὸ σῶμα τῷ τοῦ μνήματος λίθῳ καὶ ταῖς σφραγῖσι κατασφαλίσησθε, τότε γνώσεσθε διὰ τῆς ἐμῆς ἀναστάσεως, ὡς καὶ δυνάμενος ἀπὸ τοῦ σταυροῦ καταβῆναι, διὰ τῆς τριημέρου ταφῆς τὸ γένος ἀνασῶσαι τῶν ἀνθρώπων ἀνέμενον· διὸ δοξάζομέν σε τὸν πάντα σοφίᾳ διὰ τὴν ἡμετέραν σωτηρίαν οἰκονομήσαντα.

v. 40. p. 304. n. Καὶ πρότερον μὲν πολλὰς ἀϋπνους διατελέσας νύκτας, ἐσύλησεν ὅσα σὴς καὶ βρῶσις ἠφάνιζε· καὶ δι' ὧν ἀνῆψεν ἑαυτῷ σφοδροτέραν τὴν φλόγα τοῦ τῆς γεέννης ἀσβέστου πυρὸς· μέλλων δὲ τὸν τελευταῖον ὕπνον ὑπνῶσαι τὸν θάνατον, καὶ προσηλωμένους τῷ ξύλῳ τὸν σεσαρκωμένον θεὸν, καὶ συνεσταλμένον αὐτῷ τῷ πάθει παραδόξως ἐπιγνοὺς, ἐπίστευσεν εἰς αὐτὸν· καὶ τῇ γλώττῃ τὴν βασιλείαν ὥρυξε καὶ ἐλήστευσεν εἰπών, μνήσθητί μου ἐν τῇ βασιλείᾳ σου.

v. 42. Τινὲς δέ φασι, πῶς ἂν εἴποιμεν τὸν λῃστὴν εἰσεληλυθέναι εἰς τὸν παράδεισον; τοῦ ἀποστόλου Παύλου τοὺς ἀπ' αἰῶνος ἀπαριθμησαμένου δικαίους ἐν τῇ πρὸς ἑβραίους ἐπιστολῇ δικαιωθέντας διὰ τῆς πίστεως, καὶ ἐπαγαγόντος, ὅτι οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ ἐκομίσαντο τὰς ἐπαγγελίας· τοῦ θεοῦ περὶ

ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χω- XXIII.
ρὶς ἡμῶν τελειωθῶσι· καί τινες λέγουσιν ὡς ὁ
ἀπόστολος ἐν οἷς ἀπηριθμήσατο, οὐ συνηρίθμη-
σε καὶ τὸν λῃστὴν, ἀλλ' ἀπεσιώπησεν αὐτὸν, ὡς
τῶν ἐπηγγελμένων ἤδη τυχόντα· καὶ διὰ τοῦτο
οὐκ εἶπεν ἁπλῶς καὶ ἀπροσδιορίστως, πάντες οἱ
μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ ἐκομίσαν-
το τὰς ἐπαγγελίας· ἀλλ' εἶπε, καὶ οὗτοι πάν-
τες· πρὸς τοὺς ἀπηριθμημένους δεικτικῶς ἀνα-
φέρων τὸν λόγον, οἷς ὁ λῃστὴς οὐ συνηριθμεῖ-
το· ἕτεροι δὲ ἔφασαν μηδέπω τὸν λῃστὴν τετυ-
χηκέναι τῆς ἐν τῷ παραδείσῳ διατριβῆς, ἀλλὰ
διὰ τὸ ἄπιστον καὶ ἀμετάθετον τῆς ὑποσχέ-
σεως, εἰρηκέναι τὸν κύριον, τὸ σήμερον μετ' ἐμοῦ
ἔσῃ ἐν τῷ παραδείσῳ· αὐτὸς γὰρ εἶπεν· ὁ οὐρα-
νὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ
μὴ παρέλθωσιν· ἔστι γὰρ καὶ τοιοῦτον εἶδος,
φησὶν, ἐν τοῖς τοῦ κυρίου ῥήμασιν· ἐν οἷς περὶ
τῶν ἔσεσθαι μελλόντων ὡς ἤδη γεγενημένων διέ-
ξεισιν· ὡς ἔνθα λέγεται, ᾗ ἂν ἡμέρᾳ φάγετε
ἀπὸ τοῦ ξύλου, θανάτῳ ἀποθανεῖσθε· καὶ πά-
λιν· ὁ μὴ πιστεύων, ἤδη κέκριται· καὶ αὖθις·
ἀμὴν λέγω ὑμῖν· ὁ τὸν λόγον μου ἀκούων καὶ
πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον,
καὶ εἰς κρίσιν οὐκ ἔρχεται· ἀλλὰ μεταβέβηκεν
ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν· ἄλλοι δὲ πρὸς
ἔννοιαν τὸ ῥητὸν ἐκβιάζονται· λέγουσι γὰρ δεῖν

XXIII. ὑποστίζοντας ἀναγινώσκειν, ἀμὴν λέγω σοι σήμερον· εἶθ' οὕτως ἐπιφέρειν, τὸ μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ· ὡς εἰς τὸν μέλλοντα χρόνον δοκεῖν ἀφορᾶν τὴν ὑπόσχεσιν· ἀλλὰ ταῦτα μὲν οὗτοι· τὸ δὲ ἀληθὲς τῆς ἐξηγήσεως, τοῦτό ἐστι· τὰ ἐπηγγελμένα ἡμῖν ἀγαθὰ, βασιλεία ἐστὶν οὐρανῶν, οὐχὶ τοῦ παραδείσου τρυφή· κηρύσσων γὰρ ὁ κύριος ἔλεγε· μετανοεῖτε ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν, οὐχ' ἡ εἰς τὸν παράδεισον εἴσοδος ἢ ἐπάνοδος· καὶ ἐν τῷ προσεύχεσθαι δὲ λέγειν προσέταξεν, ἐλθέτω ἡ βασιλεία σου· οὐχ' ἡ τοῦ παραδείσου διατριβή· ἀλλ' ἴσως ἐρεῖ τις· ὡς ταυτόν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν καὶ ὁ παράδεισος, δύο προσηγοριῶν οὐσῶν περὶ ἓν πρᾶγμα τὸ ὑποκείμενον· ἀλλ' ἡ τῶν ἱερῶν γραμμάτων διδασκαλία, δείκνυσιν ὡς οὐ ταυτόν ἐστιν, ἀλλ' ἑκατέρου πολὺ τὸ διάφορον· τὰ μὲν γὰρ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἡτοιμασμένα τοῖς ἀγαπῶσι τὸν κύριον ἁγαθὰ, οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, καθὰ καὶ ὁ θεσπέσιος ἔγραψε Παῦλος· τὸν δὲ παράδεισον, καὶ ὀφθαλμὸς εἶδεν ὁ τοῦ Ἀδὰμ, καὶ οὖς ἤκουσεν· ἤκουε γὰρ· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ, φαγῇ· εἰ καὶ τοῦ ἑνὸς ξύλου τὴν μὲν θέαν εἶχε, τὴν δὲ βρῶσιν οὐκ ἐπετέτραπτο· καὶ ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη· προσετάττετο

γὰρ ἐργάζεσθαι τὸν παράδεισον· ἡ δὲ ἐργασία XXIII.
τοῦ παραδείσου, βάναυσός τις οὐκ ἦν· ἀλλ' εἶχε λογικὴν εὐφροσύνην ἀναμεμιγμένην, καὶ ἐννοιῶν θείων ἀπόλαυσιν· σιωπῶ γὰρ τὴν ἁρπαγὴν ἣν ἥρπαγη Παῦλος ἐκεῖσε, ἐπειπερ αὐτὸς εἶπεν, εἴτε ἐν σώματι, εἴτε ἐκτὸς σώματος, οὐκ οἶδα· ὥστε ὁ λῃστὴς τοῦ μὲν παραδείσου τετύχηκε, καὶ ἀψευδὴς ὁ εἰπὼν σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ· τὰ δὲ ἐν ἐλπίσι τῆς βασιλείας τῶν οὐρανῶν ἀγαθὰ, μετὰ τῶν ἀπ' αἰῶνος δικαίων οὐκ ἐκομίσατο, ὥσπερ οὖν δὲ οἱ ἄλλοι, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν· ὅτι γὰρ τὰ ἀγαθὰ τὰ ἐν ἐπαγγελίαις ἡμῖν ἀποκείμενα, οὐδὲν ἕτερόν ἐστιν, ἢ ἡ βασιλεία, πολλαχόθεν μέν ἐστι συνιδεῖν, μάλιστα δὲ ἐκ τῶν ῥημάτων ἐκείνων· ἐν οἷς φησὶ, διατίθεμαι ὑμῖν καθὼς διέθετό μοι ὁ πατήρ μου, βασιλείαν· ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου· ἔχομεν ὡρὸς τῇ ἐπηγγελμένῃ βασιλείᾳ καὶ τὸν παράδεισον, ὅς τις χωρίον ἐστὶ πνευματικῆς ἀναπαύσεως· θαυμάσαι γοῦν ἐστὶ τοῦ κυρίου τὰς πανσόφους οἰκονομίας, ὧν μετρίας τινὰς ἐμφάσεις δεδέγμεθα, τὸν ἐπ' αὐταῖς τελείως εἰπεῖν λόγον οὐκ ἔχοντες· τοῦ γὰρ λῃστοῦ τοιαύτην πίστιν ἐπιδειξαμένου, καὶ τοῦ μὲν ἄλγους τῶν ἥλων καταφρονήσαντος· ὡροσπεπερόνητο γὰρ τῷ ξύλῳ χεῖρας καὶ πόδας, καὶ

XXIII. τὰ ἐν ϖοσὶν ἅϖαντα ὑϖερβάντος, ϖρὸς δὲ τὰς μελλούσας ἀναϖτερωθέντος ἐλϖίδας, καὶ κράξαντος τὴν ἐξαίσιον καὶ ὑϖὲρ ἄνθρωϖον ἐκείνην φωνὴν, μνήσθητί μου κύριε ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου· ὁ τῶν ἡμετέρων διανοιῶν ἐξεταστὴς ἀκριβὴς, τῆς ϖίστεως αὐτοῦ θαυμάσας τὸ μεγαλοϖρεϖές τε καὶ ὑψηλὸν, ἐκ τῶν αὐτίκα μάλα ἐσομένων ϖρὸς τὴν ἐλϖίδα τῶν μελλόντων αὐτὸν ἐβεβαίωσεν, εἰϖὼν· σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ ϖαραδείσῳ· οἱ μὲν γὰρ ἄλλοι, φησὶν, οἱ ϖιστεύοντες εἰς ἐμὲ, σημείων καὶ διδασκαλίας ἀϖήλαυσαν· καὶ διὰ τούτων, τὸν ϖερὶ τῆς βασιλείας λόγον ἐδέξαντο· οὗτος δὲ μηδὲν ἀκούσας τῶν ἐμῶν ἢ θεασάμενος, εἰ μὴ τὸν ἀτιμόταϖον θάναϖον τοῦ σταυροῦ, τὸ γενναῖον ἐκεῖνο ῥῆμα ἐφθέγξαϖο, τὸ μνήσθητί μου κύριε ἐν τῇ βασιλείᾳ σου· τί οὖν; ἐχέτω τέως τὴν ἐν τῷ ϖαραδείσῳ τρυφὴν, τῆς οἰκείας ἐνέχυρον ϖίστεως· τεύξεται γὰρ καὶ τῆς βασιλείας εἰς ὕστερον· ἐν ᾗ γενέσθαι αὐτοῦ μνήμην ἠξίωσε, καὶ ὥσϖερ νικηφόρος τίς εἰσελαύνων εἰς ϖόλιν, τὰ λαμϖρὰ τῶν λαφύρων ἐϖικομίζεται, ϖεριφανεστέραν διὰ τούτου τὴν νίκην ϖοιῶν, καὶ ἀνακηρύττων τὸ τρόϖαιον· οὕτω καὶ ὁ κύριος εἰσελαύνων εἰς τὴν ἀρχαίαν τοῦ ἀνθρώϖου ϖατρίδα, τὸν ϖαράδεισον λέγω, τὸν λῃστὴν, ἐϖεφέρετο ϖανοϖλίας ἀϖάσης σεμνότερον λάφυρον, καὶ τῶν τοῦ διαβόλου

σκύλων τὸ κράτιστον· ἔργῳ δηλῶν ὅπερ ἔλεγεν, ὡς δήσας τὸν ἰσχυρὸν, τὰ σκεύη αὐτοῦ τῆς οἰκίας διήρπασεν. XXIII.

Ταύτην γε μὴν τὴν φωνὴν ὁ ἀπόστολος, ἰσχυρὰν κραυγὴν ἀφεκάλεσε, μεθ' ἧς ἱκετεύσας ἐδάκρυσεν, ἡμῖν χρήσας τὰ δάκρυα, καθάπερ καὶ τὴν φωνήν· ἰσχυρὰ γὰρ ὡς ἀληθῶς ἡ ἰσχύσασα διὰ τοσούτου χρόνου πρὸς ἡμᾶς ἐπικλῖναι τὴν ἀκοὴν τοῦ πατρὸς, ἣν ἀπέστρεψεν ἡ παράβασις τῷ Ἀδάμ· πῶς γὰρ ἔμελλεν ἰσχυρᾶς κραυγῆς χρήζειν ὑπὲρ ἑαυτοῦ δεόμενος ὁ υἱὸς, τελωνου καὶ πόρνης στεναζόντων καὶ δακρυόντων ἡσυχῇ ἀκουομένων; v. 46. p. 307. b.

Ἀλλὰ ταῦτα μὲν διεξοδικῶς εἴρηται· εἰ δή τις συστεῖλαι βούλοιτο, ὧδε ἂν ἐρεῖ· εἰ κατὰ τοὺς τῶν αἱρέσεων λήρους ἔκφωνευσιν εἴφοιμεν τοῦ Χριστοῦ, μὴ τῆς ψυχῆς εἶναι διάζευξιν, ἀλλὰ τῆς θεότητος χωρισμὸν, οὐ τὸν ἡμέτερον ἀλλ' ἴδιον ἀφέθανε θάνατον· καὶ μάτην ἡμεῖς ἐπὶ τῷ πάθει τοῦ σωτῆρος μεγαλαυχούμεθα, εἰ ξένῳ τινὶ καὶ οὐ τῷ ἡμετέρῳ θανάτῳ νενίκηκε τὸν διάβολον· ἀλλ' εὔδηλον, ὅτι δι' ὧν καταπαλαίσθημεν, διὰ τούτων ἀνακεκλήμεθα· οὔτε γὰρ ἡ ψυχὴ αὐτοῦ ἐγκατελείφθη εἰς τὸν ᾅδην, οὔτε ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν, ὡς ὁ προφήτης φησὶν, ἀλλ' ἐχωρίζετο μὲν ἡ ψυχὴ τοῦ σώματος, βουλήσει τοῦ ταῦτα οἰκονομοῦντος· ὁ p. 309. b.

XXIII. δὲ Θεὸς λόγος, αὐτὸς γὰρ ἦν ὁ ταῦτα οἰκονομῶν, ἑκατέρῳ τὴν ἄκραν ἕνωσιν καὶ καθ' ὑπόστασιν ἥνωτο, πλήρης ὢν, καὶ μηδαμοῦ διαιρούμενος, ὡς ἀσώματος, καὶ ἀπερίγραπτος, καὶ πληροῦν πάντα δυνάμενος· καὶ διὰ μὲν τῆς πρὸς τὸ σῶμα ἑνώσεως, καταργῶν τὴν φθοράν· καὶ τοὺς ἐν τάφοις ζωοποιῶν· πολλὰ γὰρ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη, καθά φησι τὸ γράμμα τὸ ἱερόν· διὰ δὲ τῆς πρὸς τὴν ψυχὴν ἀνοίγων τὸν παράδεισον, καὶ συνεισάγων ἑαυτῷ τὸν λῃστὴν ὡς ὑπέσχετο, λέγων· σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ· προσέθηκε δὲ τὸ μετ' ἐμοῦ, καὶ μάλα εἰκότως· εἰ γὰρ ὁ πρῶτος Ἀδὰμ διὰ τὴν ἁμαρτίαν ἐξώριστο τῆς ἐν παραδείσῳ διαγωγῆς, οὐκ ἦν θέμις ἑτέρῳ τυχεῖν τῆς ἐκεῖσε τρυφῆς, πρὶν ὁ δεύτερος Ἀδὰμ ἐπισχῇ, καὶ λύσει τὴν ἐξορίαν ἐκείνην· οὕτως οὖν ὁ τοῦ Θεοῦ λόγος ἡνωμένος τῇ ψυχῇ καθ' ὑπόστασιν, καὶ μὴ δὲ τὸ σῶμα καταλιπὼν ἔρημον τῆς οἰκείας ἑνώσεως, ἀνέωξε τῷ λῃστῇ τὸν παράδεισον· καὶ τοῖς ἐν ᾅδου χωρίοις ἐπεπεφοίτηκεν, εἰπὼν τοῖς ἐν δεσμοῖς, ἐξέλθετε· καὶ τοῖς ἐν τῷ σκότει, ἀναλύφθητε· καὶ πάντα τελείως καὶ ἰατρικῶς ἐπισκεψάμενος, καὶ πάλιν εἰς ταυτὸν ἀγαγὼν ἅπερ ἐκουσίως διέζευξεν, εἷς ἐξ ἀμφοῖν ἡμῖν θεότητός τε καὶ ἀνθρωπότητος, τελείως ἐχουσῶν κατὰ τὸν ἴδιον λόγον ὁ τῆς δικαιοσύνης

ἥλιος τὰς τῆς ἀναστάσεως ἀκτῖνας ἀνέτειλεν· ὁ γὰρ ἑκουσίως σαρκωθεὶς καὶ γενόμενος ἄνθρωπος, ἑκουσίως τὰ ὑπὲρ ἡμῶν καταδέξατο πάθη· καὶ πέπονθε σαρκὶ, κατὰ τὰς γραφὰς, καὶ μηδὲν τῆς θεϊκῆς ἀπαθείας τραπεὶς, ἀλλὰ μείνας ἐν οἷς ἦν· καὶ ἐν θανάτῳ καὶ ἐν πάθεσιν, ὁ αὐτὸς, καὶ ἐν τῇ τριημέρῳ ταφῇ· καὶ τῇ εἰς ᾅδου καταβάσει, κατέλυσε μὲν τὴν ἐν τοῖς τάφοις φθορὰν, συνέτριψε δὲ πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνέθλασε τῶν ὑποχθονίων· καὶ ἀνέστη θεοπρεπῶς· ἡ γὰρ σὰρξ αὐτοῦ, τῆς ἐν τῷ τάφῳ παντελῶς οὐκ ἐπειράθη διαλύσεως· ἵν' ὁδὸς καὶ θύρα γένηται τῆς τῶν ἡμετέρων σωμάτων ἀφθαρσίας, τουτέστιν ἀπαθείας καὶ ἀθανασίας, καὶ τῆς ἐκ παλιγγενεσίας, καὶ ἀναστάσεως ἀπεράντου ζωῆς. XXIII.

Καὶ τὸ φαγεῖν δὲ καὶ πιεῖν, δι' οὐδὲν ἕτερον ἔπραξεν, ἢ ἵνα δείξῃ σαφῶς, ὡς αὐτὸς ὁ ἀναστὰς ἐκ νεκρῶν, ὁ καὶ πρὸ τοῦ σταυροῦ, καὶ παρὰ πάντα τὸν καιρὸν τῆς οἰκονομίας, συνεσθίων καὶ συμπίνων αὐτοῖς, καὶ συναναστρεφόμενος ἀνθρώποις, κατὰ τὴν τοῦ προφήτου φωνὴν· ἔχει δὲ καὶ θεωρίαν ἀνηγμένην τινὰ, τὸ φαγεῖν αὐτὸν μέρος ἰχθύος ὀπτοῦ, ὅπερ τὸ πέρας τῆς οἰκονομίας δηλοῖ· πέρας δὲ τῆς οἰκονομίας, ἡ ἐμὴ σωτηρία· τῇ γὰρ τῶν ἀνθρώπων φύσει, τῇ ὑγρότητι τοῦ ἀσώτου βίου λαοῦ καθ- Cap. XXIV. v. 43. p. 319. a.

XXIV. ἅπερ ἰχθύος καταβαπτισθείσῃ, διὰ τῆς ἀφράστου σαρκώσεως (1) ἑνώσας ἑαυτὸν ὁ τοῦ Θεοῦ λόγος, τὸ νοερὸν (2) καὶ ἀπρόσιτον πῦρ, ὥσπερ ὀπτὴν αὐτὴν καὶ διάπυρον ἀπετέλεσεν, ἀπαλλάξας τῆς τῶν παθῶν διαχύσεως· καὶ ταύτην τὴν οἰκονομίαν οὕτως ἡδέως ἐπλήρωσεν, ὡς καὶ οἰκεῖον βρῶμα ποιήσασθαι· σωτηρία γὰρ ἀνθρώπων, βρῶμα Θεοῦ· καὶ τοῦτο αὐτὸς ἐναργῶς ἀπέδειξε· τῶν γὰρ μαθητῶν ἐν καιρῷ τινὶ προτρεπομένων αὐτὸν φαγεῖν, ἡνίκα τῇ σαμαρείτιδι διαλεχθεὶς τὴν διὰ τῆς πίστεως σωτηρίαν ἐκείνης εἰργάσατο, ἔλεγεν· ἐγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε· καὶ ἐμὸν βρῶμα ἐστὶν, ἵνα ποιήσω τὸ θέλημα τοῦ πέμψαντός με πατρὸς, καὶ τελειώσω αὐτοῦ τὸ ἔργον· συνέφαγε δὲ τῷ ὀπτῷ ἰχθύϊ καὶ τὸ κηρίον τοῦ μέλιτος, δηλῶν ὡς οἱ πυρωθέντες διὰ τῆς θείας ἐνανθρωπήσεως, καὶ μετασχόντες αὐτοῦ τῆς θεότητος, ὡς μέλι μὲν μετ' ἐπιθυμίας τὰς ἐντολὰς αὐτοῦ παραδέξονται, κηρῷ δὲ ὥσπερ τοὺς νόμους ἐναπογράψονται.

(1) Alius codex κινώσεως. (2) Al. cod. νοητόν.

ΤΟΥ ΑΥΤΟΥ ΣΕΒΗΡΟΥ

ΕΙΣ ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ.

Ex alio codice.

Τὸ Ἐλισάβετ ἡ συγγενής σου, πλήρες ἐστὶ μυστηρίου θεοπρεποῦς, ὅπερ οἶμαι μηδὲ τὴν παρθένον ἠγνοηκέναι, ἅτε πνεύματος ἁγίου μετέχουσαν· διὰ τοῦτο καὶ προθύμως ὑπήκουσε, καὶ πρὸς τὴν Ἐλισάβετ ἠπείγετο· ἐπειδὴ γὰρ ὁ Χριστὸς καὶ βασιλεὺς ἦν τῶν βασιλευόντων, ἅτε δὴ θεὸς, ὁ αὐτὸς δὲ καὶ ἀρχιερεὺς ἐχρημάτισεν, ὅτε γέγονεν ἄνθρωπος, ἑαυτὸν προσενεγκὼν θυσίαν τῆς ἁμαρτίας τοῦ κόσμου καθάρσιον· κατανοήσατε γάρ, φησιν, ὁ Παῦλος, τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν· προῳκονομήθη τοῦτο ἄνωθεν συναφθῆναι τὸ γένος τῆς βασιλικῆς τοῦ Ἰούδα φυλῆς, ἐξ ἧς ὑπῆρχεν ἡ παναγία παρθένος, καὶ τὸ τῆς ἱερατικῆς τοῦ Λευὶ φυλῆς, ἐξ ἧς ὑπῆρχεν ἡ Ἐλισάβετ, ἵνα ὁ Χριστὸς ὁ βασιλεὺς καὶ ἀρχιερεὺς ἐξ ἀμφοτέρων τὸ κατὰ σάρκα κατάγηται· γέγραπται γὰρ ἐν τῇ ἐξόδῳ πρὶν τεθῆναι τὴν ἐντολὴν τὴν ἐξ ἑτέρας φυλῆς λαμβάνειν γυναῖκα κωλύουσαν, ὡς Ἀαρὼν ὁ πρῶτος κατὰ τὸν

I. 36. cod. p. 18.

νόμον ἀρχιερεὺς, ἔλαβεν ἐκ τῆς Ἰούδα φυλῆς κατὰ τὸν νόμον γυναῖκα τὴν Ἐλισάβετ θυγατέρα Ἀμιναδὰβ· ὁ δὲ Ἀμιναδὰβ ἐκ τῆς Ἰούδα φυλῆς κατήγετο· καὶ ἵνα μή τις ἕτερον Ἀμιναδὰβ ὑπολάβῃ, εἰπὼν θυγατέρα Ἀμιναδὰβ, ἐπήγαγεν ἀδελφὴν Ναασσὼν· καὶ ὅρα μοι τὴν οἰκονομίαν τοῦ πνεύματος, καὶ ταύτην τοῦ Ζαχαρίου γυναῖκα οἰκονομήσαντος Ἐλισάβετ προσαγορεύεσθαι, πρὸς ἐκείνην ἡμᾶς τὴν Ἐλισάβετ ἀνάγουσαν, ἣν Ἀαρὼν ἠγάγετο, καὶ δι' ἧς ὑπῆρχεν ἡ συνάφεια τῶν δύο φυλῶν, καὶ διὰ τοῦ ὀνόματος ἐναργῶς βοῶσαν, ὡς ἐξ ἐκείνης μοι τῆς Ἐλισάβετ ἡ πρὸς τὴν παρθένον συνάφεια· καὶ ὁ Λουκᾶς γοῦν τὸ ἀκριβὲς τῶν εἰρημένων παρίστὰς φησὶ περὶ Ζαχαρίου λέγων· καὶ ἡ γυνὴ αὐτοῦ ἐκ τῶν θυγατέρων Ἀαρὼν· καὶ τὸ ὄνομα αὐτῆς Ἐλισάβετ.

IV. 18. p. 117. Τοῖς γὰρ τὴν τοῦ θεοῦ γνῶσιν πτωχεύουσιν ἐκήρυξε λέγων, μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τοῦ θεοῦ.

VI. 24. p. 159. Οὐ πάντων τῶν ἐν εὐπορίᾳ ὁ λόγος καθάπτεται· μόνον δὲ τῶν ἐπὶ τοῖς χρήμασι τὸ πᾶν τεθεικότων, καὶ προσηκότων αὐτοῖς τῇ διανοίᾳ· σαφέστερον γοῦν δηλοῖ τὴν τοῦ σωτῆρος διάνοιαν ὁ Μάρκος εἰπὼν, πῶς δύσκολον τοὺς πεποιθότας ἐπὶ χρήμασι εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν· τίς δὲ ἐστὶν ὁ πεποιθὼς ἐπὶ

χρήμασιν; ὁ μὴ ἀκούων τοῦ κυρίου λέγοντος, μὴ θησαυρίζετε θησαυροὺς ἐπὶ τῆς γῆς, ἀλλ' ἐν οὐρανοῖς;

IX. 28. p. 244.

Δοκεῖ μοι τῶν ἄλλων αὐτοὺς προκεκρίσθαι διὰ τὸ ἔχειν ὀξυτέραν τὴν διάνοιαν, καὶ τῷ ὕψει τῆς θεότητος συναναβαίνειν τοῦ δι' ἡμᾶς ἑκουσίως ταπεινωθέντος, καὶ ἐν ταυτότητι μείναντος τῆς ὑπερτάτης δόξης τε καὶ λαμπρότητος· Πέτρος μὲν γὰρ ὁμολογήσας αὐτὸν εἶναι τὸν υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος ἐναργῶς ἐμακαρίσθη, ὡς ὑπὸ τοῦ οὐρανίου πατρὸς τὴν τοιαύτην ἀποκαλυφθεὶς γνῶσιν· Ἰωάννης, καὶ Ἰάκωβος, ὡς ὁ Μάρκος φησὶν, ἀδελφοὶ τὸ πνεῦμα μᾶλλον ἢ τὸ σῶμα ὑπάρχοντες, βοανηργὲς, ὃ ἐστὶν υἱοὶ βροντῆς παρὰ τοῦ σωτῆρος ἐπονομάζονται, ταύτης τυχόντες τῆς προσηγορίας διὰ τὸ μεγαλοφώνως βροντῆσαι τὴν θεολογίαν ἐκείνην τὴν ἐξ οὐρανοῦ, καὶ τῆς ἐκεῖθεν ἐπιπνοίας κατενεχθεῖσαν, τὸ ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ τὰ ἑξῆς· πρόδηλον γὰρ ὡς καὶ Ἰάκωβος τὴν αὐτὴν χάριν ἐπλούτει τῷ ἀδελφῷ κατὰ τὴν ἀψευδῆ μαρτυρίαν τοῦ κοινῶς αὐτοὺς μιᾷ προσηγορίᾳ τιμήσαντος.

v. 47. p. 257.

Τί οὖν; ὡς πρόβατα ἡμᾶς εἶναι βούλεται βληχώμενα, καὶ ἀβασανίστως τοῖς περὶ τῆς βασιλείας τίθεσθαι λόγοις; οὔ μεν οὖν, ἀλλὰ κατὰ τὸν Ματθαῖον, σαφηνίζεται γὰρ ἐκ τῶν ἐκεί-

νῳ ῥηθέντων ἡ τοῦ προστάγματος δύναμις, θέλει σε στραφῆναι, καὶ τῆς παλαιωθείσης ἐν ἁμαρτίαις ἐπιλαθέσθαι ζωῆς· καὶ παιδικήν τινα, καὶ νεαρὰν ἔξιν διὰ τῶν τῆς δικαιοσύνης καινῶν ἔργων, καὶ ὥσπερ ἀμαθῆ καὶ ἐλευθέραν κακίας ἀναλαβεῖν· βασκανία γὰρ ἦν, καὶ ζηλοτυπία, καὶ κενῆς δόξης ἔρως τὸ ὑποκείμενον πάθος, ὃ θεραπεύειν ἠβούλετο· διὰ τοῦτο παιδίον ἤγαγεν εἰς μέσον σφόδρα τὴν ἡλικίαν βραχὺ, μήτε ὕβρει δακνόμενον, μήτε ἐπαίνοις, ἢ δόξῃ φυσσώμενον.

XIX. 17. p. 493. Ὡσανεὶ ἔλεγεν· σὺ τὰς δὶς πέντε αἰσθήσεις τάς τε κατὰ τὸν ἔξω, καὶ τὰς κατὰ τὸν νοούμενον ἄνθρωπον πολίσας τῇ εὐνομίᾳ τῶν πνευματικῶν ἐντολῶν κινεῖσθαι τε, καὶ ἐνεργεῖν κατὰ τὸ τῷ θεῷ δοκοῦν ποιήσας· πόλεως γὰρ ἴδιον τὸ εὐνομεῖσθαι· τῆς ἁρμοδίας ἀπόλαυε τιμῆς, ὡς δέκα πόλεων ἄρξας, καὶ δέκα πόλεων σχὼν ἐξουσίαν, τουτέστι τιμὴν καὶ ἀξίωμα.

v. 26. p. 496. Τοῖς γὰρ κατακούσασι προθύμως τῶν αὐτοῦ λόγων, τοῖς μαθηταῖς λέγω, καὶ τοῖς ἐξ ἐθνῶν πεπιστευκόσι, καὶ κατέχουσιν ἐν τῇ διανοίᾳ τὸν τῆς διδασκαλίας θεμέλιον, καὶ ἐδόθη, καὶ ἐπερισσεύθη τὰ τῆς θείας γνώσεως κατὰ τὴν δωρεὰν τοῦ πνεύματος· Ἰουδαίων δὲ μὴ κατασχόντων τὸν αὐτοῦ λόγον, καὶ ὃ ἐδόκουν ἔχειν, ἀφῃρέθη· τοῦτο δέ ἐστιν ἡ καλὰ τὸν Μωϋ-

σέως νόμον λατρεία, καὶ τὰ ϖροφητικὰ, καὶ θεόπνευστα λόγια τὰ προαγορεύοντα τὴν αὐτοῦ τοῦ σωτῆρος παρουσίαν. Διὰ τί περὶ τριῶν δούλων εἰϖὼν τοὺς ἄλλους ἀφῆκε; διότι εὐχερές ἐστιν ἐκ τούτων καὶ περὶ ἐκείνων μαθεῖν· ὅσοι γὰρ ἐπραγματεύσαντο, ἀναλόγως τῷ κέρδει λήψονται τὰς τιμὰς· ὅσοι δὲ ἀργὸν, καὶ ἄχρηστον ἔσχον τὸ χάρισμα τὰ ὅμοια τῷ δηλωθέντι πείσονται· τοῦ δὲ Ματθαίου οὐ μνᾶς, ἀλλὰ τάλαντα λέγοντος, μὴ νομίσῃς διαφωνίαν εἶναι τὸ εἰρημένον, ἀλλὰ διάφορον διήγησιν· τὸ γὰρ τάλαντον μνᾶς ἔχει ἑξήκοντα· τὰ οὖν παρὰ τῷ Ματθαίῳ ὀκτὼ τάλαντα πληροῦσι μνᾶς τετρακοσίας ὀγδοήκοντα ἃς ὁ Λουκᾶς ϖαραδραμὼν, καὶ ταχύτερον τὸν λόγον ϖοιούμενος τὰς δέκα μνᾶς εἴρηκεν· ἀμφοτέρων γὰρ μία ἐστὶν ἡ τῆς παραβολῆς ἀναγραφὴ· προσέθηκε δὲ Ματθαῖος ὅτι καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλετε εἰς τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τὸν ὀδόντων· καὶ ὅρα ϖρᾶγμα φοβερὸν· κολάζεται γὰρ οὐχ ὅτι ἔπραξε κακὰ, ἀλλ' ὅτι οὐκ ἔπραξεν ἀγαθὰ· ἔκκλινον γὰρ φησὶν ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθὸν· πλὴν δοκεῖ ἡ παρὰ τῷ Ματθαίῳ ϖαραβολὴ ἑτέρα ϖαρὰ ταύτην εἶναι, εἰ καὶ τὰ ϖολλὰ ἔοικεν· ἐν ταύτῃ γὰρ αἱ δόσεις μὲν ἴσαι, τὰ κέρδη δὲ ἄνισα, καὶ αἱ τιμαὶ· ἦγουν ἐκείνη μὲν ϖερὶ διαφόρων διδασκαλικῶν

χαρισμάτων διαλαμβάνει, μὴ διδομένων ἐπίσης· αὕτη δὲ περὶ διαφόρων διδομένων ἐπίσης· ἡ κατασφαλὴ δὲ αὕτη τὴν ἐν τῷ μέλλοντι αἰῶνι κόλασιν τῶν Ἰουδαίων παραδηλοῖ, ἢ τὴν ἐν τοῖς χρόνοις Οὐεσπασιανοῦ καὶ Τίτου πανωλεθρίαν αὐτῶν.

XX. 36. p. 518. Μετὰ τὸ ἀποβαλεῖν γὰρ τὸν Ἀδὰμ τὴν τῆς ἀθανασίας χάριν διὰ τὴν ἁμαρτίαν, ἡ βοήθεια ἐδόθη διὰ τῆς παιδοποιΐας, φυλάττουσα τῷ γένει τὴν διαδοχήν, ἥ τις βοήθεια παρὰ τοῦ πάντα προειδότος Θεοῦ κατεβέβλητο, ἤδη καὶ ἀπ' ἀρχῆς ποιήσας τὸν ἄνθρωπον, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς.

Edit. 425. *v.* 4. *a fine post voc.* δύναμιν *alius codex addit.*

Δώδεκα κοφίνους ἐποίησε περισσεῦσαι, ἵνα Ἰούδας βαστάσῃ, καὶ εἰς μνήμην ἀεὶ τοῦ σημείου ἐρχόμενος, γνῷ ὅτι θεός ἐστιν ὁ Ἰησοῦς, καὶ οὐ δύναται ἄκοντα αὐτὸν παραδοῦναι.

P. 431. *v.* 6. *post voc.* συναναπαύεσθαι *alius codex addit.*

Ἀναπαύσεως γὰρ ἔνδειξις ἡ ἐπὶ τῆς κοίτης ἀνάκλισις· πολλοὶ γάρ, φησιν, ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ· τάχα δὲ καὶ προφητεία ἐστὶ περὶ τῆς συντελείας, ὅτε διὰ τὸ πληθυνθῆναι

τὴν ἀνομίαν, ψυγείσης τῆς ἀγάπης τῶν πολλῶν ἡ θύρα κέκλεισται, τὰ παιδία μετὰ τοῦ Χριστοῦ ἐστιν· ὅτε οὐ τοσοῦτον διὰ τὸ εἶναι φίλος λαμβάνει τις ἄρτον, ὅσον διὰ τοῦ αἰτεῖν τρεῖς ἄρτους ἀναίδειαν.

P. 440. v. ult. alius codex habet longe melius sic.

Σεβήρου, ἐκ τῆς πρὸς Ἀρχέλαον ἀναγνώστην ἐπιστολῆς. Τῆς δὲ πεύσεως ἐκείνης, ἣν προὔτεινας, εἴ γε ἐκ τῆς τοῦ κυρίου φωνῆς κ. τ. λ.

P. 441. v. 12. Al. cod. recte καταπετάσματος ῥαγέντος.

ΤΟΥ ΑΥΤΟΥ ΣΕΒΗΡΟΥ

ΕΙΣ ΤΗΝ ΠΕΝΤΗΚΟΣΤΗΝ.

Act. apost. cap. II.

Καὶ ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεν- v. 1.
τηκοστῆς. - Παθὼν Χριστὸς ὁ θεὸς σαρκὶ τὸ ἑκούσιον πάθος, καὶ ἀναστὰς ἐκ νεκρῶν, συνανέστησεν ἑαυτῷ τοὺς τῇ ἁμαρτίᾳ νενεκρωμένους ἡμῶν, καὶ τὸ τοῦ διαβόλου κράτος καθέλυσε· διὰ τοῦτο μέχρι τῆς πεντηκοστῆς εἰς γῆν οὐ κλινόμεθα προσευχόμενοι, κατὰ τῶν ἐχθρῶν ἡμῶν ψάλλοντες· αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσον,

ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνορθώθημεν· ἐν δὲ πυρίναις γλώσσαις τοῦ πνεύματος ἐπιφανέντος ἡμῖν, γόνυ κάμπτομεν, τὴν θέαν οὐ φέροντες, καὶ δηλοῦντες ὅτι διὰ τοῦ πνεύματος τὴν ἐν τριάδι τελείαν προσκύνησιν μεμαθήκαμεν· πνεῦμα γὰρ ὁ θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν.

Ἐν τῇ ἡμέρᾳ τῆς πεντηκοστῆς ἡ τοῦ ἁγίου πνεύματος ἐπιφοίτησις γέγονε, διὰ τήνδε τὴν αἰτίαν· ἐν τῇ ἡμέρᾳ τῆς πεντηκοστῆς κατὰ τὴν παλαιὰν διαθήκην ἐδόθη νόμος· ἐχρῆν οὖν καθ' ἣν ἡμέραν ἐδόθη νόμος διὰ πλακῶν, κατ' αὐτὴν δοθῆναι τὴν νομοθεσίαν τοῦ ἁγίου πνεύματος, οὐκ ἐν πλαξὶν, ἀλλ' ἐν καρδίᾳ γραφομένην· τῇ ἡμέρᾳ δὲ τῆς πεντηκοστῆς ὁ λαὸς ἐδέξατο νόμον ἐν τῇ ἐρήμῳ Σινᾷ· τῇ τέσσαρεσκαιδεκάτῃ γὰρ ἡμέρᾳ τοῦ πρώτου μηνὸς τοῦ καὶ σελήνην ἀριθμουμένου, ἐξῆλθον οἱ υἱοὶ Ἰσραὴλ ἐξ Αἰγύπτου, ὅτε τὸ ἄζυμον ἐπετέλεσαι καὶ τὸ τοῦ πάσχα μυστήριον· ἀπὸ τῆς τεσσαρεσκαιδεκάτης ψήφισον τὸ τοῦ μηνὸς ἀναπλήρωμα, τουτέστιν ἡμέρας ιζ' τοῦ δευτέρου μηνὸς, ἡμέρας λ'· εἶτα ἡ τρίτη τοῦ μηνὸς τοῦ τρίτου, ἡ πεντεκοστὴ, τῇ ἑορτῇ τῶν ἀζύμων τοῦ πάσχα· ἀπὸ οὖν τῆς ιδ' ἕως τῆς τρίτης τοῦ τρίτου μηνὸς, γίνονται ἡμέραι πεντήκοντα· διὰ τοῦτο λέγει· καὶ ἐγένετο ἐν τῷ τρίτῳ μηνὶ ἐξελθόντων αὐτῶν ἐκ

γῆς Αἰγύπτου, εἶπε κύριος πρὸς Μωϋσὴν, κατάβηθι ἁγίασον τὸν λαὸν σήμερον καὶ αὔριον· τῇ νεομηνίᾳ αὐτῷ λαλεῖ, καὶ τῇ τρίτῃ φησὶ φανήσεται κύριος ἐπὶ τὸ ὄρος Σινᾶ· ἔδει οὖν καθ' ἣν ἡμέραν ἐδόθη ὁ παλαιὸς νόμος, κατ' αὐτὴν δοθῆναι καὶ τὴν τοῦ πνεύματος χάριν· ὥσπερ γὰρ ὁ σωτὴρ μέλλων ἐπιτελεῖν τὸ ἅγιον πάθος, οὐκ ἠνέσχετο ἄλλῳ καιρῷ ἑαυτὸν ἐκδοῦναι τῷ πάθει, ἀλλὰ καθ' ὃν ἐθύετο τὸ πρόβατον, ἵνα αὐτῷ τῷ τύπῳ συνάψῃ τὴν ἀλήθειαν, οὕτω καὶ ἡ τοῦ ἁγίου πνεύματος ἐπιφοίτησις οὐκ ἠνέσχετο ἄλλῳ καιρῷ δοθῆναι, ἢ καθ' ὃν καιρὸν ἐδόθη νόμος, ἵνα δειχθῇ ὅτι τὸ πνεῦμα τὸ ἅγιον καὶ τότε ἐνομοθέτησε, καὶ νῦν νομοθετεῖ· ἐδόθη μὲν οὖν νόμος ἐν τῇ παλαιᾷ κατὰ τὴν ἡμέραν τῆς πεντηκοστῆς· μετὰ δὲ τὸ ἐλθεῖν αὐτοὺς εἰς τὴν γῆν τῆς ἐπαγγελίας, τοῦτο ἦν αὐτοῖς τῆς ἑορτῆς σύμβολον, ἀπαρχὴ τῶν νέων καρπῶν καὶ δρᾶγμα τῶν νέων σταχύων προσεφέρετο τῷ θεῷ· ἦν δὲ κἀκεῖνο σύμβολον ταύτης τῆς ἑορτῆς· ἐπεὶ γὰρ ἐν τῇ ἡμέρᾳ τῆς πεντηκοστῆς τῶν νέων καρπῶν δρᾶγμα συνήγετο, καὶ ὑπὸ μίαν ὄψιν συνήγετο διῃρημένα· ἔμελλε δὲ καὶ τὴν ἡμέραν ταύτην ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανὸν ἐκ διαφόρων ἐθνῶν εἰς ἓν δρᾶγμα εὐσεβείας συνέρχεσθαι, καὶ διὰ τοῦ ἀποστολικοῦ λόγου τῷ θεῷ προσάγεσθαι· προετύπω-

σε τὸ δρᾶγμα τῶν σταχύων, ἵνα προερμηνεύσῃ τὰ δράϛματα τῶν ψυχῶν, τῶν ἐκ διαφόρων μὲν χωρῶν λαμβανομένων, εἰς μίαν δὲ ἀπαρχὴν σταχύων τῷ θεῷ προσαγομένων.

v. 2. Ἦσαν πάντες ὁμοθυμαδὸν· πάντες, τίνες; οἱ ἀπόστολοι καὶ οἱ σὺν αὐτοῖς μαθηταί. Καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος ὥσπερ φερομένης πνοῆς βιαίας. - Καλῶς τὸ ἐξ οὐρανοῦ, ἐπειδὴ καὶ τότε ἡ πρώτη φωνὴ τοῦ θεοῦ ἐν τῷ ὄρει, ἐκ τοῦ οὐρανοῦ ἐγένετο· καὶ τότε ἦλθεν εἰς τὸ ὄρος τὸ Σινὰ, ὡς μαρτυρεῖ Μωϋσῆς λέγων· ἐκ τοῦ οὐρανοῦ ἀκουστὴ ἐγένετο ἡ φωνὴ αὐτοῦ, καὶ ἔδειξέ σοι τὸ πῦρ αὐτοῦ τὸ μέγα· οὕτω καὶ νῦν· πρῶτον ἔῤῥηξε φωνὴν, καὶ τότε πῦρ ἐφάνη· ἄφνω οὖν, διὰ τὸ ξένον τῆς διδασκαλίας· ἐξ οὐρανοῦ δὲ, διὰ τὸ ὑπερκόσμιον τοῦ πραγενομένου· ἦχος δὲ, διὰ τὸ ὑπερεξηχεῖσθαι εἰς τὰ πέρατα τῆς οἰκουμένης τὴν εὐαγγελικὴν σάλπιγγα· ἡ δὲ πνοὴ διὰ τοῦτο βιαία, ἵνα σώσῃ τὴν εἰκόνα τοῦ Σινᾶ ὄρους· ὅτε γὰρ ἐπεφαίνετο ὁ Θεὸς ἐν τῷ ὄρει, ἐγένετο σκότος καὶ γνόφος καὶ θύελλα· ὥσπερ οὖν τότε τὸν νόμον ἐδορυφόρει τὰ φόβητρα ταῦτα, οὕτως ἔδει τοὺς νόμους τοῦ ἁγίου πνεύματος δορυφορηθῆναι τῷ φόβῳ, ἵνα ἀξίους ἑαυτοὺς παραστήσωσιν οἱ νομοθετούμενοι τῷ νομοθέτῃ· οὐκ ἦν γὰρ ἡ βιαία πνοὴ τὸ πνεῦμα τὸ ἅγιον, ἀλλὰ δορυφό-

ρος ἦν φόβος, προκαταρτίζων τὴν ψυχὴν τῶν ἀποστόλων, ὥστε μὴ ἐκλελυμένους αὐτοὺς ὄντας δέξασθαι τοῦ πνεύματος τὴν ἐπιφοίτησιν, ἀλλὰ τῷ φόβῳ τονωθέντας καὶ παρασκευασθέντας πρὸς τὸ ξένον καὶ παράδοξον, οὕτως ἀξίους γενέσθαι τῆς ἐπιφοιτήσεως· ὥσπερ γὰρ τὸ διαλελυμένον καὶ ῥάθυμον τῶν οἰκετῶν ἀπαγγελίας τίς τοῦ δεσπότου παρουσίαν σφίγγει, ὥστε ἕκαστον τὸ σχῆμα τῆς ῥαθυμίας ἀποθέμενον συντεῖναι καὶ ὄψιν καὶ σχῆμα πρὸς τὴν τοῦ δεσπότου ἐπιδημίαν, οὕτως προέλαβεν ἡ φωνὴ ἡ βιαία καὶ συνετάραξε τὸν οἶκον καὶ ἐπλήρωσεν ἤχου, ἵνα πρὸς τὸν φόβον ἀνανεωθέντες, ἄξιοι γένονται τῆς τοῦ ἁγίου πνεύματος ἐπιφοιτήσεως· ἐξ οὐρανοῦ μὲν, ἵνα παραστήσῃ ὡς οὐρανόθεν θεϊκῶς ἡ κάθοδος τοῦ πνεύματος γέγονε· πνοῆς δὲ ὥσπερ φερομένης βιαίας, ὅτι τοὺς ὑποδεξομένους τῆς υἱοθεσίας τὴν χάριν, βιασταὶ ἤμελλεν ἀποτελεῖν τῆς βασιλείας τῶν οὐρανῶν.

Καὶ ἐπλήρωσε τὸν οἶκον οὗ ἦσαν καθήμενοι. - Τὸν οἶκον ἐπλήρου, ἵνα ἡ δωρεὰ δεδομένη δειχθῇ μὴ μερικῶς τισὶν, ἀλλ' ὅλῳ τῷ τῆς ἐκκλησίας πληρώματι· ἡ οἰκία γὰρ, τοῦ κόσμου σύμβολον ἦν.

Καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός. - Οὐκ εἶπε μεριζόμεναι, ἀλλὰ διαμεριζόμεναι· πρόσεχε τὸν τρόπον, πῶς ἐγέ- v. 3.

νετο· οὐκ ἐφάνησαν εὐθέως γλῶσσαι, ἀλλὰ πῦρ πολύ, εἶτα ὥσπερ κατεῖμενετο τὸ πῦρ, καὶ διεμερίζετο εἰς γλώσσας· οὐχ' ἡ φύσις δὲ τοῦ πνεύματος ἐμερίζετο· ἀλλ' ἦν τὸ μὲν μερίζον, τὸ πνεῦμα· τὸ δὲ μεριζόμενον, ἡ δωρεὰ τοῦ πνεύματος· τὸ γὰρ πνεῦμα οὐ διαιρεῖται, ἀλλὰ διαρεῖ· οὐκ εἶπε δὲ πυρὸς, ἀλλ' ὡσεὶ πυρὸς· οὐ γὰρ ἦν πῦρ τὸ φαινόμενον, ἀλλὰ πῦρ ἐνομίζετο ἢ ἐφαίνετο· καὶ ἡ μὲν πνοὴ, πρόδρομος εἰς φόβον τοὺς ἀποστόλους ἐγείρουσα· τὸ δὲ πῦρ, ἡ τοῦ ἁγίου πνεύματος ἐπιφάνεια· καὶ ἵνα μὴ εἰς ὕβριν ἐκλάβοις τὴν ἁγίαν τριάδα πυρὸς ὄψει φανεῖσαν, λέγει Μωϋσῆς· καὶ ἦν τὸ εἶδος τοῦ θεοῦ Ἰσραὴλ ἐν τῷ ὄρει Σινᾷ, ὡς πῦρ καιόμενον· καὶ ἐκεῖ ὡς πῦρ, ἀλλ' οὐχὶ πῦρ· διὰ τί δὲ πυρὸς; διὰ τί δὲ γλῶσσαι; ἐπειδὴ κηρύγματος ἦν χρεία, διὰ τοῦτο τὸ πνεῦμα δίδοται ἐν εἴδει γλωσσῶν, ὑπὲρ τοῦ τὸ κήρυγμα ἀνθῆσαι τῆς ἀποστολικῆς ἦν διδασκαλίας· καὶ ἃ ἔλειπε τῇ φύσει τῶν ἁλιέων διὰ τὴν ἀπαιδευσίαν, ταῦτα δοθῆναι δι' αὐτῶν· ἵνα παρ' αὐτῶν λαλούμενα διαφόροις γλώσσαις καὶ ὑπερβολὴν δωρεᾶς ἔχοντα, φωτίζῃ τοὺς ἀκούοντας· ἔδει δὲ καὶ πυρὸς ἔχειν δύναμιν, εἰς τὸ ἀναλῶσαι πᾶσαν τὴν ἐν κόσμῳ ὑλομανοῦσαν ἁμαρτίαν· καὶ ὥσπερ τὸ πῦρ ἔχει τὴν φωτιστικὴν καὶ καυστικὴν δύναμιν, οὕτως ὁ λόγος τῶν ἀποστόλων

καὶ ἐφώτιζε τοὺς πιστεύοντας, καὶ ἀνήλισκε τοὺς ἀντιλέγοντας· τοιαύτην εἶχε γλῶσσαν πυρὸς Παῦλος, ἢ κατὰ τὸ αὐτὸ καὶ τὸν ἀνθύπατον ἐφώτισε, καὶ Ἐλύμαν τὸν μάγον ἐτύφλωσε· τῇ αὐτῇ δυνάμει καὶ τοῦτον φωτίσας, κἀκεῖνον τυφλώσας· ἡ πυρίνη γλῶσσα σημαίνει τὸν εὐκίνητον καὶ διάπυρον λόγον· κατὰ τὸ, ἄργυρος πεπυρομένος γλῶσσα δικαίου.

Ἐκάθισέ τε ἐφ' ἕνα ἕκαστον αὐτῶν. - Τοὐτέστιν παρέμεινεν, ἐπανεπαύσατο· ἦν γὰρ ἰδεῖν ὑπὲρ κεφαλῆς αὐτῶν πῦρ· οὐ καῖον, ἀλλ' ἁγιάζον καὶ καταλάμπον· διὰ τί δὲ τὰς γλώσσας οὐκ ἐπὶ τοῦ στόματος ἐδέξαντο, ἀλλ' ἐπὶ τῆς κεφαλῆς; οὐκ εἰς τὴν γλῶσσαν, τοὐτέστιν εἰς τὸ τῆς φύσεως ὄργανον ἐδόθη τὸ πνεῦμα, ἵνα μὴ νομισθῶσιν ἐκ τῶν ἰδίων λαγόνων καὶ ἐκ τοῦ ἰδίου στόματος προφέρειν ἃ μὴ εἶχον· ἀλλ' ὥσπερ εἰς οὐρανὸν τὰ ὕδατα λαμβανόμενα τὰς κορυφὰς τῶν ὀρέων καταλαμβάνουσι, καὶ ἀπὸ τῶν ὑψωμάτων ἐπὶ τὰς φάραγγας καταφέρονται, οὕτως τὴν κορυφὴν ὡς ὄρος καταλαμβάνουσα ἡ τοῦ πνεύματος χάρις, ἐπεχορήγησε λοιπὸν ἀπὸ τῆς κορυφῆς τῷ ἐγκεφάλῳ, εἶτα τῷ στόματι καὶ τῇ καρδίᾳ, καὶ ὅλον δι' ὅλου τὸν ἄνθρωπον ἐπλήρωσεν ἀπὸ τῆς κεφαλῆς· διὰ τί δὲ πάλιν ἐπὶ τὴν κεφαλήν; ἐπειδὴ οἱ ἀπόστολοι ἐχειροτονοῦντο τῆς οἰκουμένης διδάσκαλοι· χειροτονία

δὲ ἄλλως οὐ γίνεται, εἰ μὴ ἐν τῇ κεφαλῇ· τὸ οὖν τὰς γλώσσας ἐπὶ τῶν κεφαλῶν φανῆναι, δείκνυσι χειροτονίας σχῆμα· ὑπὲρ τῆς κεφαλῆς γὰρ τίθεται ἡ χειροτονία, καθὼς καὶ ἕως νῦν ἐκράτησε τὸ πρᾶγμα, ἐπειδὴ γὰρ ἀόρατος ἐστὶν ἡ τοῦ ἁγίου πνεύματος ἐπιφοίτησις, ἐπιτίθεται τῇ κεφαλῇ τοῦ μέλλοντος χειροτονεῖσθαι ἀρχιερέως τὸ εὐαγγέλιον· καὶ ὅταν ἐπιτεθῇ, οὐδὲν ἄλλο ἐστὶν ἰδεῖν, ἢ γλῶσσαν πυρὸς· διὰ τὸν λέγοντα, πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν· οὐκ εἶπε δὲ ἥδρασθη ἢ κατήντησεν, ἀλλ' ἐκάθισεν ἐπάνω, ἵνα δείξῃ ὅτι πᾶς ἀνὴρ δεχόμενος λειτουργίαν, θρόνος ἐστὶ θεοῦ.

v. 4. Καὶ ἐπλήσθησαν ἅπαντες πνεύματος ἁγίου. - Οὐχ ἁπλῶς ἔλαβον τὴν χάριν, ἀλλ' ἐπλήσθησαν· ὅρα δέ μοι πῶς οὐκ ἀλγεῖ ἐκεῖνος ὁ μὴ αἱρεθεὶς ὡς ὁ Ματθίας· ἅπαντες γάρ φησι ἐπλήσθησαν πνεύματος ἁγίου· ἐκάθισε μὲν ἐπὶ τῇ κεφαλῇ, ἀπὸ δὲ τῆς κεφαλῆς ἐπληρώθη ὁ ἄνθρωπος ὅλος.

Καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις. - Ἡ τοῦ θεοῦ χάρις ᾠκονόμησεν ἀπ' ἀρχῆς τοῖς ἀποστόλοις ἔμπρακτον εἶναι τὸν λόγον· τίς γὰρ χρεία ἦν κηρύκων, τῶν ἀκουόντων οὐκ ὄντων; ἐπεὶ οὖν ἐχρὴν τὴν ἀπαρχὴν τῶν ἐθνῶν ἐξ αὐτῶν τῶν προοιμίων τάξιν λαβεῖν, ἐπάγει ὁ συγγραφεύς.

Καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις. - Τί-

νος ἕνεκεν πρὸ τῶν ἄλλων χαρισμάτων τὸ τῶν γλωσσῶν ἔλαβον οἱ ἀπόστολοι; ἐπειδὴ παντα-χοῦ διέρχεσθαι ἤμελλον· καὶ ὥσπερ ἐν τῷ καιρῷ τῆς πυργοποιΐας ἡ μία γλῶττα εἰς πολλὰς διετέμνετο, οὕτω τότε αἱ πολλαὶ γλῶσσαι, εἰς ἕνα ἄνθρωπον ἦεσαν· καὶ ὁ αὐτὸς καὶ τῇ Περσῶν καὶ τῇ Ῥωμαίων καὶ τῇ Ἰνδῶν, καὶ ἑτέραις πολλαῖς διελέγετο γλώσσαις, τοῦ πνεύματος ἐνηχοῦντος αὐτῷ· καὶ τὸ χάρισμα, ἐκαλεῖτο χάρισμα γλωττῶν· ἐπειδὴ πολλαῖς ἀθρόον ἠδύναντο λαλεῖν φωναῖς, καθὼς τὸ πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι· οὐκ εἶπε δὲ φθέγγεσθαι, ἀλλὰ ἀποφθέγγεσθαι, οὐ γὰρ ἐξ ἑαυτῶν ἐφθέγγοντο, ἀλλὰ ἀπὸ τοῦ ἁγίου πνεύματος· ἀπεφθέγγοντο δὲ προφητεύοντες, ἤγουν συνιέντες καὶ λέγοντες τὰ διὰ τῶν ἁγίων προφητῶν ἐπὶ Χριστῷ μαρτύρια.

Ἦσαν δὲ ἐν Ἱερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι, ἄνδρες εὐλαβεῖς, ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν. - Τὸ κατοικεῖν, εὐλαβείας ἦν σημεῖον· ἀπὸ τοσούτων ἐθνῶν πατρίδας ἀφέντες καὶ οἰκίας καὶ συγγενεῖς, ἐκεῖ οἰκεῖν· τὸ δὲ ἀπὸ παντὸς ἔθνους, ἀντὶ τοῦ ἀπὸ πολλῶν ἐθνῶν· τὸ γὰρ πάντος, ἐπὶ πολλῶν ἐκλαμβάνει ἡ γραφὴ ὑπερβολικῶς χρωμένη· οὕτως εἴρηται καὶ τὸ ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· καὶ οἱ πάντες τὰ ἑαυτῶν ζητοῦσιν, v. 5.

οὐ τὰ τοῦ Ἰησοῦ Χριστοῦ· καὶ τὸ, οὐκ ἔστι δίκαιος οὐδὲ εἷς· ἀπὸ τοῦ καθόλου τοὺς πολλοὺς σημαίνουσα.

Τὸ ἀπὸ παντὸς ἔθνους, ἴσον δύναται τῷ ἀπὸ πολλῶν· μᾶλλον τὸ βιαιότερον ἐπιχειρήσει λέγων, τὸ ἀπὸ παντὸς ἔθνους δηλοῦν, τῶν ἐν Ἱερουσαλὴμ ὄντων· οἷον λόγου χάριν, ἔσωσαν τὰ πάντα ἔθνη, ὁ· ἀπὸ τούτων τῶν ὁ, τινὰ ἔθνη ἐτύγχανεν ἐν τῇ Ἱερουσαλὴμ· ὡς τὸ ἀπὸ παντὸς ἔθνους μὴ καθάπαξ εἰρῆσθαι, ἀλλὰ τοῦ ὄντος ἐν τῇ Ἱερουσαλὴμ· ἐὰν δὲ ἔθνη εἴκοσι ὑποθώμεθα ἐν τῇ Ἱερουσαλὴμ εἶναι, μὴ νομιζέτω τίς ἐξ ὁλοκλήρου τὰ εἴκοσι ἔθνη εἶναι ἐν τῇ Ἱερουσαλὴμ, ἀλλ' ἀπὸ τούτων τινὰς ἀνθρώπους· συμφώνως τούτοις ἐστὶ νοῆσαι καὶ τὴν προφητείαν τοῦ Ἰωὴλ τὴν ἐκ προσώπου τοῦ θεοῦ λέγουσαν· ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, τὴν παρεσκευασμένην δηλαδὴ δέξασθαι τὸ πνεῦμα.

v. 8. Καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν ἐν ᾗ ἐγεννήθημεν; - Δέκα πέντε γλωσσῶν τέως ἔλαβον χάρισμα, ὅσον πρὸς τοὺς παρόντας· τίς γὰρ ἦν χρεία περσικῆς γλώττης, μὴ παρόντων Περσῶν; ἀλλ' ὥσπερ ἐν πολέμοις πᾶσα μηχανὴ κατασκευάζεται, καὶ πᾶσα μαγγανεία, ἕκαστον δὲ τούτων ἐνεργεῖ πρὸς τὴν χρείαν καὶ τὴν ἀνάγκην τὴν καταλαβοῦσαν, οὕτω το-

σαῦται γλῶσσαι ἐφάνησαν τότε, ὅσαι ἦσαν καὶ τῶν ἐθνῶν ἀπαρχαὶ· εὑρίσκεται γὰρ ἕκαστος καὶ διαφόροις γλώσσαις λαλῶν· ἐπειδὴ καὶ διὰ πολλῶν ἐθνῶν ἔμελλον πωαριέναι, ὡς λέγει Παῦλος· εὐχαριστῶ τῷ θεῷ, πάντων ὑμῶν γλώσσαις λαλῶν.

Ἐξίσταντο δὲ πάντες. - Οὐ γὰρ ἁπλῶς ἐλάλουν, ἀλλὰ τίνα θαυμαστὰ ἔλεγον· εἰκότως τοίνυν ἠπόρουν, οὐδέποτε γὰρ γέγονέ τι τοιοῦτον· ἕτεροι δὲ χλευάζοντες ἔλεγον, ὅτι γλεύκους μεμεστωμένοι εἰσίν. - Ὅρα τὴν κακίαν καὶ ἀπὸ τοῦ χρόνου καὶ τῆς ὥρας ἐλεγχομένην· ἐν τῇ πεντηκοστῇ, πόθεν γλεῦκος; γλεῦκος γὰρ λέγεται ὁ νέος οἶνος· εἶτα μέθη διαφόρους γλώσσας δίδωσιν, ἢ καὶ τὴν οὖσαν ἀφανίζει; ὅρα δὲ τί κατασκευάζει θεὸς· εἰ μὴ ὑπενοήθη ἡ χλεύη, παρῃτοῦντο οἱ Ἰουδαῖοι εἰσελθεῖν καὶ ἀκοῦσαι· συνεχώρησεν ὁ θεὸς, ἵνα ἡ χλέυη πολλοὺς συναγάγῃ. v. 12.

Ἐπῆρε τὴν φωνὴν αὐτοῦ. - Τουτέστι μετὰ πολλῆς τῆς παῤῥησίας, ἵνα μάθωσι τοῦ πνεύματος τὴν χάριν· ὅτι δὲ οὐ μεθύουσιν, εὐθέως ἀπὸ τῆς φωνῆς ἐδήλωσεν, ὅτι οὐκ ἐξεστήκασι καθάπερ οἱ μάντεις. v. 14.

Καὶ ἀπεφθέγξατο αὐτοῖς. - Πρὸ τοῦ δέξασθαι τὰς γλώσσας ὁ Πέτρος, ὑπὸ μιᾶς παιδίσκης οἰκτρᾶς ἐρωτώμενος, ἐφοβήθη καὶ λέγει,

οὐκ οἶδα τὸν ἄνθρωπον· ἐκεῖ μία παιδίσκη, καὶ δειλία πολλὴ· ὧδε πλῆθος ἄπειρον, καὶ φωνὴ εὐπαῤῥησίαστος· διὰ τί; οὐ γὰρ ὑμεῖς ἐστὲ οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν· ἐπῆρε, φησὶ, τὴν φωνὴν αὐτοῦ, ἀντὶ τοῦ ἐπαῤῥησιάσατο· ἀλλ' ἀπεφθέγξατο, πρὸς οἷς ἐλάλησεν ἐν γλώσσῃ· ἀπεφθέγξατο τῇ διδασκαλίᾳ.

v. 16. Ἀλλὰ τοῦτό ἐστι τὸ εἰρημένον διὰ τοῦ προφήτου Ἰωήλ. - Γὰς ἀπορίας ἄλλο οὐ λύει, ἢ μαρτυρία προφητικὴ· ὅταν οὖν ἀνακύπτῃ τί τῶν ἀπόρων ζητημάτων, μὴ καταφύγῃς ἐπὶ τοὺς λογισμούς· ἐνθυμήσεις γὰρ λογισμῶν καὶ ἀνατρέπονται καὶ συνίστανται, θεοῦ δὲ φωνὴν τίς λύει; λογισμὸς λύεται, γραφὴ οὐ λύεται.

v. 17. Ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου. - Οὐκ εἶπεν ἐκχεῶ τὸ πνεῦμά μου, ἀλλ' ἀπὸ τοῦ πνεύματος· οὐ τὸ πνεῦμα ἐκχεῖται, ἀλλ' ἡ δωρεὰ τοῦ πνεύματος.

Καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν καὶ οἱ νεανίσκοι. - Ὅρα πῶς διάφορος ἡ τοῦ ἁγίου πνεύματος ἀποκάλυψις· ὁ μὲν προφητεύει, ἔχων τοῦ πνεύματος τὴν χάριν· ἄλλος ἀτονῶν πρὸς τὸ ὑπηρετήσασθαι τοιούτῳ πράγματι, λαμβάνει τὸ τῶν ὁράσεων· ὡς εἶδεν ἕκτῃ ὥρᾳ τὴν εἰκόνα ὁ Πέτρος, ὡς ὁ Κορνήλιος ἐννάτῃ ὥρᾳ εἶδε τὸν ἄγγελον· τὸ ἐν τῇ καρδίᾳ,

οὐ λέγεται ὅραμα, ἀλλ' ὅρασις· ἄλλως βλέπει τίς ὅρασιν, ὡς φησὶν ὁ ὁρῶν βάδιζε· ἄλλως δὲ ὁ τῇ ὄψει θεωρῶν τὸ θεώρημα· ἄλλως ὃς τὸ ἐνύπνιον τῇ φαντασίᾳ παιδεύεται· ἔστι δὲ τὸ μὲν πρῶτον, προφητεία· τὸ δὲ δεύτερον, ὅραμα· τὸ δὲ τρίτον, ἐνύπνια· οἱ πρεσβύτεροι ἐνύπνια ἔβλεπον, ἐπειδὴ τὸ γῆρας ἄτονον πρὸς ὑπηρεσίαν· εἰ καὶ μὴ δύναται οὖν διακονεῖσθαι, ἀλλὰ διὰ τὴν ἀρετὴν μὴ ὑβριζέσθω· τὸ δὲ καὶ θυγατέρας προφητεύειν εἰπεῖν, δηλοῦντος ἐστὶ τὸ τῆς χάριτος ἀμφιλαφὲς· ἐξεχεῖτο δὲ ἡ χάρις τοῖς μὲν δι' ὀνείρων, τοῖς δὲ καὶ ἐμφανῶς· καὶ γὰρ δι' ὀνείρων εἶδον οἱ προφῆται, καὶ ἀποκαλύψεις ἐδέξαντο.

Καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω, καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω, αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ. - Καὶ τὰ ἐπὶ τῷ σταυρῷ τοῦ Χριστοῦ γενησόμενα προδιδάσκει σαφῶς· καὶ τὰ δι' αὐτὸν τοῖς ἰουδαίοις συμβαίνοντα διὰ τοῦ Ῥωμαίων πολέμου· αἵματος μὲν ὑπὸ τούτων πλείστου ἐκχεομένου κατὰ τὴν Ἰουδαίαν· καπνοῦ δὲ ἐγγινομένου τῶν πόλεων καὶ τῶν κωμῶν ἐμπιπραμένων, δίκην τινυόντων τῶν ἰουδαίων τῆς εἰς Χριστὸν παροινίας, ἣν οὐδ' αὐτὸς ὁ ἥλιος ἀνασχόμενος, τὸν ἴδιον ὀφθαλμὸν τὴν φωτιστικὴν δύναμιν συνέστελλεν, καὶ ἡ σελήνη εἰς ἐρύθημα τὴν ἀργυροειδῆ μετέβαλεν ἑαυτῆς εἰδέαν. v. 19.

v. 20. Πρὶν ἐλθεῖν τὴν ἡμέραν κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ. Τὴν τῆς ἀναστάσεως φησὶ· θεὸς δὲ ἐστὶν ὁ λέγων, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ωρὶν ἐλθεῖν τὴν ἡμέραν κυρίου, εἰωὲ τῷ ἰουδαίῳ· εἰ ἓν πρόσωπον ἐστὶ, καὶ ἓν θεϊκόν ἐστιν ὄνομα, καὶ αὐτὸς λαλεῖ ωερὶ ἑαυτοῦ, διὰ τί μὴ εἶπε πρὶν ἐλθεῖν τὴν ἡμέραν τὴν ἐμήν;

v. 22. Ἄνδρες ἰσραηλῖται. - Ἄνδρας ἰσραηλίτας αὐτοὺς καλεῖ διὰ τοὺς ωροπάτορας προτρεωόμενος αὐτοῖς τούτων μεμνῆσθαι τὴν πίστιν.

Ἰησοῦν τὸν ναζωραῖον, ἄνδρα ἀπὸ .....

ΤΟΥ ΑΥΤΟΥ ΣΕΒΗΡΟΥ

ΑΛΛΑ ΑΠΟΣΠΑΣΜΑΤΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ.

I. 31. p. 8. b. Ἐωειδή σοι κυρίου ωαρουσίαν εὐηγγελισάμην, μὴ ταραχθῇς· μὴ δ' αὐτοσχεδίως ἔσεσθαι νομίσῃς τὸν τόκον, καὶ ὡς ἀστραωῆς ωάροδον τὴν σὴν γαστέρα διαδραμεῖν, κατὰ τοὺς λήρους τῶν δοκητῶν· σύλληψις γὰρ ἀκολούθως ἔσται καὶ ἄσωορος κυοφορία, καὶ τοκετὸς· τὴν γὰρ ἀνθρωπίνην φύσιν καὶ γέννησιν διορθώσων ἦλθεν ὁ τοῦ θεοῦ λόγος, καὶ αὐτὰς τὰς ἀρχὰς τῆς εἰς τὸ εἶναι παρόδου· διὸ εἶπεν ὁ ἄγγελος, ἰδοὺ συλλήψῃ ἐν γαστρὶ· ἵνα δείξῃ τὸν κυρίου

ἐξ αὐτῆς τῆς ϖαρθενικῆς νηδύος, καὶ ἐκ τῆς ἡμετέρας οὐσίας, λαβόντα τὴν σάρκα καὶ τὸν ἀνθρώπινον φύραμα, καὶ εὐλογήσαντα τὴν βλάστην τῆς ἡμετέρας γεννήσεως· εἰ μὴ γὰρ διὰ πάντων δι' ὅσων ἡμεῖς, χωρὶς ἁμαρτίας καὶ ἀνθρωπίνης σποράς συλληφθεὶς κατὰ σάρκα, καὶ ἐννεαμηνιαῖον χρόνον κυοφορηθεὶς, οὐκ ἂν ἐξηφάνισε τὸ ἐν λύπαις τέξῃ τέκνα, τὴν καθὰ τῆς Εὔας ἀπόφασιν.

Εὐχαριστεῖ τῇ ἐπιφανείᾳ τοῦ σωτῆρος, ἔλεον λέγων θεοῦ, καὶ ἐπίσκεψιν, καὶ ἀνατολὴν φωτὸς ἐξ ὕψους γενομένην, ἵνα οἱ ἐν σκότει τῆς ἀγνοίας φωτισθῶσιν· οἱ ὑπ' ἐξουσίαν θανάτου κείμενοι, ὑϖ' ἐξουσίαν ζωῆς γένωνται· οἱ ϖολέμῳ νοητῷ καθεχόμενοι, τὴν ὁδὸν τῆς εἰρήνης εὕρωσι, τὸν Χριστὸν φημὶ, ὃς ἐστὶν ἡ εἰρήνη ἡμῶν, ὃς ϖροηγουμένως ἐπὶ τῷ φωτίσαι ἦλθε τὸν Ἰσραὴλ, διὰ τὴν ϖρὸς τοὺς πατέρας αὐτῶν ἐπαγγελίαν· οὐ δεξαμένων δὲ ἐκείνων, ἐϖιφανεστέραν ϖολὺ τὴν τοῦ φωτὸς ἐϖίλαμψιν ἐϖὶ πάντα τὰ ἔθνη ἐποιήσατο· οὐ γὰρ ἐξ ἀκρωρείας καθὰ καὶ ϖρότερον ἐϖὶ τοῦ Σινᾶ φωνή τις ἦν νομοθετοῦσα, καὶ ϖυρὸς ὄψις ἐξιστῶσα, καὶ θείας δόξης φαντασίαν ὑποφαίνουσα, καὶ ταύτην γνόφῳ συγκαλυϖτομένην, ἀλλ' ἐξ ὕψους τοῦ ἀνωτάτω, καὶ οὗ πέρα μηδέν ἐστιν ἐννοεῖν, ἀνατολὴ ϖλατεῖα καὶ ϖεριφανεστάτη τὸν ἥλιον

I. 68. p. 13. a.

ἔχουσα τῆς δικαιοσύνης, πρὸς τοὺς ἐν σκότει νοητῷ καὶ σκιᾷ θανάτου καθημένους, αὐτομολήσαντα, καὶ ὅλαις ἀκτῖσιν ἄνω μένοντα, καὶ ὅλον ἐπὶ γῆς παρόντα, καὶ μηδαμοῦ τὸ πλῆρες ἀφέντα, μήτε μὴν τῇ πρὸς ἡμᾶς ἐπιδημίᾳ μερισμὸν ἢ περιγραφὴν ὑπομείναντα· τὸ δὲ πῶς, οὔτε φράζειν ὁ λόγος δυνήσεται· πάσης γὰρ κτιστῆς φύσεως ὑπερβαίνει κατάληψιν· ἀλλ' οὗτος μὲν ὁ νοῦς τῶν εὐαγγελικῶν ῥημάτων· ἡ δὲ σύνταξις, αὕτη· εἰπὼν γὰρ διὰ σπλάγχνα θεοῦ, ἐπήγαγεν· ἐν οἷς σπλάγχνοις ἐπεσκέψατο ἡμᾶς, ὁ ἐξ ὕψους καὶ ἐξ οὐρανοῦ ἀνατείλας ἡμῖν ἥλιος δικαιοσύνης, ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ καὶ θεὸς ἡμῶν, περὶ οὗ φησὶν ὁ προφήτης· ἀνατολὴ ὄνομα αὐτῷ· ἐπεσκέψατο δὲ ἵνα ἐπιλάμψῃ τοῖς ἐν σκότει καθημένοις τῆς ἀγνωσίας, καὶ τοῖς ἐν τῇ σκιᾷ τοῦ θανάτου, τῇ ἁμαρτίᾳ· ἤ τις εἰκόνα ἔχει θανάτου, ὅτι ὥσπερ ὁ αἰσθητὸς θάνατος χωρισμὸν ἔχει ψυχῆς, οὕτως ἡ ἁμαρτία χωρισμὸν πνεύματος ἁγίου· καὶ ἵνα διὰ τοῦ ἐπιφάναι τῷ φωτὶ τῆς αὐτοῦ ἐπιγνώσεως, κατευθύνῃ τὰ τοῦ βίου ἡμῶν διαβήματα· καὶ ὁδηγήσῃ εἰς τὴν ἀρίστην ζωὴν καὶ πολιτείαν, ἥ τις ἐστὶν ὁδὸς εἰρήνης· ὡς ἡ ἁμαρτία, ἔχθρα εἰς θεόν.

XIII. 34. p. 199. b. Τοῦτο κακῶν ἦν τὸ ἔσχατον, χαλεπώτερον κολάσεως ἁπάσης, τὸ μηκέτι μὴ δὲ παιδείας

ἀξίους κρίνεσθαι· ἀθεραπεύτους δὲ καὶ ἀπροσπατεύτους ἐκκεῖσθαι τοῖς διαρπάζουσι καὶ καταδουλουμένοις· εἶτα τίθησι τιμωρίαν, ἣν ἀεὶ δεδοικότες ἦσαν μεθ' ὑπερβολῆς· αὕτη γὰρ ἅπασαν αὐτῶν τὴν ἀναστροπὴν τῆς πολιτείας ἐδήλου· ἐπήγαγε γὰρ· ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος.

Hactenus vaticana edidimus Severi in Lucam graeca fragmenta. Ceteroqui plurima fuerant Severi scripta, quae orthodoxi Graeci ob monophysitae hominis odium repudiaverunt (confer Iustinian. novell. XLII. 1.); ideoque pleraque omnia in originali certe sermone desiderantur. Ea tamen Syri certatim et Arabes, monophysiticae sectae adseclae, in suas linguas olim converterunt; ideoque in orientalibus utriusque sermonis codicibus vaticanis multa supersunt, quae apud Graecos frustra quaeras Quin adeo ex codicibus syriacis vatt. 141. et 142. cognoscimus, Iacobum nominatim edessenum itemque Paulum Callinici episcopum Severi homilias in syriacam linguam e graeca transtulisse. Quamquam vero ipsa continua opera graece desunt, permulta tamen fragmenta, in catenis praesertim, conservata sunt.

ΩΡΙΓΕΝΟΥΣ

ΕΙΣ ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ.

IV. 40. Cod. p. 81. b. Περὶ δυσμὰς δὲ τούτους προσῆγον, ἢ τοι μεθ' ἡμέραν· αἰσχυνόμενοι, ἢ τοὺς φαρισαίους φοβούμενοι, ἢ καὶ περὶ ἕτερα ἀσχολούμενοι· ἢ τάχα νομίζοντες, μὴ ἐξεῖναι θεραπεύειν ἐν σαββάτῳ· ἐπεσεμήνατο γὰρ ὁ εὐαγγελιστὴς ὅτι ἦν διδάσκων αὐτοὺς ἐν σαββάτῳ· διὰ τοῦτο περὶ δύσιν ἡλίου τοὺς κακῶς ἔχοντας προσέφερον οἱ προσήκοντες, ὁ δὲ αὐτοὺς ἐθεράπευσεν.

V. 1. p. 82. a. Ὁ δὲ εἱστήκει παρὰ τὴν λίμνην Γεννησαρὲτ· ἢ καὶ κατὰ Ματθαῖον καὶ Μάρκον, περιεπάτει παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας· καὶ δόξαιεν μὲν ἐναντία λέγειν οἱ εὐαγγελισταὶ, πλὴν ὁ ἐπιχειρῶν ἀπὸ τῆς γραφῆς, τοιαῦτα δύναται εἰς τὸν τόπον τοῦτον λέγειν· εἰ τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσε θαλάσσας ἐν τῇ ἀρχῇ τῆς κοσμοποιΐας ὁ θεὸς, συστήματα δὲ τῶν ὑδάτων εἰσὶ καὶ οἱ ποταμοὶ, κατὰ τοῦτο τὸ σημαινόμενον καὶ οὗτοι εἰσὶ θάλασσαι· ὥσπερ καὶ ἡ γλυκυτάτη καὶ ποτιμωτάτη Γεννησαρὲτ λίμνη, ἡ νῦν καλουμένη τιβεριὰς θάλασσα ἐν τοῖς εὐαγγελίοις μάλιστα· ἐπεὶ καὶ αὐτὴ σύστημα ἐστιν ὑ-

(1) Plura deinceps ex Origenis scriptis daturus, nunc scholiorum eius in Lucam gustum brevem exhibeo.

δάτων· ἔστι δὲ ἡ Γεννησαρὲτ, χώρα τῆς μερίδος τοῦ χαναναίου, ἐν ᾗ ἐποιχόμενος τὰ πρὸς θάλασσαν ὁ κύριος, εὗρε τοὺς περὶ Πέτρον καὶ Ἰωάννην, καὶ ἐπανεκαλέσατο αὐτοὺς μετὰ τὴν ἄγραν τῶν ἰχθύων, ὄντας τὸ πρότερον Ἰωάννου τοῦ βαπτιστοῦ μαθητάς.

Τὸ δὲ τὸ στόμα κεκαλύφθαι, δηλοῖ ὅτι χρὴ ἑαυτὸν καταδικάζειν τῇ σιωπῇ· μέχρις ἂν ὑποστρέψας καθαρίσῃ ἑαυτὸν· οὐκ ἄκαιρον δὲ χρήσασθαι τῷ ῥητῷ πρὸς τοὺς ἐνόχους ἁμαρτίαις, καὶ περὶ τῶν θείων διδάσκειν προειρημένους. v. 14. p. 86. a.

Δένδρον ἀγαθὸν, τὸ πνεῦμα τὸ ἅγιον· δένδρον πονηρὸν, ὁ διάβολος καὶ οἱ τούτου ὑπηρέται· ὁ ἔχων τὸ πνεῦμα τὸ ἅγιον, τοὺς τούτου καρποὺς ἐπιδείκνυται, οὓς ἀπαριθμεῖται ὁ ἀποστόλος· ὁ δὲ δύναμιν ἀντικειμένην ἔχων, τῆς ἀτιμίας τὰ πάθη, ἀκάνθας καὶ τριβόλους καρποφορεῖ. VI. 43. p. 111. b.

Ἡ μὲν οὖν τελειοτέρα ψυχὴ, καλῶς λατρεύσασα τῷ λόγῳ τοῦ θεοῦ, παῤῥησίαν ἔχει ἐπ' αὐτὴν ἐλθεῖν τὴν κεφαλήν· κεφαλὴ δὲ Χριστοῦ, ὁ θεὸς· ὥστε καταχέαι μύρον αὐτῆς, καὶ εὐωδίαν τῇ δόξῃ τοῦ θεοῦ περιποιῆσαι· δοξάζεται γὰρ ὁ θεὸς διὰ τῆς εὐωδίας τοῦ βίου τῶν δικαίων· ἡ δὲ ἀτελεστέρα γυνὴ καὶ ψυχὴ, περὶ τοὺς πόδας καὶ τὰ ταπεινότερα στρέφεται, ἧς ἐγγὺς ἐσμὲν ἡμεῖς· οὐδὲ γὰρ μετενοήσαμεν ἀπὸ VII. 44. p. 121. a.

τῶν ἁμαρτημάτων ἡμῶν· ποῦ ἡμῶν τὰ δάκρυα; ποῦ ὁ κλαυθμὸς; ἵνα κἂν παρὰ τοὺς πόδας Ἰησοῦ ἐλθεῖν δυνηθῶμεν· ἐπ' αὐτὸν γὰρ οὔπω δυνάμεθα φθάσαι τὴν κεφαλήν· ἀγαπητὸν δὲ μετὰ τὰ ἁμαρτήματα, φέρειν μετανοίας εὐωδίαν· ἵνα τίς δυνηθῇ ἡ δευτέρα εἶναι, ἢ τοὺς πόδας ἀλείφουσα, ἀλλὰ μὴ τὴν κεφαλήν, τουτέστιν ἡ μὴ ἁπτομένη τῶν τελεωτέρων καὶ ὑψηλοτέρων, ἀλλὰ τῶν ἄκρων καὶ τελευταίων.

VIII. 45. p. 130. b. Καὶ οἱ μὲν μαθηταὶ αὐτοῦ ἥψαντο καὶ ἐψηλάφησαν αὐτὸν· ἡ δὲ αἱμόῤῥους, οὐκ αὐτοῦ, οὐ γὰρ ἐτόλμα, ἀλλὰ τοῦ κρασπέδου δι' εὐλάβειαν.

v. 48. Μάστιξ γὰρ ἦν ἡ αἱμόῤῥοια· οὕτως ἐρεῖς καὶ τὰ ἄλλα πάθη τὰ σωματικὰ, μάστιγας εἶναι Θεοῦ, διὰ τῶν τοιούτων τοὺς ἀξίους τῆς ἑαυτοῦ παιδείας μαστίζοντος· μαστιγοῖ δὲ πᾶσαν υἱὸν ὃν παραδέχεται· διὸ ἔλεγε τῷ παραλυτικῷ, καὶ αὐτὸν μάστιγος ἀπολύσας, ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρον τί σοι γένηται· καὶ ταῦθα δὲ ἣν ἐκ τῆς ἐπαφῆς ἔλαβεν ἡ γυνὴ θεραπείαν, ταύτην δὲ διὰ τοῦ λόγου ἐβεβαίωσεν ὁ σωτὴρ· εἰπὼν, πορεύου εἰς εἰρήνην· καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγος· καὶ ὑγίανε πρῶτον τῇ πίστει τὴν ψυχὴν, εἶτα δὴ καὶ τὸ σῶμα.

IX. 12. p. 135. a. Κατὰ δὲ ἀναγωγὴν, ἐπιχέας ἐπὶ τὸν ἔξω

ὄχλον τὸ φῶς τῆς ἐπισκοπῆς αὐτοῦ, εἶδεν αὐτὸν· καὶ ἰδὼν τοῦ ἐλεεῖσθαι ἀξίους, διὰ τὸ ἐν τοιοῖσδέ τισιν εἶναι, πέπονθεν ὁ ἀπαθὴς ἐπ' αὐτοῖς· τί δὲ πέπονθεν, ἢ ἐσπλαγχνίσθη; καὶ οὐκ ἔστη ἡ χρηστότης αὐτοῦ ἐν τῷ ἐσπλαγχνίσθαι, ἀλλὰ γὰρ, ἵν' οὕτω εἴπω, κινηθεὶς καθ' αὐτὴν, ἐθεράπευσε τοὺς ἀῤῥώστους αὐτῶν, ἔχοντας ποικίλα καὶ παντοδαπὰ ἀπὸ τῆς κακίας ἀῤῥωστήματα, τοὺς φιλαργύρους, τοὺς φιλοδόξους, τοὺς φιλόπαιδας, καὶ εἴ τις ἐστὶν φιλόγυνος· οὐ πᾶν δὲ ἁμάρτημα νομιστέον εἶναι ἀῤῥωστίαν, ἀλλ' ὅ που ἐναπέσκηψεν ὅλῃ τῇ ψυχῇ· οὕτω γάρ ἐστιν ἰδεῖν τοὺς μὲν φιλαργύρους, ὅλους τεταμένους ἐπὶ τὸ ἀργύριον, καὶ τὴν τούτου φρουρὰν καὶ συναγωγήν· τοὺς δὲ φιλοδόξους, ἐπὶ τὸ δοξάριον· κεχήνασι γὰρ ἐπὶ τὸν ἀπὸ τῶν πολλῶν καὶ χυδαιοτέρων ἔπαινον· καὶ τὸ ἀνάλογον ἐπὶ τῶν λοιπῶν· περὶ δὲ τῆς διαφορᾶς τούτων, ἄξιον ἀπὸ τῆς γραφῆς παραμαθήσασθαι· φησὶ δὴ ὁ ἀπόστολος κορινθίοις, ποικίλα ἔχουσι ἁμαρτήματα, γράφων· πολλοὶ ἐν ὑμῖν ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί· ἄκουε γὰρ ἐν τούτοις τοῦ καὶ συνδέσμου συμπλέκοντος, καὶ συμπεπλεγμένον ποιοῦντος ἐκ διαφόρων ἁμαρτημάτων· καθὸ οἱ μὲν εἰσὶν ἀσθενεῖς· ἕτεροι δὲ ἄῤῥωστοι πλέον ἢ ἀσθενεῖς· καὶ ἄλλοι παρ' ἀμφοτέρους, οἱ κοιμώμενοι· οἱ μὲν γὰρ ὀλισθηρῶς

διὰ τὴν τῆς ψυχῆς ἀδυναμίαν, πρὸς τὸ ὁτιῳοτοῦν ἁμαρτάνειν ἔχοντες, κἂν μὴ ὅλοι ὦσιν εἴδους τινὸς ἁμαρτίας ὡς οἱ ἄῤῥωστοι, ἀσθενεῖς εἰσι μόνον· οἱ δὲ ὅλῃ ψυχῇ, ἀντὶ τοῦ θεὸν ἀγαπᾶν, ἀγαπῶντες ἀργύρια, ἢ δοξάρια, ἢ γύναια, οὗτοι πλέον ἀσθενείας πεπόνθασι, καὶ εἰσὶν ἄῤῥωστοι· κοιμῶντες δὲ οἱ δέον προσέχειν καὶ ἐγρηγορέναι τῇ ψυχῇ, τοῦτο μὲν οὐ ποιοῦντες, ἀπὸ δὲ πολλῆς ἀπροσεξίας νυστάζοντες τὴν προαίρεσιν, καὶ ὑπνώττοντες τοῖς λογισμοῖς, οἵ τινες ἐνυπνιαζόμενοι, σάρκα μιαίνουσι· οὗτοι δὲ διὰ τὸ κοιμᾶν ἐν κεναῖς εἰσὶ φαντασίαις, καὶ παραβαλλομέναις ἐνυπνίοις, ταῖς περὶ τῶν πραγμάτων· τὰ μὲν ὕπαρ καὶ ἀληθῆ, οὐκ ἀποδεχόμενοι· ὑπὸ δὲ τῶν ἐν ταῖς κεναῖς φαντασίαις, ἀπαγώμενοι· περὶ ὧν καὶ ἐν τῷ Ἡσαΐᾳ λέγεται τὸ, ὃν τρόπον ἐνυπνιάζεται ὁ διψῶν, ὡς ὁ πίνων, καὶ ἐξαναστὰς ἔτι διψᾷ, ἡ δὲ ψυχὴ αὐτοῦ κενὸν ἤλπισεν, οὕτως ἔσται ὁ πλοῦτος πάντων τῶν ἐθνῶν, ὅσοι ἐπεστράτευσαν ἐπὶ Ἱερουσαλὴμ· μετὰ ταῦτα τήρησον, ὅτι μέλλων τοὺς τῆς εὐλογίας ἄρτους διδόναι τοῖς μαθηταῖς, ἵνα παραθῶσι τοῖς ὄχλοις, ἐθεράπευσε τοὺς ἀῤῥώστους· ἵνα ὑγιάναντες, τῶν τῆς εὐλογίας μεταλάβωσιν ἄρτων· οὐ γὰρ δύνανται οἱ ἔτι ἄῤῥωστοι χωρῆσαι τοὺς τῆς Ἰησοῦ εὐλογίας ἄρτους· ἀλλὰ κἄν τις ὡς ἔτυχε τοῦ ἄρτου κυρίου καὶ τοῦ ῳοτη-

ρίου μεταλαμβάνῃ, ἀσθενὴς ἢ ἄῤῥωστος γίνηται, ἢ καὶ ἐκ τοῦ ἵν' οὕτως εἴπω καροῦσθαι, ὑπὸ τῆς τοῦ ἄρτου δυνάμεως, κοιμώμενος· ὀψίας δὲ γενομένης, τουτέστιν ἐπὶ συντελείᾳ τοῦ αἰῶνος, καθ' ὃν ἐστιν εὐκαίρως εἰπεῖν τὸ ἐσχάτη ὥρα ἐστὶν, ἐν τῇ Ἰωάννου ἐπιστολῇ κείμενον, ὁρῶντας τὴν τοῦ θείου νόμου καὶ λόγου ἐρημίαν ἐν τοῖς πολλοῖς, καὶ μηδέπω νοοῦντες ὃ ἔμελλε ποιεῖν ὁ λόγος, φασὶν αὐτῷ τὸ ἡ ὥρα ἤδη παρῆλθεν· οἱονεὶ παρελήλυθε τὸ εὔκαιρον νόμου καὶ προφητῶν· τάχα δὲ τοῦτο ἔλεγον, καὶ διὰ τὸ τὸν Ἰωάννην ἀποκεκεφαλίσθαι, καὶ τὸν νόμον καὶ τοὺς προφήτας, οἳ ἦσαν μέχρι Ἰωάννου, πεπαῦσθαι· παρῆλθεν οὖν φησιν ἡ ὥρα, καὶ οὐ πάρεστι τροφὴ· τῷ τὸν καιρὸν αὐτῆς μηκέτι ἐνεστηκέναι, ἵνα οἱ ἐν τῇ ἐρήμῳ ἀκολουθήσαντές σοι, νόμῳ καὶ προφήταις δουλεύσωσι· καὶ ἔτι φασὶν, ἀπόλυσον τοὺς ὄχλους, ἵνα ἕκαστος κατὰ δύναμιν ὠνήσηται ἑαυτῷ, εἰ μὴ δύναται ἀπὸ τῶν πόλεων, ἀλλὰ ἀπὸ τῶν κωμῶν καὶ ἀτιμοτέρων χωρίων, βρώματα· καὶ ταῦτα μὲν ἐκεῖνοι ἔφασκον, ἀποτινώσκοντες τοῖς ὄχλοις εὑρεθήσεσθαι, μετὰ τὸ καταλελύσθαι τὸ γράμμα τοῦ νόμου, καὶ πεπαῦσθαι προφητείας, παραδόξους καὶ καινὰς τροφὰς· ὁ δὲ Ἰησοῦς, ὑμεῖς μέν φησιν ὑπολαμβάνετε, ὅτι ἐὰν ἀπέλθωσιν ἀπ' ἐμοῦ ὁ πολὺς ὄχλος, χρῄζοντες τροφῶν, εὑρή-

σουσι ταύτας ἐν κώμαις μᾶλλον, ἢ παρ' ἐμοί· ἐγὼ δὲ ὑμῖν ἀποφαίνομαι, ὅτι οὗ μὲν ὑπολαμβάνετε χρῄζειν αὐτοὺς, οὐ χρῄζουσι οὐδὲ χρείαν ἔχουσι τοῦ ἀπελθεῖν· οὗ δὲ νομίζετε αὐτοὺς μὴ ἔχειν χρείαν, τοὐτέστιν ἐμοῦ, ὡς μὴ δυναμένου αὐτοὺς τρέφειν, τούτου παρὰ τὴν ὑμετέραν προσδοκίαν ἔχουσι χρείαν· ἐπεὶ οὖν παιδεύσας ὑμᾶς, ἱκανοὺς πεποίηκα πρὸς τὸ διδόναι τοῖς δεομένοις λογικὴν τροφὴν, ὑμεῖς αὐτοῖς δότε φαγεῖν· ἔχετε γὰρ δύναμιν, ἀπ' ἐμοῦ λαβόντες, τοῦ δοῦναι τοῖς ὄχλοις φαγεῖν· ἤ τινι εἰ ἦτε ἐπιστήσαντες, κατενοήσατε ἂν ὅτι πολλῷ πλεῖον ἐγὼ δύναμαι αὐτοὺς θρέψαι· καὶ οὐκ εἰρήκειτε ἄν, ἀπόλυσον τοὺς ὄχλους· οἱ δὲ μαθηταὶ μὴ ἀρνούμενοι μὲν τὸ δύνασθαι διδόναι ἄρτους, πολλῷ δὲ ὀλιγωτέρους αὐτοὺς νομίζοντες εἶναι, καὶ οὐχ' ἱκανοὺς τρέφειν τοὺς ἀκολουθήσαντας τῷ Ἰησοῦ, οὐδὲ θεωροῦντες ὅτι ἕκαστον ἄρτον λόγον * ὁ Ἰησοῦς λαβὼν, εἰς ὅσον βούλεται ἐκτείνει, ποιῶν αὐτὸν διαρκῆ πᾶσιν, ὅσους ἐὰν θρέψαι θέλῃ, φασὶν· οὐκ ἔχομεν εἰ μὴ πέντε ἄρτους, καὶ δύο ἰχθύας· πέντε μὲν ἴσως αἰνισσόμενοι ἄρτους, εἶναι τοὺς αἰσθητοὺς τῶν γραφῶν λόγους, καὶ διὰ τοῦτο ἰσαρίθμους ταῖς πέντε αἰσθήσεσι· δύο δὲ ἰχθύας, ἤ τοι τὸν προφορικὸν καὶ τὸν ἐνδιάθετον λόγον· ὡς περὶ ὄψον τυγχάνοντας τῶν ἐν ταῖς γραφαῖς αἰσθη-

* ita cod.

τῶς κειμένων, ἢ τάχα καὶ τὸν φθάσαντα εἰς αὐτοὺς περὶ πατρὸς καὶ υἱοῦ λόγον· ὅσον μὲν οὖν οἱ ἄρτοι οὐκ ἐφέροντο ὑπὸ τῶν μαθητῶν, οὐκ ηὔξανον, οὐδὲ ἐδύναντο τρέφειν πλείονας· ὅτε δὲ λαβὼν αὐτοὺς ὁ Χριστὸς εὐλόγησε· τῷ λόγῳ καὶ τῇ εὐλογίᾳ πληθύνων αὐτοὺς, εἶτα μερίζων καὶ κλῶν, ἔδωκε τοῖς μαθηταῖς, τότε διήρκεσαν ὡς φαγεῖν πάντας καὶ χορεσθῆναι· καί τινας μὴ χωρῆσαι φαγεῖν, ἐπερίσσευσε γὰρ τοῖς ὄχλοις τοσαῦτα, ἃ κατὰ μὲν τοὺς ὄχλους οὐκ ἦν· κατὰ δὲ τοὺς δυναμένους μαθητὰς ἆραι τὸ περισσεῦον τῶν κλασμάτων, καὶ ἀποθέσθαι εἰς κοφίνους ἰσαρίθμους ταῖς φυλαῖς τοῦ Ἰσραὴλ, οὐχ ἡμιτελεῖς ἀλλὰ πλήρεις τῶν κλασμάτων τοῦ ζῶντος ἄρτου· ἦσαν δὲ οἱ ἐσθίοντες, συγγενεῖς τῷ πέντε ἀριθμῷ, μέχρι τῶν αἰσθήσεων φθάσαντες, καὶ διὰ τοῦτο πενταχισχίλιοι· καὶ οὐ παῖδες, οὐδὲ γυναῖκες, ἀλλ' ἄνδρες· εἰσὶ γὰρ καὶ ἐν αἰσθηταῖς οἶμαι τροφαῖς διαφοραὶ, ὡς τινὰς μὲν αὐτῶν εἶναι τῶν καταφαγησάντων τὰ τοῦ νηπίου· τινὰς δὲ τῶν νηπίων ἔτι καὶ σαρκίνων ἐν Χριστῷ· εἰ δὲ πάντας ἐκ τῶν ἄρτων ἔφαγον, εἴποις ἂν ὅτι πολλῶν φαγόντων, ἢ τοι κατ' ἀξίαν καὶ δύναμιν μετειληφότων, οἱ μὲν ἀριθμῶν ἄξιοι, ἀνάλογον τοῖς ἐν τῇ βίβλῳ τῶν ἀριθμῶν ἀριθμηθεῖσιν εἶναι εἰκοσαέτεσιν ἰσραηλίταις, ἄνδρες ἦσαν· οἱ δὲ μὴ ἄξιοι τηλικούτου

λόγου καὶ ἀριθμοῦ, πεντάδες ἦσαν καὶ γυναῖκες· ἐπεὶ δὲ κατὰ τὸν Ἡσαΐαν πᾶσα σὰρξ, χόρτος· εἰ μή τις ὑποκάτω ποιήσει τὴν σάρκα, καὶ ὑποτάξει τὸ φρόνημα αὐτῆς τῷ πνεύματι· ὅπερ ἐστὶν ἡ ἐπὶ χόρτου ἀνάκλισις, οὐκ ἂν δύναιτο ὧν εὐλογεῖ ὁ Ἰησοῦς ἄρτων μεταλαβεῖν· ἐπεὶ δὲ ὁ μὲν Μάρκος συμπόσια τούτους ἀνακλιθῆναι λέγει, καὶ πρασιὰς ἀνὰ ἑκατὸν καὶ πεντήκοντα, ὁ δὲ Λουκᾶς κλίσιας ὡσεὶ ἐπὶ πεντήκοντα, οἶμαι δηλοῦσθαι ταῖς μὲν κλισίαις καὶ ταῖς πρασιαῖς, τάγματα διάφορα καὶ τροφὰς ὁμοίως τῶν δεομένων τῆς ἀπὸ Ἰησοῦ τροφῆς· τοῖς ἀριθμοῖς δὲ ἤτοι ἐν τάγματι εἶναι τῶν ἑκατὸν, τοὺς ἀναπαυσομένους, ἐν ταῖς ἀπὸ Ἰησοῦ τροφαῖς, ἱεροῦ ἀριθμοῦ καὶ τῷ θεῷ διὰ τὴν μονάδα ἀνακειμένου· ἢ ἐν τάγματι τῶν πεντήκοντα, ἀριθμῷ περιέχοντι τὴν ἄφεσιν, κατὰ τὸ μυστήριον τοῦ ἰωβηλαίου, γινομένου διὰ πεντηκονταετίας, καὶ τὴν κατὰ τὴν πεντηκοστὴν ἑορτήν· ὥσπερ δὲ θρόνοι δώδεκα κρίνοντες τὰς ιβ' φυλὰς τοῦ Ἰσραὴλ, οὕτω καὶ κόφινοι δώδεκα, τρέφοντες ἑκάστην φυλήν.

ΕΥΛΟΓΙΟΥ ΠΑΠΑ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟ ΣΙΜΩΝ ΙΩΝΑ ΑΓΑΠΑΣ ΜΕ.

Ὅτι ἐρωτῶν ὁ κύριος τῷ Πέτρῳ· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλέον τούτων; οὐκ αὐτὸς ὁ πάντα εἰδὼς, θέλων μαθεῖν ἐπηρώτα, ἀλλ' ἐπεὶ ἔμελλεν αὐτῷ τὸ ποίμνιον καταπιστεύειν, ἵνα δείξῃ ὅσην ἔχει πρόνοιαν τοῦ ποιμνίου, τοῦτο ποιεῖ· ὁ γὰρ τὸν φίλτρῳ πολλῷ πρὸς τὸν δεσπότην ἀναπτόμενον ἐφιστῶν τῷ ποιμνίῳ, τὴν ὅσην περὶ τὰ πρόβατα διάθεσιν παρίστησιν ἀναμφιβόλως· διὰ τὴν αὐτὴν αἰτίαν καὶ τρίτον ἐρωτᾷ, τὴν πολλὴν περὶ τὰ λογικὰ πρόβατα ἐπιμέλειαν ἐνδεικνύμενος· ἅμα δὲ βαθμόν τινα τῶν ποιμενομένων διέξεισιν· ἀρνία πρότερον βόσκειν ἐγκελεύομενος· εἶτα προβάτια, ἃ πρόβατα ὄντα, διά τινα παίσματα κατασμικρυνθέντα τῆς ἀρετῆς καὶ τῆς τελειότητος, εἰς προβάτια ἀνθυπέστρεψεν· καὶ λοιπὸν τὸ τρίτον τὰ τέλεια ἐπιφέρει πρόβατα· ἀρνίοις γοῦν εἰκάζονται οἱ ἔτι γάλακτος καὶ στοιχειώδους διδασκαλίας δεόμενοι· προβατίοις δὲ οἱ διά τινα παραπτώματα κατασμικρυνθέντες τῆς τελειότητος· προβάτοις δὲ οἱ εἰς τὸ τέλειον ἀναβεβηκότες καὶ τῆς πίστεως καὶ τῶν πράξεων· καὶ σκόπει ὅπως προτάττει τὰ ἀτελῆ τῶν τελείων· προηγούμενος γὰρ τῷ δεσπότῃ σκοπὸς ἡ τῶν ἁμαρτωλῶν σωτηρία, οὐ γὰρ ἦλθον, φησὶ, καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

ΔΙΟΝΥΣΙΟΥ (*)

Cod. p. 206. b. Νῦν δὲ τοὐναντίον ποιοῦμεν ἡμεῖς· ὃν γὰρ ὁ Χριστὸς ἀγαθὸς ὢν ἐπὶ τὰ ὄρη πλανώμενον ἐπιζητεῖ, καὶ ἀποφεύγοντα προσκαλεῖται, καὶ εὑρεθέντα μόλις ἐπὶ τῶν ὤμων αἴρει, τοῦτον προσιόντα, θρασέως ἀπολακτίζομεν· ἀλλὰ μὴ οὕτω κακῶς περὶ ἑαυτῶν βουλευώμεθα, μὴ δὲ εἰς αὐτοὺς ὠθῶμεν τὸ ξίφος· οἱ μὲν γὰρ ἀδικεῖν τινὰς ἢ τοὐναντίον εὐεργετεῖν ἐπιχειροῦντες, ἐκείνους μὲν οὐ πάντως ἔδρασαν ὅπερ ἠθέλησαν, ἑαυτοῖς δὲ κακίαν ἢ ἀγαθότητα συνοικίσαντες, ἢ θείων ἀρετῶν, ἢ ἀτιθάσσων παθῶν ἔκτοποι ἔσονται· καὶ οὗτοι μὲν ἀγγέλων ἀγαθῶν ὀπαδοὶ καὶ ξυνοδοιπόροι, καὶ ἐνθάδε καὶ ἐκεῖ, ξὺν πάσῃ εἰρήνῃ καὶ ἐλευθερίᾳ πάντων κακῶν, εἰς τὸν ἀεὶ ὄντα αἰῶνα τὰς μακαριωτάτας ἀποκληρώσονται λήξεις, καὶ μετὰ θεοῦ ἀεὶ ἔσονται τὸ πάντων ἀγαθὸν μέγιστον· οὗτοι δὲ ἀποστεροῦνται τῆς θείας ἅμα καὶ τῆς ἑαυτῶν εἰρήνης, καὶ ἐνθάδε καὶ μετὰ θάνατον ἅμα τοῖς παλαμναίοις ἔσονται δαίμοσι· μὴ οὖν ἀποπεμπώμεθα τοὺς ἐπιστρέφοντας, ἀλλ' ἀσμένως δεχώμεθα, καὶ τοῖς ἀπλανέσιν ἐναριθμῶμεν, καὶ τὸ ἐλλεῖπον ἀναπληρῶμεν.

(*) Ex eodem vat. codice sumimus hoc Dionysii (alexandrini ut opinamur) fragmentum, quod detractum videtur ex eius operibus de paenitentia, quorum tria commemorat Hieronymus de script. eccl. cap. LXIX.

ΚΥΠΡΙΑΝΟΥ

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ. (*)

Luc. XXIII. 40.

Μηδεὶς δὲ οἰέσθω, ὅτι ἐὰν ἀσεβὴς πάθῃ ἃ πάσχει ὁ εὐσεβὴς, ὅμοιος γίνεται τῷ εὐσεβεῖ· τί γὰρ ἂν ἔχει λέγειν ὁ τοιοῦτος, εἰ θεάσοιτό ποτε κατὰ ταυτὸν ἔν τινι τῶν κοσμικῶν τούτων δικαστηρίων μάρτυρά τε καὶ λωποδύτην, ἢ τινὰ τῶν ληστρικὸν βίον ἐπανηρημένων, βασανιζόμενον, καὶ ταῖς αὐταῖς ἀμφοτέρους κολάσεσιν ὑποβεβλημένους, ἆρα διὰ τὴν ὁμοιότητα τῶν αἰκιῶν, ὁμοιότητά τινα συνυπάρχειν ἑκατέρῳ καὶ τῶν πολιτειῶν εἴποι; ἢ τοῦ ἤθους ἀμφοῖν διαφορὰν, δι' αὐτῆς τῆς κατὰ τὴν ἐξέτασιν ἐπιδείκνυσθαι διαφορᾶς; ὁ μὲν γὰρ ἵνα εἴπῃ τὸ ἀληθὲς, ὅπερ κρύπτει παρ' ἑαυτῷ, βασανίζεται· ὁ δὲ μάρτυς, ἵνα ταύτην ἀρνήσηται τὴν ἀλήθειαν· καὶ ὁ μὲν ἵνα ὅπερ ἐστὶν ὁμολογήσῃ, ἀναγκάζεται· ὁ δὲ ἵνα ὅπερ οὐκ ἔστιν, ἀναφθέγξασθαι μόνον ἐκβιασθῇ· ἐπεὶ, κατά γε τὸν οὕτως ἀγνώμονα καὶ εὐεξαπάτητον δικαστὴν, τῆς παραπλησίας εἶναι κριθήσονται πολιτείας Ἰώβ τε καὶ Σεδεκίας, ὡς οὐ πάνυ παρηλλαγ- Cod. p. 305. b.

(*) Videtur hic Cyprianus antiochenus, de quo Cavaeus scribit simul cum illo πάνυ carthaginiensi.

μένοις πάθεσιν ὑποβεβλημένοι, πῆ μὲν ἐν κτημάτων τὲ καὶ χρημάτων καὶ αὐτῆς βασιλείας ἀφαιρέσει, πῆ δὲ ἐν παίδων τοσούτων ἀποβολαῖς· τὸ μὲν, διὰ τῆς τῶν δωματίων κατασκαφῆς· τὸ δὲ, διὰ τῆς τῶν ὑπὸ τῶν πολεμίων ἀπαγωγῆς· καὶ ὁ μὲν κοπρίας καλινδούμενος, ὁ δὲ ἐν μύλωνι βιοτεύειν ἀναγκαζόμενος· ἀλλὰ ἀκουέτω τῆς ἑκατέρου μαρτυρίας· τῷ μὲν γὰρ Ἰὼβ λέγεται· οἶει δέ με ἄλλως σοι κεχρηματικέναι ἢ ἵνα ἀναφανῇς δίκαιος, περὶ δὲ τούτου καὶ οὐκ ἤκουσε Σεδεκίας καὶ οἱ παῖδες αὐτοῦ, τοὺς λόγους τοῦ κυρίου; ἔσονται δὲ παραπλήσιοι κατὰ τὴν τοῦ τοιούτου κρίσιν ἐν θεοσεβείᾳ, Φαραὼ τε κατὰ τὴν ἐρυθρὰν θάλασσαν καταποντιζόμενος, καὶ Παῦλος πρὸς τῷ ναυαγῆσαι τρίτον, ἔτι καὶ ἐν τῷ βυθῷ νυχθήμερον διανηχόμενος; ἔχων ἅμα καὶ ταῖς ἐκείναις δεκαπλήσιοις μάστιξιν ἀντιπαραβαλεῖν καὶ τοὺς κατὰ θεὸν κινδύνους, εἴτε ἐκ γένους, εἴτε ἐκ λῃστῶν, εἴτε ἐξ ἐθνῶν, καὶ ὅσα τούτοις προσκατηρίθμηται· ἀλλὰ τοῦ μὲν Φαραὼ εἰς ἄκρον ἐσκληρύνετο πρὸς θεὸν ἡ καρδία, καὶ πρὸς τὰς οὐρανόθεν ἀπαυθιζομένου μάσλιδας· τοῦ δὲ Παύλου, ἀχώριστος ἡ καρδία τῆς ἀγάπης τοῦ Χριστοῦ, κἂν θλίψεις, ἢ στενοχωρίαι, ἢ γυμνότητες καὶ κίνδυνοι, ἢ λιμοὶ καὶ μάχαιραι συνεχεῖς ὦσιν ἐπικείμεναι· ἔσονται ὅμοιοι κατά γε τοῦτον ἐν

πολίτεία, Ναβουθαὶ ὁ ἰσραηλίτης ὑπὸ τῆς καθηραμένης Ἰεζάβελ συκοφαντούμενος, καὶ ὑπὸ τῶν ψευδομαρτύρων καταμαρτυρόμενος, ἔπειτα οὕτως καταλευόμενος, καὶ Ἀνανίας ἅμα Σαφείρῃ διὰ τοῦ πρωτίστου τῶν ἀποστόλων ἐπὶ τῷ νοσφισμῷ τῶν χρημάτων ἐλεγχόμενος, καὶ διὰ τῆς ἐπιτιμήσεως τῆς παρ' αὐτοῦ, τὸ πνεῦμα παραδιδοὺς· ἴσοι δ' ἂν νομισθεῖεν τῷ τοιούτῳ, Ναβουχοδονόσορ τε καὶ Δανιὴλ· ὁ μὲν σὺν θηρίοις διαιτώμενος, ὁ δὲ θηρίοις εἰς δίαιταν παραδιδόμενος· ἐπὶ πᾶσι τούτοις, ἀκόλουθον ἂν εἴη τῷ τὰ τοιαῦτα φανταζομένῳ, τάχά που καὶ Χριστῷ παραβαλεῖν εἰς ὁμοιότητα τὸν λῃστὴν τὸν συνεσταυρωμένον· ὁμοία γὰρ ἀμφοτέρων ἡ καταδίκη, σώματος ἀνασκολοπισμὸς ἐν τῷ ξύλῳ· ἀλλὰ ἀκούσῃ θατέρου τοῦ συνεσταυρωμένου λέγοντος, καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν, ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε· πῶς γάρ; ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· καὶ τίς ὁμοιότης τῷ λῃστῇ καὶ τῷ θριαμβεύοντι τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας; ποῦ δὲ ἀλλήλοις παραπλήσιοι;

ΕΥΤΥΧΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ (*)

Luc. XXII. 14.

Cod. p. 279. b. Τριά γε μὴν δεῖπνα τὸν κύριον, καὶ τὰ τὸν τοῦ πάσχα καιρὸν πεποιηκότα εὑρίσκομεν, τὰ καὶ τοῖς τόποις διάφορα· ἓν μὲν ἐν Γεθσημανῆ, ὃ καὶ τὸν νιπτῆρα περιέχει καὶ τὰ τὴν τοῦ σαββάτου ἡμέραν τῆς κυριακῆς, ἤ τοι τῆς πρώτης ἐναρχομένης ἡμέρας· διὸ καὶ ἡμεῖς τηνικαῦτα ποιῶμεν τὰ προφωτίσματα· ἕτερον δὲ ἐν Βηθανίᾳ, ὅπερ ἔχει τὴν δευτέραν τῆς ἑβδομάδος ἡμέραν ἐναρχομένην, καὶ τὴν πρώτην περαιουμένην· καὶ δῆλον, ὅτι οὐκ ἔστιν αὐτὸ πάσχα· διὸ ἐπάγει Ματθαῖος· τῇ δὲ πρώτῃ τῶν ἀζύμων ἠρώτων οἱ μαθηταί, ποῦ θέλεις ἑτοιμάσομέν σοι τὸ πάσχα; πρώτην τῶν ἀζύμων ἴσως, τὴν κυριακὴν καλῶν· ὡς πρώτην τῆς ἑβδομάδος, ἐν ᾗ τὰ ἄζυμα ἐπετελεῖτο, ἣν Ἰωάννης πάσχα καλεῖ, ἕκτην πρὸ τοῦ πάσχα τιθεὶς· πρὸ ἓξ γάρ φησιν ἡμερῶν τοῦ πάσχα, ἦλθεν Ἰησοῦς εἰς Βηθανίαν· ἕκτη γὰρ πρὸ τῆς τεσσαρεσκαιδεκάτης ἐστὶν ἡ πρώτη· ἧς τὸ δεῖπνον εἶχεν ἐναρχομένην τὴν δευ-

(*) Entychii huius (patriarchae scilicet cpolitani, saeculo sexto clari) alia duo insignia fragmenta edidimus Script. vet. T. IX. p. 623-625, quo loco v. 1. scribendum erat δραγματος pro δράματος.

τέραν, καὶ τὴν ἐκλογὴν τοῦ ἀμνοῦ τοῦ ἀληθινοῦ· τὸ γὰρ ἐλθεῖν αὐτοῦ τὴν ὥραν ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου, τί ἕτερον δηλοῖ, ἢ τὸ ἐκλεγῆναι τὸν κύριον, κατὰ τὸ ἀνθρωπίνον, ὅπερ ἀμνὸς ὀνομάζεται, διὰ τὸ δύνασθαι τὸ πάθος δέξασθαι; καὶ δείκνυσιν ὅτι τὸ ἐκλεγὲν, ἑτέρας γίνεται ζωῆς, καὶ τὸ, ἐγὼ ἐξελεξάμην ὑμᾶς· διὸ οὐκ ἐστὲ ἐκ τοῦ κόσμου· διὸ καὶ ἡ ἡμέρα, ἀφ' ἧς τοῦτο γέγονε, πάσχα καλεῖται καὶ ἐνταφιασμὸς, κατὰ τὴν αὐτοῦ φωνήν· ἵνα οὖν τὸν νόμον πληρώσῃ τὸν λέγοντα, τῇ δεκάτῃ τοῦ μηνὸς τοῦ πρώτου λαμβάνειν τὸ πρόβατον, τηρεῖν δὲ ἕως τῆς τεσσαρεσκαιδεκάτης, ὡς ἱερεὺς καὶ ἱερεῖον ἑαυτὸν ἐκλέγεται, καὶ διετηρήθη εἰς ϖέμϖτην ἡμέραν, εἶτα θύεται μυστικῶς τῆς τεσσαρεσκαιδεκάτης ἐναρχομένης· ἐν τούτῳ τοίνυν τῷ δείπνῳ τῆς πρώτης ἡμέρας τῷ ἐν Βηθανίᾳ, ἡ ἐκλογὴ γέγονε· καὶ ἀπὸ τούτου ἡ διατήρησις· καὶ οἱ μαθηταὶ φασὶ· ϖοῦ θέλεις ἑτοιμάσομεν; καὶ τὸ ψωμίον ἐμβάψας, δίδωσι τῷ ϖροδότῃ, καὶ εἰσῆλθεν ἀϖὸ τότε εἰς αὐτὸν ὁ σατανᾶς ὅϖερ ἐστιν, ἡ ἐϖιθυμία τοῦ παραδοῦναι τὸν κύριον· καὶ ἐξῆλθεν εὐθέως τοῦτο πράξων, καί τοι τοῦ κυρίου προνοητικῶς ἐν τῷ δείπνῳ, τούτῳ εἰπόντος· εἷς ἐξ ὑμῶν παραδώσει με· καὶ ὅτι μετὰ δύο ἡμέρας, τὸ πάσχα γίνεται τὸ μυστικὸν καὶ ἐπιθυμητὸν, οὐ τὸ νο-

μικὸν· τοῦτο γὰρ καὶ αὐτοὶ ᾔδεσαν, καὶ περιττὴ ἡ πρόῤῥησις· μετὰ γὰρ τὴν τρίτην καὶ τὴν τεΤράδα, τὰς μέσας ὑπερβὰς ὁ κύριος, εἶπε· μετὰ δύο ἡμέρας, τοὐτέσΤι τὴν τρίτην καὶ τὴν τετράδα· καὶ ταῦτα μὲν ἐν τῷ ἐν Βηθανίᾳ δείπνῳ, ἐν ᾧ καὶ τὰ τῆς διαθήκης· μεθ' ἣν ὑπερβὰς ὁ Ἰωάννης τὰ τοῦ τρίτου δείπνου τοῦ ἐν Σιὼν τοῦ καὶ μυστικοῦ, ἐπὶ τὸν τόπον τῆς παραδόσεως ἔρχεται· τρίτον δὲ δεῖπνον, τοῦτο τὸ μυσΤικὸν· περὶ οὗ φησὶ παρὰ τῷ Λουκᾷ, ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν, πρὸ τοῦ με παθεῖν· ἄρα οὖν πρὸ τοῦ παθεῖν, πάσχα ἔφαγε, μυσΤικὸν δηλονότι· πάσχα γὰρ ἄνευ πάθους, οὐκ ἂν κληθείη· μυστικῶς οὖν ἑαυτὸν ἔθυσεν, ὅτε ταῖς οἰκείαις χερσὶ μετὰ τὸ δειπνῆσαι λαβὼν τὸν ἄρτον, εὐχαριστήσας, ἀνέδειξε καὶ ἔκλασεν· ἐκμίξας ἑαυτὸν τῷ ἀντιτύπῳ· ὁμοίως καὶ τὸ ποτήριον ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου κεράσας καὶ εὐχαριστήσας, καὶ ἀναδείξας τῷ θεῷ καὶ πατρὶ, εἶπε· λάβετε φάγετε, καὶ λάβετε πίετε· τοῦτο ἐστὶ τὸ σῶμα μου· καὶ τοῦτο ἐσΤὶ τὸ αἷμα μου· ὅλον οὖν ἅπας τὸ ἅγιον σῶμα, καὶ τὸ τίμιον αἷμα τοῦ κυρίου δέχεΤαι, κἂν εἰ μέρος τούτων δέξηται· μερίζεΤαι Γὰρ ἀμερίστως ἐν ἅπασι, διὰ τὴν ἔμμιξιν· καθὼς καὶ σφραΓὶς μία, πάνΤα τὰ ἐκτυπώμαΤα αὐτῆς καὶ μορφώμαΤα τοῖς μεΤαλαμ-

βάνουσι μεταδίδωσι· καὶ μία μένει, καὶ μετὰ τὴν μετάδοσιν οὐκ ἐλαττουμένη, οὐδὲ ἀλλοιουμένη πρὸς τὰ μετέχοντα, κἂν ᾖ τῷ ἀριθμῷ πλείονα, ἢ ὡς καὶ μία φωνὴ ὑπό τινος προαχθεῖσα, καὶ εἰς ἀέρα χεθεῖσα· καὶ ἐν τῷ ταύτην προεμένῳ, πᾶσα μένει· καὶ ἐν τῷ ἀέρι γενομένη, πᾶσα ταῖς ἀκοαῖς πάντων ἐναπετέθη, οὐδενὸς πλέον ἢ ἔλαττον τοῦ ἑτέρου τῶν ἀκουσάντων εἰσδεχομένου, ἀλλὰ ὅλη ἐστὶν ἀδιαίρετος καὶ ὁλόκληρος παρὰ πᾶσι, κἂν μύριοι τὸν ἀριθμὸν ἢ πλείους ὦσιν οἱ ἀκούσαντες· καί τοι σῶμα ὑπάρχουσα, οὐδὲν γὰρ ἕτερόν ἐστι φωνὴ, ἢ πεπληγμένος ἀήρ· μηδεὶς οὖν ἀμφιβολίαν ἐχέτω τὸ ἄφθαρτον μετὰ τὴν μυστικὴν ἱερουργίαν, καὶ τὴν ἁγίαν ἀνάστασιν, καὶ ἀθάνατον, καὶ ἅγιον, καὶ ζωοποιὸν σῶμα καὶ αἷμα τοῦ κυρίου, τοῖς ἀντιτύποις ἐντιθέμενον, διὰ τῶν ἱερουργιῶν, ἔλαττον τῶν προειρημένων παραδειγμάτων τὰς οἰκείας ἐναπομόργνυσθαι δυνάμεις, ἀλλ' ὅλον ἐν ὅλοις εὑρίσκεσθαι· ἐν αὐτῷ γὰρ τῷ κυριακῷ σώματι κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος τοῦ λόγου καὶ θεοῦ σωματικῶς, ὅπερ ἐστιν οὐσιωδῶς· ἡ κλάσις γε μὴν τοῦ ἄρτου τοῦ τιμίου, τὴν σφαγὴν δῆλοῖ· διὸ καὶ πάσχα ἐπιθυμητὸν ἐκλήθη, ὡς σωτηρίας καὶ ἀφθαρσίας καὶ γνώσεως τελείας πρόξενον· καὶ ὥσπερ τότε μετὰ τὸ φαγεῖν ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος

τῶν ἐλαιῶν, οὕτως καὶ ἡμεῖς μετὰ τὸ μεταλαβεῖν τοῦ ἁγίου σώματος καὶ αἵματος, εὐχαριστοῦμεν, καὶ ἔξιμεν ἕκαστος εἰς τὸν ἴδιον οἶκον ἐπανερχόμενοι· οὐκοῦν μετὰ τὴν τῶν ἁγίων μετάληψιν, ἐν τῇ πέμπτῃ τῇ μεγάλῃ μεταλαμβάνειν οἴνου καὶ ἐλαίου τοὺς ἐν ταῖς προτέραις τρισὶν ἡμέραις μὴ μετειληφότας, οὐ καλὸν· διὰ τὸν εἰπόντα, ἀπάρτι οὐ μὴ πίω ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως αὐτὸς πίω μεθ' ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου, τουτέστιν ἐν τῇ ἀναστάσει τῇ ἁγίᾳ· ὅθεν καὶ τοῖς κανόσιν εἴρηται, μὴ λύειν ταύτην, καὶ τὰς προτέρας ἀπολλύειν· τοῦτο οὖν ἐστὶ τὸ τρίτον δεῖπνον, τὸ ἐν τῇ Σιὼν ἐπιτελεσθὲν· ὥστε μετὰ τὸ μυστικὸν πάσχα, τὸ ὑπὸ τοῦ κυρίου γενόμενον ἐν τῇ Σιὼν, ἐναρχομένης τῆς τεσσαρεσκαιδεκάτης, τὸ ὑπὸ τῶν ἰουδαίων ἐπὶ τὴν αὔριον, ἥ τις ἦν παρασκευὴ, περαιουμένης τῆς τεσσαρεσκαιδεκάτης ἐπιτελεσθὲν, οὐκέτι πάσχα· τὰ νομικὰ γὰρ πεπλήρωται, διὸ καὶ κατακρίνονται· ἀλλ' οὔτε ἡ τοῦ δράγματος προσαγωγὴ, ἣν ἐπετέλουν ἐν τῇ ἑξκαιδεκάτῃ, τοῦτο προσφέροντες ὑπὲρ σωτηρίας ὅλου τοῦ ἀνθρωπίνου φυράματος, κατὰ τὴν τοῦ νόμου φωνὴν, ἔτι χώραν ἔχει· ἀφ' ἧς ἑξκαιδεκάτης, καὶ ἡ τῶν ἑβδομάδων ἀπαρίθμησις ἐγίνετο, τὴν πεντηκοστὴν ἐπιφέρουσα· ταύτης γὰρ ἐναρχομένης τῆς ἑξκαιδεκάτης τῆς καὶ

κυριακῆς, ἥ τις καὶ πρώτη τῆς ἐπιούσης ἑβδομάδος ἐδείκνυτο, ὁ κύριος ἡμῶν ἐκ νεκρῶν ἀναστὰς, ἑαυτὸν ἀντὶ τοῦ δράγματος προσήνεγκε τῷ θεῷ καὶ πατρὶ, ὑπὲρ σωτηρίας ὅλου τοῦ ἀνθρωπίνου φυράματος.

Ex alio codice.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ

ΕΥΛΟΓΙΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΙΣ ΤΟ ΖΕΥΓΟΣ ΤΩΝ ΤΡΥΓΟΝΩΝ.

Πολλῶν ὄντων ζώων, ἃ ἐν τῇ τῶν καθαρῶν ἐτάχθη μερίδι, διὰ τί πέντε μόνα ἐθυσιάζοντο τοῖς παλαιοῖς, τράγος, καὶ κριὸς, καὶ βοῦς, τρυγὼν, καὶ περιστερὰ; ἐπειδὴ βούλεται ἡμᾶς ὁ λόγος τὰς αἰσθήσεις ἡμῶν τὸν ἴσον ὑποβαλλομένας ἀριθμὸν καθαρὰς προσάγειν θεῷ. II. 24. cod. p. 58.

Τοῦ αὐτοῦ. Δέχεται καὶ ταῦτα διὰ τῶν πενήτων ὁ θεὸς, ἂν μόνον τοῦ λοιποῦ φυλαξώμεθα μὴ ἁμαρτάνειν· καλὸν γὰρ κἂν διὰ τῶν τῆς πλεονεξίας χρημάτων φίλους κτᾶσθαι τοὺς ἐν τῷ κόσμῳ τούτῳ πενομένους, πλουσίους δὲ κατὰ θεὸν· ἵνα ὅταν ἐκλίπωμεν μηδὲν ἔχοντες ζωτικὸν δικαίωμα, δι' ὧν αὐτοὺς εὖ ἐποίησαμεν, εἰς τὰς ἑαυτῶν ἡμᾶς σκηνὰς οἱ ἠλεημένοι ὑπο- XVI. 9. p. 432.

δέξωνται· εἰ δὲ μηδὲ ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἤ τοι τῆς πλεονεξίας εὖ ποιεῖν θελήσαιμεν, πῶς ἂν πιστευθείημεν, ὅτε εἰ προσῆσαν ἡμῖν ἐξ οἰκείων κόπων χρήματα, τούτοις ἂν τοὺς ἐνδεεῖς ἠλεήσαμεν; εἰ γὰρ ἐκ τῶν ἀλλοτρίων, καὶ ἃ χωρὶς κόπων πλεονεκτικῶς ἐκτησάμεθα οὐ μεταδώκαμεν, ἃ καὶ οἰκεῖα δοκεῖ εἶναι, καὶ πόνων ἰδίων καρπὸς, πῶς ἄν τινι τούτων μεταδοῦναι πιστευοθείημεν;

v. 21. p. 450. Τοῦ αὐτοῦ. Ὅτι καὶ διὰ τῶν κυνῶν τὴν ὑπερβολὴν τῆς τοῦ πλουσίου ἀπανείας ἐλέγχει ἡ παραβολή· οἱ μὲν γὰρ κύνες οἰκτείροντες αὐτοῦ τὴν πολλὴν ταλαιπωρίαν, ὅπερ ἐδύναντο ποιεῖν ἔπραττον περιλείχοντες, καὶ οἷον ἀποσμήχοντες αὐτοῦ τὸ ἕλκος ταῖς γλώσσαις· ὁ δὲ τῶν κυνῶν περὶ τὸν ὁμόφυλον ἀπηνέστερος, καὶ δι' αὐτῶν ἠλέγχετο τῶν κυνῶν· διὰ τοῦτο κἀκεῖνον τὸ πῦρ ἀδυσωπήτως μετέρχεται.

ΑΠΟΛΙΝΑΡΙΟΥ

ΕΙΣ ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ.

Τὸ δὲ ἀποστελῶ εἰπὼν, τὸ θεϊκὸν ἔδειξε· θεοῦ γὰρ τὸ ἀποστέλλειν προφήτας, τοῦ δυναμένου τὸ πνεῦμα διδόναι τῆς προφητείας· ὑμεῖς οὖν φησὶ τοὺς μὲν ἀποκτενεῖτε, τοὺς δὲ διώξετε. XI. 49. p. 164. a.

Τάχα δὲ κατὰ τὴν κοινωνίαν, οὐ κατὰ τὴν κτῆσιν ἐστὶν ἡ τῶν πολυπλασιόνων ἀπόλαυσις, ὅτι δὴ προστέθεικεν ὁ σωτὴρ τὰ τῶν ἀδελφῶν ἅπαντα τοῖς ὑπὲρ τοῦ εὐαγγελίου στρατευομένοις, οὕτω καὶ οἰκίας πολλὰς, καὶ ἀδελφοὺς καὶ μητέρας, καὶ τέκνα, καὶ ἀγροὺς ὑπάρξειν ἔλεγε τοῖς τὰ ἴδια καταλιποῦσιν· ὅτι ἡ ἀγάπη πᾶσαν αὐτοῖς ἐπλήρωσεν οἰκειότητα καὶ πᾶσαν χρείαν· προστέθεικε δὲ ὁ Λουκᾶς, καὶ περὶ γυναικὸς, οὐχ' ὡς ἑτέρως ἀπαλλοτριοῦσθαι δέον τοῦ γένους, πλὴν ὅσον ἐν προτιμήσει τοῦ καλλίονος, καὶ πρὸς τὸ ἀνεμπόδιστον τῆς εὐαγγελικῆς διακονίας· οὐδὲ μὴν τὴν οἴκου καὶ χρημάτων ἀπόστασιν, ὡς ἀλλοτρίων ὄντων, Χριστὸς ἀποδέχεται· ἀλλ' ὥστε μὴ περὶ ταῦτα σχολάζειν τὸν ἀνακεῖσθαι μέλλοντα τῇ τοῦ εὐαγγελίου λειτουργίᾳ· οὕτως τοίνυν οὐδὲ τὸν ἀπὸ γυναικὸς καὶ γάμου χωρισμὸν, ὡς ἀπό τινος πονηροῦ νομιστέον ἐπαινεῖσθαι, ἀλλ' ὥστε μὴ δὲ XVIII. 29. p. 250. a.

τοῦτο ἐμπόδιον εἶναι τῷ λειτουργῷ· καὶ καθάπαξ ἡ τῶν πνευματικῶν προτίμησις, οὐκ ἀλλότρια δείκνυσι τὰ σαρκικὰ, ὡς ἐπιχειροῦσιν οἱ Μανιχαίου μαθηταὶ, μάτην τοῦ θεοῦ τὴν κτίσιν ἀθετοῦντες, καὶ ἀπαλλοτριοῦντες τοῦ ποιητοῦ τὰ ποιήματα· ἀδιάφορον δὲ τὸ λέγειν ἕνεκεν τοῦ ἐμοῦ ὀνόματος, ὡς ὁ Ματθαῖος φησὶν· ἢ ἕνεκεν τοῦ εὐαγγελίου, ὡς ὁ Μάρκος· ἢ ἕνεκεν τῆς βασιλείας τοῦ θεοῦ, ὡς ὁ Λουκᾶς· τό τε γὰρ ὄνομα τοῦ Χριστοῦ, δύναμις ἔστι τοῦ εὐαγγελίου, καὶ τῆς βασιλείας· τό τε εὐαγγέλιον, εἰς ὄνομα ἀνήρτηται τοῦ Χριστοῦ· καὶ ἡ βασιλεία τοῦ θεοῦ, διὰ τοῦ ὀνόματος αὐτοῦ γνωρίζεται καὶ παραγίνεται.

XIX. 15. p. 256. a. Χρὴ μέν τοι εἰδέναι, ὡς ἑτέρα μὲν ταύτης τῆς παραβολῆς ἡ δύναμις, ἑτέρα δὲ τῆς παρὰ τῷ Ματθαίῳ· ὥστε καὶ ἑτέρα ἂν εἴη παρὰ ταύτην ἐκείνη· αὕτη μὲν γὰρ ἴσα λέγει τὰ δοθέντα, ἄνισα δὲ τὰ ἄνισα μὲν τὰ δοθέντα φησὶν, ἴσην δὲ τὴν ἀμοιβήν.

XX. 25. p. 264. b. Ἐπισυνάψας δὲ καὶ τὰ περὶ θεοῦ, οὐδὲ τοῦ δοκεῖν κολακεύειν ἄρχοντα, κατέλιπεν αὐτοῖς συκοφαντίαν, ἐπεὶ δοκεῖ δούλεία τίς εἶναι ἀνθρώπου καὶ οὐ θεοῦ, τὸ φόρους διδόναι· οὐδὲν δὲ πονηρὸν εἶναι φησὶν ὁ σωτὴρ, τὸ τὰ βασιλέως χρήματα, βασιλεῖ δίδοσθαι· τὰ δὲ θεοῦ δικαιώματα, θεῷ φυλάττεσθαι· καὶ τὴν πρὸς

αὐτὸν λατρείαν ἀπαραποίητον διαμένειν· ὅθεν θαυμάσαντες τὸ ἄληπτον τοῦ λόγου, ἀπῆλθον.

Ὅτι μέν τοι γενήσεται ἡ ἀνάστασις, καὶ οὐκ ἀδύνατον τὸ πρᾶγμα, τοῦτο ἐξ ἐπαγγελίας τοῦ Θεοῦ συνίστησι, καὶ οὐκ ἐκ φυσιολογίας. v. 27. p. 265. a.

Ὁ σωτὴρ παρεγγυᾷ, μὴ κατὰ τὰς ἐν ἀνθρώποις ἡγεμονίας ἀξιοῦν ἔχειν καὶ τὴν ἐν αὐτοῖς διδασκαλίαν· ἀλλ' ἐν ὑποτεταγμένῃ χώρᾳ τετάχθαι, τὴν τῶν ἄλλων καλλίω λειτουργίαν πληροῦντας, τὴν ὠφέλειαν τοῦ κοινοῦ· ὅτι μὴ δὲ ἀληθὴς διδάσκαλος ἀνθρώπων μηδείς, ἀλλ' εἷς ἐξ οὐρανοῦ· κέρδος τοίνυν ἡγεῖσθαι προστάττει, τὴν τῶν ἐλαττόνων ὠφέλειαν· καὶ τούτου γε ἕνεκα, καὶ δουλεύειν ἀξιοῦν· εἰ γὰρ καὶ μὴ παρὰ τῶν ὠφελουμένων ἀποδοθήσεται μισθὸς τοῖς ὠφελοῦσιν, ἀλλὰ παρὰ τοῦ τὴν ὠφέλειαν ἐπιτάξαντος· ὃς καὶ ἑνὸς ὠφελείας ἕνεκα, τὴν μεγίστην ἐπαγγέλλεται τῷ Ἱερεμίᾳ τιμήν· ἐὰν ἐξαγάγῃς λέγων τίμιον ἐξ ἀναξίου, στόμα μου ἔσῃ. XXII. 25. p. 283. a.

Λέγει δὲ ὁ σωτὴρ τὴν ὁμοίωσιν τῶν τοιούτων διδασκάλων τὴν πρὸς ἑαυτὸν, ἐπαγαγών· τίς γὰρ μείζων κ. τ. λ. v. 27. p. 283. b.

Ἔλεγχος ἦν τοῦτο, ὅτι οὐ παντελῶς διαλέληθεν αὐτοὺς τὸ πρᾶγμα διὰ τὴν ἐκ τῶν σημείων ἐπίγνωσιν· πόθεν γὰρ τὸ λέγειν τοῦτον μόνον Χριστὸν, ὅπερ ἐφ' ἑτέρων οὐκ εἰρήκασιν; v. 70.

ἐπιφέρει δὲ τὸ, ἀπ' ἄρτι ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου, καὶ τὰ ἑξῆς, καὶ τὸν Ματθαῖον, τὸ τῆς κρίσεως ἀπειλῶν, καὶ δηλῶν ὅτι ὄψονται αὐτὸν ὡς θεὸν ἐν τῇ οὐρανίῳ δόξῃ φαινόμενον· ἀλλ' ὅμως ἀκούσαντες οὐκ ἔπληξαν, οὐδὲ ἐφυλάξαντο, ἀλλὰ βλασφημίαν εἶπον εἶναι τὸν λόγον· οὕτως οὐκ εἰς ὠφέλειαν τοῖς ἀνηκόοις αἱ τῶν μυστηρίων ἀποκαλύψεις, ἀλλ' εἰς κατάκρισιν.

XXIV. 4. p. 314. a. Ὥστε εἰ εἷς μὲν ἄγγελος παρὰ Ματθαίῳ καὶ Μάρκῳ μνημονεύεται, δύο δὲ παρὰ Λουκᾷ καὶ Ἰωάννῃ, δεῖ μὲν τὴν ἀκρίβειαν μᾶλλον ἐπιτρέψαι τῷ ἠγαπημένῳ μαθητῇ καὶ τῷ ἀκριβῶς παρεκολουθηκότι Λουκᾷ· οὐ μὴν οἴεσθαι οὐδὲ παρὰ τοῖς ἄλλοις μέγά τι παροφθῆναι, ἀλλὰ συμφωνηθῆναι τὴν ἀγγελικὴν ἐπιφάνειαν, εἴτε δι' ἑνὸς εἴτε διὰ δύο ἀγγέλων· οὐ γὰρ σπουδῆς ἄξια τὰ τοιαῦτα πρὸς διόρθωσιν παρὰ τῷ πνεύματι, ὅσα ἂν βραχύ τι τῆς ἀκριβείας ἐνδέῃ· μηδὲν ἐλαττοῦντα τὸ κεφάλαιον καὶ τὸ συνέχον, οὗ χάριν ἡ ἱστορία.

v. 52. p. 316. a. Τοὐτέστιν ἐν αὐτῇ τῇ ὥρᾳ ᾗ ἄφαντος ἀπ' αὐτῶν ἐγένετο ὁ Ἰησοῦς, ὑπέστρεψαν μὴ μελλήσαντες· οὐκ ἐν αὐτῇ δὲ τῇ ὥρᾳ εὗρον τοὺς ἕνδεκα συνηθροισμένους, καὶ ἀπήγγειλαν τὰ κατὰ τὸν Ἰησοῦν, ἀλλὰ τῇ τεσσαρακοστῇ ἡμέρᾳ ὅτε καὶ ἀνελήφθη· τὰ οὖν ἐν ταῖς μεταξὺ τῶν ἡμερῶν τούτων γενόμενα, παρῆκεν ὁ Λουκᾶς·

ἅπερ οἱ περὶ Κλεόπαν διηγουμένους εὗρον καταμόνας, καὶ λέγοντας, ὅτι ὄντως ἠγέρθη ὁ κύριος, καὶ ὤφθη Σίμωνι· περὶ οὗ Λουκᾶς οὐκ ἐμνήσθη, ποῦ ἢ πῶς ἢ πότε ὤφθη· ἐν ταύταις οὖν ταῖς ἡμέραις, τὰ κατὰ τὴν Γαλιλαίαν πέπραχται, περὶ ὧν ἐμνήσθη μὲν ὁ Ματθαῖος, Λουκᾶς δὲ οὐκ ἐμνήσθη, οὔτε μὴν περὶ τῶν ἐν τῷ μεταξὺ γενομένων, δι' ἃς δή ποτε ἐγίνωσκον αἰτίας.

Apollinaris alia quaedam fragmenta in Lucam habes a me edita in tomo primo Scriptorum veterum primae editionis p. 179. sqq. Item Eulogii fragmentum aliud in tomo septimo eiusdem Collectionis Script. vet. p. 177

ΑΘΑΝΑΣΙΟΥ

ΚΟΡΙΝΘΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ (*)

ἐκ τῆς τετραβίβλου Ζώτου ἰακωβίτου.

Luc. XXIV. 43.

Ζητοῦμεν εἰ ἡ πλήρωσις τῶν βρωμάτων ἐπὶ Χριστοῦ ἐκέκτητο καὶ κένωσιν· εἰ οὖν λέγετε κεκτῆσθαι κένωσιν, Νεστοριανοὶ ἐστὲ, ψιλὸν ἄνθρωπον ὑποτιθέμενοι τὸν Χριστὸν· εἰ δὲ ἐρεῖτε μὴ κεκτῆσθαι κένωσιν, πῶς ἂν νοηθείη ἄνθρωπον προσλαβέσθαι πληρούμενον, καὶ μὴ κενού- Cod. p. 613.

(*) Athanasium hunc scribit in serie episcoporum Corinthi Lequinius Or. ch. T. II. p. 163, eiusque scriptum quoddam commemorat. Vivebat desinente saeculo X.

μενον; Ἀπόκρισις. Ὁ ἀπόστολος τὴν ἄκραν ἕνωσιν θέλων δηλῶσαι θεότητος καὶ ἀνθρωπότητος, κατὰ πάντα ὅμοιον ἡμῖν ἀναλαβέσθαι ἄνθρωπον χωρὶς ἁμαρτίας φησὶν· ἀλλ' ἐκεῖνος μὲν διὰ τὴν ἄκραν ἕνωσιν τοῦτο εἶπεν· ἡμεῖς δὲ καὶ ὑπὲρ ἄνθρωπον γεγενῆσθαι αὐτὸν καταλαμβάνομεν· τὸ γὰρ ἐκ παρθένου γεννηθῆναι, τὸ θεὸν αὐτὸν εἶναι, καὶ ὑπὲρ ἄνθρωπον, δείκνυσι· καὶ ἔδει κατὰ τὸν τῆς ἁγίας γραφῆς κανόνα μὴ ἐκκλίναι δεξιὰ ἢ ἀριστερὰ, ἀλλὰ στοιχεῖν τοῖς γεγραμμένοις, καὶ μηδὲν πλέον περιεργάζεσθαι· ὅμως ἵνα μὴ δόξωμεν ἀωροκρίσεως ἀωραΐντες σιγᾶν, ἐροῦμεν ὅτι τοῦ κρείττονος ἐκνικήσαντος, ἄλλο εἶναι σῶμα τὸ ἐκείνου θεοειδέστερον, ὅπερ ἐν μὲν τῇ πληρώσει καθ' ἡμᾶς ἦν, ἐν δὲ τῇ κενώσει ὑπὲρ ἡμᾶς· δηλοῖ δὲ καὶ πρὸ τῆς σαρκώσεως ἡ μακαρία τριὰς παρὰ τῷ Ἀβραὰμ ἐσθίουσα, καὶ πλήρωσιν δεχομένη, καὶ μὴ κενουμένη· ὁμοίως καὶ μετὰ τὴν ἀνάστασιν ὁ σωτὴρ ἡμῶν πλήρωσιν δεχόμενος, κενώσεως μὴ ὑπαρχούσης, ἀλλ' ὑπὸ τῆς ἐνοικούσης θείας φύσεως τῆς πληρώσεως ἐκδαπανωμένης· ταῦτα μὲν ἡμεῖς κατὰ τὴν ἡμετέραν τῆς γνώσεως ἀσθένειαν· αὐτὸς δὲ ὁ σαρκωθεὶς ἐπίσταται τοὺς οἰκείους τρόπους τῆς πληρώσεως καὶ τῆς κενώσεως· καθὼς οἶδε καὶ τὸν τρόπον τῆς ἀπορρήτου τῶν δύο φύσεων μίξεως τε καὶ κράσεως ἐν ἑνὶ προσώπῳ.

ΤΟΥ ΑΓΙΟΥ ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΙΣ ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ

ΑΛΛΗ ΜΕΡΙΣ ΕΞΗΓΗΣΕΩΣ

ΕΞ ΑΛΛΟΥ ΑΝΤΙΓΡΑΦΟΥ.

Luc. cap. I.

Αἰνίττεται ὁ βραχίων τὸν ἐξ αὐτῆς φύντα λόγον· ὑπερηφάνους δὲ λέγει τοὺς πονηροὺς δαίμονας μετὰ τοῦ ἄρχοντος αὐτῶν πεσόντας δι' ἔπαρσιν, καὶ τοὺς ἑλλήνων σοφοὺς τὴν δοκοῦσαν τοῦ κηρύγματος μωρίαν μὴ προσδεξαμένους, καὶ ἰουδαίους πιστεῦσαι μὴ βουληθέντας· οἵ τινες διεσκορπίσθησαν διανοηθέντες περὶ τοῦ υἱοῦ τοῦ θεοῦ· δυνάστας δὲ τοὺς γραμματεῖς, καὶ φαρισαίους φησὶ τοὺς τὰς πρωτοκαθεδρίας μεταδιώκοντας· ταῦτα γὰρ πάντα ἠκολούθησε τῇ προφητείᾳ· ὕψωσε δὲ τοὺς ταπεινώσαντας ἑαυτοὺς ὑπὸ τὴν κραταιὰν τοῦ θεοῦ χεῖρα, ἤ τοι τοὺς ἐθνικούς· καὶ πεινῶντας μὲν, τὸ γένος τῶν ἀνθρώπων ἅπαν λέγει· ἐλίμωττον γὰρ, πλὴν ἰουδαίων μόνων πεπλουτηκότων τῇ νομοθεσίᾳ, καὶ τῇ διδασκαλίᾳ, καὶ τῶν προφητῶν ταῖς ἐπαγγελίαις· οἳ τῷ ἀξιώματι ἐπαρθέντες, καὶ

I. v. 51. Cod. p. 28.

I. Χριστῷ μὴ πειθαρχήσαντες ἐξαπεστάλησαν κενοὶ, μηδὲν ἐπιφερόμενοι, μήτε πίστιν, μήτε γνῶσιν, μήτε ἐλπίδα ἀγαθῶν· ἀλλ' ἐκωφεπτώκασιν καὶ τῆς ἐπιγείου Ἱερουσαλὴμ, καὶ τῆς μελλούσης ζωῆς.

II. 5. p. 45. Ἐπὶ μόνοις τοῖς μνήστροις ἡ σύλληψις, καὶ παράδοξος ἡ γέννησις τοῦ Ἐμμανουὴλ, καὶ τοῖς τῆς ἀνθρωπίνης φύσεως οὐκ ἀκολουθοῦσα νόμοις· οὐ γὰρ τέτοκεν ἡ ἁγία παρθένος ἀνθρωπίνου σπέρματος λαβοῦσα καταβολὴν· καὶ τίς ὁ τοῦδε λόγος; ἡ πάντων ἀπαρχὴ Χριστὸς, ὁ δεύτερος Ἀδὰμ κατὰ τὰς γραφὰς, γεννητὸς γέγονε πνεύματος· ἵνα καὶ εἰς ἡμᾶς παραπέμψῃ τὴν χάριν· ἐμέλλομεν γὰρ καὶ ἡμεῖς οὐκ ἀπ' ἀνθρώπων ἔτι χρηματίζειν· τέκνα θεοῦ δὲ μᾶλλον, τὴν διὰ τοῦ πνεύματος γέννησιν ἐν πρώτῳ λαχόντες Χριστῷ· ἵνα γένηται αὐτὸς πρωτεύων ἐν πᾶσι, καθά φησιν ὁ πάνσοφος Παῦλος· πρὸς δὲ τοὺς λέγοντας, ὅτι εἰ σαρκὶ γεγέννηται ἡ παρθένος, διέφθαρται· εἰ δὲ οὐ διέφθαρται, κατὰ φαντασίαν γεγέννηται, φαμὲν· ὁ προφήτης λέγει, ὅτι εἰσῆλθε, καὶ ἐξῆλθε, καὶ μένει ἡ πύλη κεκλεισμένη· καὶ εἰ ἀσυγχύτως ὁ λόγος σὰρξ ἐγένετο, ἀσπόρως πάντως συλληφθεὶς, ἀφθόρως γεγέννηται.

v. 7. p. 46. Πρωτότοκον λέγει νῦν, οὐ τὸν πρῶτον ἐν ἀδελφοῖς, ἀλλὰ τὸν καὶ πρῶτον καὶ μόνον· ἔστι

γάρ τι καὶ τοιοῦτον εἶδος ἐν ταῖς σημασίαις II.
τοῦ πρωτοτόκου· καὶ γὰρ καὶ πρῶτον ἔστιν ὅτε
τὸν μόνον ἡ γραφὴ καλεῖ· ὡς τὸ, ἐγώ εἰμι θεὸς
πρῶτος, καὶ μετ' ἐμοῦ οὐκ ἐστὶν ἕτερος· ἵνα
οὖν δείξῃ, ὅτι οὐ ψιλὸν ἄνθρωπον ἐγέννησεν ἡ
παρθένος, ἐπήγαγεν τὸν πρωτότοκον· οὐ γὰρ
ἔσχεν ἄλλον μείνασα παρθένος, ἀλλὰ τὸν τοῦ
πατρὸς· περὶ οὗ καὶ θεὸς, καὶ πατὴρ διὰ φω-
νῆς τοῦ Δαβὶδ βοᾷ· κἀγὼ πρωτότοκον θήσομαι
αὐτὸν· καὶ ὁ Παῦλος· ὅταν δὲ εἰσαγάγῃ τὸν πρω-
τότοκον εἰς τὴν οἰκουμένην, λέγει· καὶ προσκυ-
νησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ· εἰσβέ-
βηκε δὲ εἰς τὴν οἰκουμένην γενόμενος ἄνθρω-
πος, καὶ μέρος αὐτῆς χρηματίσας διὰ τὴν σάρ-
κωσιν· καί τοι γὰρ μονογενὴς ὑπάρχων θεϊκῶς,
ἐπειδὴ γέγονεν ἡμῶν ἀδελφὸς, ταύτῃ τοι καὶ
ὠνομάσθη πρωτότοκος, ἵνα ὡς ἀπαρχὴ τῆς τῶν
ἀνθρώπων υἱοθεσίας γεγονὼς, καὶ ἡμᾶς υἱοὺς
θεοῦ γενέσθαι παρασκευάσῃ.

Ποιμέσι δὲ πρῶτον ἀποκαλύπτεται τὸ ὑπὸ v. 8.
τῶν ἀγγέλων ὑμνούμενον μυστήριον, οἵ τινες p. 48.
τύπον ἐπεῖχον τῶν τὰς ἐκκλησίας μελλόντων
ποιμαίνειν· αὐτοὺς γὰρ ἔδει καὶ πρώτους ἀκού-
ειν τὸ ἐπὶ γῆν εἰρήνη, διότι καὶ οἱ πνευματικοὶ
ποιμένες ἔμελλον τὴν εἰρήνην ἐπιφωνεῖν παντὶ
τῷ τῆς ἐκκλησίας πληρώματι· ἔτι δὲ τὸ τῶν ποι-
μένων πρόσωπον, καὶ ἡ γενομένη διὰ τῆς ἀπο-

11. καλύψεως αὐτοῖς χαρὰ σημαίνει σαφῶς, ὡς ἐπὶ τὸ πλανώμενον ἦλθε πρόβατον ὁ ποιμὴν ὁ καλὸς· ποιμένας γὰρ οὐδὲν οὕτως εὐφραίνειν οἶδεν, ὡς ἡ τοῦ ἀπολωλότος βοσκήματος εὕρεσις· ὅπερ οὐκ ἦν ἑτέρου τινὸς εὑρεῖν, ἢ τοῦ ἀρχιποίμενος Χριστοῦ· εἶτα ἐπειδὴ Βηθλεὲμ οἶκος ἄρτου ἑρμηνεύεται, ποῦ ἔμελλον οἱ ποιμένες μετὰ τὸ κήρυγμα τῆς εἰρήνης ἐπείγεσθαι, ἢ ἐπὶ τὸν πνευματικὸν οἶκον τοῦ οὐρανίου ἄρτου, τουτέστι τὴν ἐκκλησίαν; ἐν ᾗ μυστικῶς καθεκάστην ἱερουργεῖται ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ἄρτος, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ.

v. 9. p. 50. Ἔστι νοεῖν ὡς ἀρχάγγελος ἦν, ὁ τοῖς ποιμέσι τὴν χαρὰν εὐαγγελισάμενος· ἅμα τῇ ὑπ' αὐτὸν στρατιᾷ καλιὼν ἐπὶ τὰ τῆς σωτηρίας τῶν ἀνθρώπων εὐαγγέλια· κἂν τέως μονώτατος αὐτοῖς διελέγετο, μὴ ὑποπιπτούσης ταῖς αὐτῶν ὄψεσι τῆς ὑπ' αὐτὸν στρατιᾶς, διὰ τὸ τῆς φύσεως ἀόρατον.

v. 13. p. 51. Ἄγγελοι μὲν εἰρηνεύουσι πρὸς θεὸν, καὶ εἰσὶν ἐν ἑδραιότητι κατὰ δικαιοσύνην, καὶ ἁγιασμὸν, κατ' οὐδένα τρόπον τὸ αὐτῷ δοκοῦν παραβαίνοντες· ἡμεῖς δὲ τοῖς αὐτοῦ θελήμασι τὰς ἑαυτῶν ἐπιθυμίας ἀνταναστήσαντες, πολεμίων ἐν τάξει γεγόναμεν αὐτῷ· λέλυται δὲ τοῦτο διὰ Ἰησοῦ Χριστοῦ· καὶ γάρ ἐστιν αὐτὸς ἡ εἰρήνη ἡμῶν· συνῆψε γὰρ ἡμᾶς δι' ἑαυτοῦ τῷ θεῷ καὶ

παλρὶ τὴν ἐχθροποιὸν ἁμαρτίαν ἐκ μέσου τιθεὶς· καὶ δικαιῶν ἐν πίστει, καὶ καλῶν ἐγγὺς, τοὺς ὄντας μακρὰν· καὶ καθ' ἕτερον δὲ τρόπον, κτίσας τοὺς δύο λαοὺς εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάξας ἀμφοτέρους ἐν ἑνὶ σώματι πρὸς τὸν πατέρα· εὐδόκησε γὰρ ὁ θεὸς καὶ πατὴρ ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν αὐτῷ, συνεῖραι τε τοῖς ἄνω τὰ κάτω, καὶ ἀγέλην ἀποφῆναι μίαν τούς τε ἐν οὐρανῷ, καὶ τοὺς ἐπὶ γῆς· γέγονεν οὖν ἡμῖν εἰρήνη τε καὶ εὐδοκία Χριστός. ιι.

Ἰόντος τοίνυν τοῦ νόμου κατὰ γυναικὸς ἀπάσης τικτούσης ἄρσεν ἢ θῆλυ, καὶ γενικωτάτην ἡμῖν ποιουμένου τὴν κατάῤῥησιν, ὑπεξαίρεται τῆς δυσφημίας ἡ ἁγία παρθένος, ἧς ἐκφύναι φαμὲν τὸ κατὰ σάρκα Χριστὸν· θέα γὰρ, εἴ σοι δοκεῖ, τοῦ νόμου τὸ ἀκριβὲς· γυνὴ γάρ φησι καὶ οὐ πᾶσα τυχὸν ἀδιακρίτως, ἀλλ' ἥτις ἂν σπερματισθῇ καὶ τέκῃ ἄρσεν, ἀκάθαρτος ἔστω· ἐνταῦθα δὲ ἐκ πνεύματος ἁγίου τὸ θεῖον συνέστη σῶμα, πλαστουργούμενον ἀῤῥήτως, ἐν τῇ ἁγίᾳ παρθένῳ, καὶ τῶν τῆς φύσεως νόμων ὀλίγα πεφροντικὸς· ἥκιστα γὰρ σπερματικῆς ἐδεῖτο καταβολῆς, ὁ τῶν ἁγίων πρωτότοκος, ἡ ἀπαρχὴ λαχόντων τὴν ἐκ θεοῦ διὰ πνεύματος ἀναγέννησιν· περὶ ὧν εἴρηται σαφῶς, οἱ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς v. 22.

11. ἢ ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν· διέδρα δὴ οὖν τὴν ἐκ νόμου καταβολὴν ἡ ἁγία παρθένος, σπερματισθεῖσα μὲν οὐδαμῶς, ἐνεργείᾳ δὲ τῇ διὰ πνεύματος τὸ θεῖον ἡμῖν ἀποκυήσασα βρέφος.

v. 35. p. 66. Ῥομφαίαν δηλοῦσθαι φαμὲν ὡς ἐν εἴδει μαχαίρας τὸν πειρασμὸν, ἢ καὶ αὐτὸ τὸ πάθος τὸ ἐκ τῆς Ἰουδαίων ἀπονοίας ἐπενηνεγμένον τῷ Χριστῷ· μονονουχὶ γὰρ ὡς ἐν εἴδει μαχαίρας ἡ ἁγία παρθένος κατεσφάζετο, τὸν ἐξ αὐτῆς τεχθέντα κατὰ σάρκα σταυρούμενον ὁρῶσα, καὶ ἀμφιγνοοῦσα εἴ γε καὶ θανάτου κρατήσει θανατωθείς.

v. 49. Οὐκ ᾔδειτε ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ εἶναι με; ᾔδει μὲν γὰρ ἡ μήτηρ αὐτοῦ μὴ τέκνον εἶναι αὐτὸν τοῦ Ἰωσὴφ· ἀλλὰ διὰ τὴν ὑποψίαν τῶν Ἰουδαίων τοῦτο φησὶ· καὶ ἐπειδὴ εἶπεν, ὅτι ὁ πατήρ σου κἀγὼ ὀδυνώμενοι ἐζητοῦμεν σε, ὁ σωτὴρ πρὸς τοῦτο λέγει.

v. 52. p. 68. Οὐκ ἔστι τῶν ἐνδεχομένων εἰς ἰδίαν φύσιν ὑποστῆναι τί τοιοῦτον τὸν ἐκ Θεοῦ πατρὶ φύντα λόγον· ἀλλ' ὅτε γέγονεν ἄνθρωπος, τότε λέγεται ὑπομεῖναι καὶ τὰ ἀνθρώπινα· ἠδύνατο μὲν γὰρ ὡς Θεὸς ὢν λόγος εἰς μέτρον ἀνδρὸς τελείου, καὶ ἐκ μήτρας αὐτῆς τὴν ἰδίαν εὐθὺς ἀναβιβάσαι σάρκα· ἀλλ' ἦν οὐ μακρὰν τερατοποιίας τὸ δρώμενον· διὰ τοῦτο τοῖς τῆς ἀνθρω-

πότητος ἔθεσί τε καὶ νόμοις τὸ κρατεῖν ἐδίδου II.
καὶ ἐπὶ τῆς ἑαυτοῦ σαρκὸς· οὕτω καὶ ἐν σοφίᾳ
προκόπτειν ἂν λέγοιτο, οὐ προσθήκην σοφίας
δεχόμενος, καθὸ νοεῖται θεὸς, ἀλλὰ τοῦ θεοῦ
λόγου τῇ τοῦ σώματος ἡλικίᾳ συνεκτείνοντος
κατὰ βραχὺ τὴν σοφίας ἔκφανσιν.

Ποῦ ποτὲ προκόψει τὸ πλῆρες; οὐκοῦν οὐ p. 72.
καθὸ λόγος ἐστὶ καὶ θεὸς προκόπτειν εἴρηται,
ἀλλ' ὅτι μειζόνως ἀεὶ θαυμαζόμενος, χαριέ-
στερος τοῖς ὁρῶσι διὰ τῶν ἀποτελεσμάτων ἐδεί-
κνυτο· προκοπτούσης, ὡς ἐστὶ μᾶλλον εἰπεῖν
ἀληθέστερον, τῆς τῶν θαυμαζόντων ἕξεως, ἢ-
περ αὐτοῦ τοῦ τελείου πρὸς χάριν ὡς θεοῦ.

Ἀλλ' ὥσπέρ τινος ἀνταναφωνοῦντος καὶ λέ- III. 4.
γοντος, πῶς ἑτοιμάσομεν τὴν ὁδὸν κυρίου, ἢ
πῶς εὐθείας αὐτοῦ, τὰς τρίβους ποιήσομεν;
πολλὰ γάρ ἐστι τὰ μεταξὺ παρεμποδὼν τοῖς
εὖ βιοῦν ἐθέλουσιν, ὁ μισόκαλος σατανᾶς, τῶν
πονηρῶν πνευμάτων ἡ ἀγοσία πληθὺς, αὐτὸς τῆς
ἁμαρτίας ὁ νόμος ὁ ἐν τοῖς μέλεσι τῆς σαρ-
κὸς ἀνθοπλιζόμενος ταῖς εἰς τὸ ἀγαθὸν τοῦ νοῦ
ῥοπαῖς· πολλὰ δὲ πρὸς τούτοις ἕτερα πάθη,
τῆς τοῦ ἀνθρώπου διανοίας κατακρατεῖ· τί οὖν
ἄρα δράσομεν, τοσαύτης δυσχερείας κειμένης;
πρὸς ταῦτα τῆς προφητείας ὁ λόγος ὑπαντᾷ
λέγων· πᾶσα φάραγξ πληρωθήσεται κ. τ. λ.

" Ὁ μακάριος Κύριλλος τοῦ Ἡρώδου ἐν τῇ v. 19.
p. 88.

III. „ ἑρμηνείᾳ οὐκ ἐπεμνήσθη (*)· οἶμαι δὲ καὶ ἐγὼ
„ ὅτι περιττῶς ὧδε κεῖται· εἰ γὰρ ἐνεκλείσθη
„ ὁ Ἰωάννης, πῶς ἐβάπτιζεν; οὐ γὰρ ἴσμεν αὐ-
„ τὸν ἐγκλεισθέντα καὶ ἀπολυθέντα, καὶ αὖθις
„ ἐγκλεισθέντα καὶ τελειωθέντα. „

v. 22. p. 90. Εἰ ἐν καιρῷ τοῦ βαπτίσματος τὸ πνεῦμα τὸ ἅγιον δέχεται, τῶν τῆς ἀνθρωπότητος μέτρων εἴη ἂν καὶ τοῦτο μετὰ τῶν ἄλλων· οὐ γάρ τοι καθὸ θεός ἐστιν ἁγιάζεται, τὸ πνεῦμα λαβών, αὐτὸς γὰρ ὁ ἁγιάζων ἐστὶν· ἀλλὰ καθὸ πέφυκεν ἄνθρωπος, οἰκονομικῶς οὐχ ἑαυτῷ μᾶλλον, ἀλλ' ἡμῖν αὐτὸ δεχόμενος, ὡς ἐν ἀπαρχῇ Χριστῷ ἐπιφοιτῆσαν ἡμῖν.

IV. 4. Ἀποσείεται δὲ μᾶλλον ὡς περιττὸν λέγων, οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, τουτέστιν ἐὰν ὁ θεὸς δύναμιν δῷ τῷ ἀνθρώπῳ, δύναται μὴ φαγεῖν, καὶ ζῆν ὡς Μωϋσῆς καὶ Ἠλίας, οἳ ῥήματι θεοῦ ἔζησαν ἄσιτοι τεσσαράκοντα ἡμέρας· εἰ οὖν δυνατὸν δίχα ἄρτου ζῆν, ἵνα τί ποιῶ τὸν λίθον ἄρτον; οὔτε οὖν λέγει οὐ δύναμαι, ἵνα μὴ ἀρνήσῃ τε τὴν ἑαυτοῦ δύν-

(*) Haec anonymi cuiusdam interpretis verba idcirco retuli, quia reapse Cyrillum commentarios scripsisse in Lucam, testantur. Ad rem quod attinet, Calmeti adnotationem adscribam. *Hoc nonnisi multo post contigit, uti ceteri evangelistae narrant. Visum autem est Lucae hic omnia describere, quae ad Iohannem spectant, antequam ad reliqua gradum faciat.*

αμιν, οὔτε ὅτι δύναμαι, ἵνα μὴ γνοὺς ἐκεῖνος IV.
ὅτι θεός ἐστιν, ᾧ μόνῳ τὰ τοιαῦτα δυνατὰ,
ἀποστῇ ἀπ' αὐτοῦ.

Ὅρα δὲ πῶς κακούργως πειρᾶται διὰ τῆς v. 10.
χρήσεως τῶν γραφῶν καθελεῖν τὴν δόξαν τοῦ
κυρίου, ὡς δεομένου ἀγγελικῆς βοηθείας· ὡς
μέλλοντος προκόπτειν, εἰ μὴ ἄγγελοι αὐτῷ βοη-
θεῖεν· οὐ γὰρ περὶ τοῦ Χριστοῦ εἴρηται ἡ χρῆ-
σις τοῦ ψαλμοῦ, οὐδὲ γὰρ δεῖται ἀγγέλων δε-
σπότης· τὸ δὲ πτερύγιον οἰκοδόμημα ἦν ὑψηλὸν
ἄγαν, παρῳκοδομημένον τῇ πλευρᾷ τοῦ ἱεροῦ.

Σαφῶς διὰ τούτων δηλοῖ, ὡς τὸ τῆς κενώ- v. 18.
σεως ὑφειμένον, καὶ ὑποβεβηκὸς, καὶ αὐτὸ τὸ p. 115.
Χριστὸς ὄνομά τε, καὶ πρᾶγμα δι' ἡμᾶς κατ-
εδέξατο· τὸ γὰρ πνεῦμα φησὶν, ὅπερ ἐστὶ φυ-
σικῶς ἐν ἐμοὶ διὰ τὸ ταυτὸν τῆς οὐσίας καὶ
τῆς θεότητος, τοῦτο ἐπ' ἐμὲ παραγέγονεν καὶ
ἔξωθεν· ὥσπερ καὶ ἐν Ἰορδάνῃ ἐν εἴδει περιστε-
ρᾶς ἐπεφοίτησεν, οὐχ ὡς μὴ ὑπάρχον ἐν ἐμοὶ·
ἀλλ' οὗ εἵνεκεν ἔχρισέ με· τίνος δὲ εἵνεκεν χρι-
σθῆναι προείλετο; ἡμῶν τῶν ἐρήμων γενομένων
τοῦ πνεύματος διὰ τὴν ἀρχαίαν ἐκείνην ἀπόφα-
σιν, τὸ οὐ μὴ καταμείνῃ τὸ πνεῦμα μου ἐν τοῖς
ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκα.

Ταῦτα ὁ ἐνανθρωπήσας τοῦ θεοῦ λόγος φη- p. 116.
σὶ· θεὸς γὰρ ὢν ἀληθινὸς ἐξ ἀληθινοῦ θεοῦ τοῦ
πατρὸς, καὶ δι' ἡμᾶς ἄνθρωπος ἀτρέπτως γε-

IV. γονὼς, μεθ' ἡμῶν κέχρισται τῷ ἐλαίῳ τῆς ἀγαλλιάσεως, τοῦ πνεύματος αὐτῷ παρὰ τὸν Ἰορδάνην ἐπιφοιτήσαντος ἐν εἴδει περιστερᾶς· πάλαι μὲν γὰρ συμβολικῶς ἐχρίοντο βασιλεῖς τε καὶ ἱερεῖς, ἁγιασμοῦ τινὰ μετοχὴν ἐκ τούτου κερδαίνοντες· ὁ δὲ δι' ἡμᾶς ἐνανθρωπήσας, τῷ νοητῷ τῆς ἀγαλλιάσεως ἐλαίῳ, καὶ αὐτὴ τῇ τοῦ πνεύματος ἐπιφοιτήσει ἐχρίσθη· τοῦτο ἡμῖν λαμβάνων, οὐχ ἑαυτῷ· καὶ γὰρ ἀποπτάντος τοῦ πνεύματος, καὶ μὴ καταδείναντος ἐν ἡμῖν διὰ τὸ εἶναι ἡμᾶς σάρκα, πένθους ἦν πλήρης ἡ γῆ, ἅτε μετουσίας ἐστερημένη θεοῦ.

p. 117. Ἐκήρυξε δὲ καὶ αἰχμαλώτοις ἄφεσιν, ἣν καὶ ἐνήργησε, δήσας τὸν ἰσχυρὸν τὸν τυραννικῶς καταδυναστεύσαντα τοῦ γένους ἡμῶν σατανᾶν, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσας ἡμᾶς.

v. 21. p. 119. Οὐδὲν τῶν περὶ αὐτοῦ γεγραμμένων ὀρθῶς νοοῦντες ἰουδαῖοι, ἔθος εἶχον λέγειν τὰς ἐπ' αὐτῷ προφητείας πέρας λαβεῖν ἐπί τισι τῶν παρ' αὐτοῖς ἐνδόξως βεβασιλευκότων, ἢ τῶν ἁγίων προφητῶν· ἵνα οὖν μὴ λέγωσί τι πάλιν τοιοῦτον περὶ τῆς εἰρημένης προφητείας, ἀναγκαίως φησὶ· ὅτι σήμερον αὕτη ἡ γραφὴ πεπλήρωται ἐν τοῖς ὠσὶν ὑμῶν· ἑαυτὸν ἐναργῶς δεικνὺς ἐν τούτοις τὸν διὰ τῆς προφητείας προηγορευμένον· αὐτὸς γὰρ εὐηγγελίσατο τὴν τῶν οὐρανῶν βασιλείαν τοῖς ἀπὸ τῶν ἐθνῶν, οἳ ἦσαν

πτωχοὶ μηδὲν ἔχοντες, μὴ νόμον, μὴ προφήτας· IV.
ἢ καὶ πᾶσι τοῖς μὴ πλοῦτον ἔχουσι πνευματικὸν, αὐτὸς αἰχμαλώτους ὄντας ἐῤῥύσατο, τὸν ἀποστάτην τύραννον καθελὼν· αὐτὸς ἐνήστραψε τὸ νοητὸν καὶ οὐράνιον φῶς τοῖς ἐσκοτισμένοις τὴν καρδίαν· ἐγὼ γάρ φησι φῶς εἰς τὸν κόσμον ἐλήλυθα· αὐτὸς ἀπέλυσε τῶν τῆς ἁμαρτίας δεσμῶν, τοὺς τεθραυσμένην ἔχοντας τὴν καρδίαν, ἀλλὰ τὴν μέλλουσαν αὐτὸς ὑπέδειξε ζωὴν, καὶ τὴν δικαίαν ἠπείλησε κρίσιν· ἐνιαυτὸν γὰρ δεκτὸν, τὴν προτέραν αὐτοῦ οἶμαι λέγεσθαι παρουσίαν, ἡμέραν δὲ ἀνταποδόσεως τὴν τῆς κρίσεως ἡμέραν.

Post recitatum Cyrilli locum, quem nos exhibuimus in libro nostro pag. 54. θαυμάσωμεν *etc. anonymus quidam interpres novum Cyrilli commentario dat testimonium sic:* " θαυμαστὴν V. 4.
„ τινα θεωρίαν λέγει Ὠριγένης εἰς τὸ προφη-
„ τικὸν ῥητὸν τοῦ θείου Ἱερεμίου, ὅπερ ἄνωθεν
„ ἐξηγήσατο ὁ ἅγιος Κυρίλλος, τὸ, ἰδοὺ ἐγὼ
„ ἀποστελῶ ἁλιεῖς πολλοὺς, λέγει κύριος, καὶ
„ ἁλιεύσουσιν αὐτοὺς· καὶ μετὰ ταῦτα ἀποστε-
„ λῶ θηρευτὰς πολλοὺς καὶ θηρεύσουσιν αὐ-
„ τούς. „

Ἤρκει μὲν γὰρ, καὶ σιωπῶντος τοῦ λεπροῦ, p. 138.
αὐτὴ τοῦ πράγματος ἡ φύσις ἀπαγγεῖλαι πᾶσι τοῖς εἰδόσιν αὐτὸν τὴν τοῦ θεραπεύσαντος

v. δύναμιν· αὐτὸς δὲ παραγγέλλει μηδενὶ εἰπεῖν, ἵνα μάθωσιν οἱ τὴν τῶν ἰαμάτων χάριν ἐκ θεοῦ δεχόμενοι, μὴ τὰς παρὰ τῶν θεραπευομένων εὐφημίας αἰτεῖν· μήτε μὴν τοὺς παρά τινων ἐπαίνους, ἵνα μὴν εἰς ὑπεροψίαν ἐκπέσοιεν, τὸ πάντων τῶν κακῶν ἔσχατον πάθος.

v. 31. p. 143. Δι' ἣν δὲ αἰτίαν ἐπιλαμβάνονται οἱ φαρισαῖοι τοῦ σωτῆρος ἁμαρτωλοῖς συνεσθίοντος; ὅτι νόμος ἦν διαστέλλειν ἀνὰ μέσον ἁγίου καὶ βεβήλου, τουτέστιν ἡγιασμένον μὴ συναναμίγνυσθαι βεβήλοις· τοῦτον ἐκδικοῦντες δῆθεν τὸν νόμον ἐνεκάλουν· τὸ δὲ ἦν φθόνος κατὰ τοῦ κυρίου, καὶ φιλοσκωμμοσύνη· δείκνυσιν οὖν αὐτοῖς, ὅτι οὐχ ὡς κριτὴς πάρεστι νῦν, ἀλλ' ὡς ἰατρὸς· καὶ ποιεῖ τὸ ἐπιβάλλον τῇ ἰατρικῇ συνὼν τοῖς ἰάσεως δεομένοις· ἐπειδὴ δὲ τοῦ πρώτου τὸν λόγον ἐδέξαντο, καὶ ἕτερον προσλιθέασιν αἰτιώμενοι τὸ μὴ νηστεύειν τοὺς μαθητὰς, ἐντεῦθεν βουλόμενοι πορίσασθαι λαβὴν καθ' αὐτοῦ· ἀλλ' ἀκούουσι πάλιν, νυμφών ἐστι νῦν, καιρὸς κλήσεως, καιρὸς διδασκαλίας· ἀνατρέφονται οἱ παῖδες, γαλουχοῦνται οἱ κεκλημένοι, οὐκ ἔχει καιρὸν ἡ νηστεία.

VI. p. 153. " Ζήτησον τοὺς λόγους τῆς δωδεκαρίθμου
„ τῶν ἀποστόλων ἐκλογῆς ἐν τῷ ιθ' κεφαλαίῳ
„ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου, καὶ περὶ
„ τὰ μέσα τοῦ ἑβδόμου κεφαλαίου τοῦ παρόν-

„ τος εὐαγγελιστοῦ, ἔνθα ὁ Χριστὸς λαβὼν VI.
„ τὸ βιβλίον Ἡσαίου τοῦ προφήτου ἀνέγνω· εὑ-
„ ρήσεις γὰρ ἐκεῖ ἑρμηνείαν θαυμαστὴν τοῦ ἁ-
„ γίου Κυρίλλου (*), ἣν ποιεῖται εἰς τὸ κηρύ-
„ ξαι ἐνιαυτὸν κυρίου δεκτὸν· ὡσαύτως καὶ ἐν
„ λδ' κεφαλαίῳ τοῦ αὐτοῦ τούτου εὐαγγελι-
„ στοῦ· ἰστέον δὲ ὅτι καὶ κατὰ τὸν τύπον τῶν
„ δώδεκα βοῶν, τῶν βασταζόντων τὴν ὑπὸ Σο-
„ λομῶντος κατασκευασθεῖσαν θάλασσαν ὁ τῶν
„ ἀποστόλων ὁρίζεται ἀριθμός· καὶ γὰρ ἀνὰ
„ τρεῖς ἐκ τεσσάρων μερῶν ταύτην βαστάζοντες
„ τὴν τῆς ἁγίας τριάδος κήρυκα, καὶ τὴν δι'
„ αὐτῶν τῶν τεσσάρων εὐαγγελίων ἐκπομπὴν εἰς
„ τὰ τέσσαρα τῆς γῆς πέρατα· καὶ γὰρ καὶ διὰ
„ τῆς θαλάσσης ἐκείνης ἡ νοητὴ τοῦ βαπτίσμα-
„ τος θάλασσα, ἡ ἀποκαθαίρουσα τὸν κόσμον
„ ἐκ τῶν ἁμαρτιῶν, ἡ ἐκ τοῦ νοητοῦ συστᾶσα
„ Σολομῶντος, εἰκονίζεται. „

Πάλιν ἀπροσδιορίστως οἱ πεινῶντες· μέγα v. 21. p. 157.
μὲν οὖν τὸ πεινῆν καὶ διψῆν τὴν δικαιοσύνην,

(*) Idcirco rursus hunc anonymi interpretis tractum conservavimus, quia Cyrilli operi praesenti dat testimonium. Et quidem ex illis verbis ζήτησον τοὺς λόγους, *quaere* vel *inspice sermones* etc. videtur fortasse Cyrillus commentationes suas ad Lucam fecisse per homilias ad populum, cuiusmodi sunt illae in Hieremiam, et illae Chrysostomi. Huius vero rei alia quoque, sed raro, apparent indicia in his commentariis, quos nos e Nicetae plerumque catena detraximus.

VI. ὃ πρόσκειται ἐν τῷ Ματθαίῳ, δηλοῦν ὅτι καθάπέρ τινος τροφῆς καὶ ποτοῦ, μεταποιεῖσθαι δεῖ τῶν εἰς εὐσέβειαν σπουδασμάτων· τοῦτο γὰρ ἡ δικαιοσύνη δηλοῖ· χορτασθήσονται γὰρ, τοῖς δοθησομένοις νοητοῖς τε καὶ πνευματικοῖς ἀγαθοῖς ἐντρυφῶντες· ἀλλ' ἔδει πάντως τοῖς οὕτω πτωχεύουσι, καὶ τὴν τῶν ἀναγκαίων ἐπακολουθῆσαι σπάνιν, καὶ μόλις αὐτοὺς εὐπορῆσαι τροφῆς.

V. 24. Καί τοι πάλιν ἐν τῷ Ματθαίῳ φησὶ, μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην ὅτι αὐτοὶ χορτασθήσονται· ἐνταῦθα δὲ τοὺς πεινῶντας ἁπλῶς, μακαρίους ἔσεσθαι φησὶ· ἐπειδὴ δὲ χρὴ ταῖς ἀρτίως ἡμῖν εἰρημέναις ἐκδόσεσιν ἑπομένην ἀποφήναι καὶ τὴν ἐν τούτοις διάνοιαν, πάλιν ἐκεῖνο φαμὲν· ἐμακάρισεν ὁ σωτὴρ τοὺς τὴν ἐθελούσιον ἀγαπῶντας πτωχείαν, ὑπέρ γε τοῦ καλῶς καὶ ἀπερισπάστως τὸν ἀποστολικὸν διανῦσαι δρόμον· τῷ γὰρ μὴ ἔχειν χρυσίον ἢ ἀργύριον ἐν ταῖς ζώναις, ἢ δύο χιτῶνας, ἕπεται πάντως πλείστης ὅσης αὐτοὺς ἀνασχέσθαι σκληραγωγίας· φορτικὸν δὲ τοῦτο τοῖς ἐν πένῳ καὶ διωγμοῖς· ταύτῃ τοι καὶ μάλα εἰκότως ὁ καρδίας εἰδὼς, μικροψυχεῖν οὐκ ἐᾷ πρὸς τὰ ἐκ τῆς πτωχείας συμβαίνοντα· τοὺς γὰρ νῦν πεινῶντας τῆς εἰς αὐτὸν εὐσεβείας ἕνεκα, χορταθήσεσθαι φησὶ, τουτέστι τοῖς δοθησομένοις ἐν-

τρυφήσουσιν ἀγαθοῖς, νοητοῖς δὲ δηλονότι καὶ πνευματικοῖς. VI.

Ἵνα μὴ τυφλοὶ τυφλῶν εἶεν ὁδηγοί· οὐ γὰρ οἱ ἐν σκότῳ τῆς ἀγνωσίας ἐνισχημένοι, τοὺς τὰ ὅμοια νοσοῦντας, εἰς τὴν τῆς ἀληθείας ἐπίγνωσιν ὁδηγήσειεν· εἰ γὰρ τοῦτο βουληθεῖεν, εἰς τὸν βόθρον τῶν παθῶν ἀμφότεροι ἐγκυλισθήσονται· εἶτα τὸ φιλόκομπον πάθος τῆς ἀλαζονείας τῶν πολλῶν ἀναιρῶν, ἵνα μὴ τὴν τῶν διδασκόντων φιλονεικοῖεν ὑπερβαίνειν τιμὴν, ἐπήγαγεν· οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον αὐτοῦ· εἰ γὰρ γένοιτο, φησὶν, εἰς τοῦτο προελθεῖν τινὰς, ὥστε καὶ ἰσάμιλλον τοῖς παιδεύουσι κατακτήσασθαι ἀρετὴν, εἰς τὸ τῶν διδασκόντων στήσονται μέτρον, κἀκείνων ἔσονται μιμηταί. v. 39. p. 166.

Δεῖ γὰρ διὰ τῆς καθ' ἡμέραν ἀσκήσεως βεβαιοῦν ἑαυτοὺς τοῖς τοῦ κυρίου παραγγέλμασιν, ἵνα μὴ καθάπερ βιαίων ὑδάτων προσβαλοῦσα ἡδονὴ, σαθρὰ τὰ ἐν ἡμῖν δόγματα διασκεδάσῃ· ἀλλ' ἐνευδοκιμήσῃ τοῖς ἐναγγέλμασιν, ἀκατάλυτος οὖσα ἡ ἀρετὴ· καὶ μὴ τῷ πτώματι περιφανεῖς, ἀλλὰ τῇ νίκῃ γενώμεθα· περιφανὲς γὰρ καὶ τὸ στῶμα τῶν μεγάλα δεδιδαγμένων, ὅταν μεγάλων ἀποπίπτωσιν. v. 46. p. 169.

Μὴ σχῆμα ἔχει περίβλεπτον; μὴ βασιλικὸν ἀξίωμα; μὴ βασιλικὰς εἶχεν ἐντολὰς; καὶ γράμματα, καὶ δόγματα, καὶ νόμους ἐπεφέρετο βα- VII. 25. p. 178.

VII. σιλικοὺς; μὴ λαμπρὸς ἦν κατὰ τὸ φαινόμενον; οὐχὶ τρίχυνον ἱμάτιον ἐφόρει; οὐκ αὐτοσχέδιον εἶχε τροφήν; μή τι τοιοῦτον προετρέψατο ὑμᾶς ἐκεῖ ἀπελθεῖν; εἰ δὲ ὡς εἰς προφήτην χρησίμως ἐξήλθετε, ναὶ λέγω ὑμῖν καὶ περισσότερον προφήτου· ὁ μὲν γὰρ ϖροφήτης ϖρολέγει μόνον, οὗτος δὲ οὐ μόνον ἥξοντα προμεμήνυκεν, ἀλλὰ καὶ ὑϖέδειξεν εἰϖών· ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· ἄγγελον δὲ τὸν Ἰωάννην καλεῖ, οὐχ ὅτι ἦν ἄγγελος, ἄνθρωπος γὰρ ἦν τὴν φύσιν, ἀλλ' ὅτι ἀγγέλου ἔργον ἐποίησεν, ἀγγέλων τοῦ Χριστοῦ τὴν παρουσίαν· εἶτα τὸ περισσότερον προφήτου παρατιθέμενος, τὸ ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου ἔμπροσθέν σου, διηγεῖται· μείζων γὰρ προφήτου ὁ μαρτυρούμενος ὑπὸ θεοῦ, ὅτι ἄγγελος αὐτοῦ ὢν ἀποστέλλεται ϖρὸ ϖροσώϖου τοῦ Χριστοῦ κατασκευάσων τὴν ὁδὸν αὐτοῦ· μαρτυρία γὰρ μεγάλη ϖερὶ Ἰωάννου, καὶ ϖερισσότερον ϖροφήτου· ὅτι προφητευομένου τοῦ Χριστοῦ ἐλεύσεσθαι, καὶ οὗτος συμϖροεφητεύθη αὐτῷ, ὡς προελευσόμενος αὐτοῦ ὁ ἄγγελος.

v. 28. p. 179. Ὁ μὲν γὰρ μακάριος Ἰωάννης ὁμοῦ τοῖς ἄλλοις ὅσοι ϖρὸ αὐτοῦ γεγόνασιν γεννητός ἐστι γυναικὸς· οἱ δὲ τὴν πίστιν προσηκάμενοι, οὐκέτι γεννητοὶ Γυναικῶν, ἀλλ' υἱοὶ θεοῦ χρηματίζουσιν· ὅσοι γὰρ φησὶν ἔλαβον αὐτὸν, ἔδωκεν

αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι· οἳ οὐκ VII.
ἐξ αἱμάτων, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν· καὶ ὁ
Παῦλος· ὅτι δὲ ἐστὲ υἱοὶ, ἐξαπέστειλεν ὁ θεὸς
τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ ἐν ταῖς καρδίαις αὐ-
τῶν κράζον, ἀββᾶ ὁ πατὴρ· ὅτε γὰρ ἀνεβίω Χρι-
στὸς σκυλεύσας τὸν ᾅδην, τότε τοῖς πιστεύσα-
σιν εἰς αὐτὸν τὸ τῆς υἱοθεσίας δέδωκε πνεῦμα,
καὶ πρό γε τῶν ἄλλων τοῖς οἰκείοις μαθηταῖς·
ἐνεφύσησε γὰρ αὐτοῖς λέγων, λάβετε πνεῦμα
ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται
αὐτοῖς· καὶ τὰ ἑξῆς· ἐπειδὴ γὰρ ὅλως γεγόνα-
σι θείας κοινωνοὶ φύσεως, τὸ δεσποτικὸν καὶ
καθεξουσίαζον τῶν ὅλων πλουτήσαντες πνεῦμα,
ταύτῃ τοι καὶ θεοπρεπὲς ἀξίωμα περιτέθεικεν
αὐτοῖς, τὸ ἀφιέναι φημὶ τὰς ἁμαρτίας ὧν ἂν
βούλωνται, κρατεῖν δὲ καὶ τὰς ἑτέρων· ὅτι δὲ
πρὸ τῆς ἀναφοιτήσεως οὐκ ἦν ἐν ἀνθρώποις τῆς
υἱοθεσίας τὸ πνεῦμα, ὁ πάνσοφος εὐαγγελιστὴς
Ἰωάννης δηλοῖ λέγων· οὐδέπω γὰρ ἦν πνεῦμα
ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη· δόξαν,
τὴν ἐκ νεκρῶν ἀνάστασιν, καὶ τὴν εἰς οὐρανὸν
ἄνοδον λέγων· ἐκεῖ γὰρ ἀναφοιτήσας ὁ μονογε-
νὴς τοῦ Θεοῦ λόγος ἔπεμψεν ἡμῖν ἀνθ' ἑαυτοῦ
τὸν παράκλητον, καὶ ἐν ἡμῖν ἐστι δι' αὐτοῦ·
καὶ τοῦτο ἡμᾶς ἐδίδαξεν, εἰπὼν· ἐὰν μὴ ἀπέλ-
θω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς·
λοιπὸν οὖν κἂν ἐλάττους ὦμεν τῶν τὴν ἐν νό-

VII. μῳ δικαιοσύνην ἐχόντων, κατά γε τὴν τῆς ζωῆς ἀστειότητα φημὶ, ἀλλ' ἐν μείζοσι γεννητῶν γυναικὸς διὰ Χριστόν.

v. 32. p. 181. Ἦλθον γὰρ οἱ προφῆται τὰ ἐσόμενα προαναφωνοῦντες σκυθρωπὰ, καὶ πρὸς θρῆνον διεγερτικὰ· εἶτα μετ' ἐκείνους ἐλήλυθεν ὁ Χριστὸς, καὶ οἱ ἀπόστολοι αὐλοῦ δίκην ἐξηχοῦντες τὸ τῆς βασιλείας κήρυγμα, καὶ τὴν χάριν τῆς μετανοίας· ἀλλ' οἱ σκληροκάρδιοι Ἰουδαῖοι οὐ μόνον οὐκ ἐκόψαντο ἐπὶ τοῖς προτέροις, ἀλλ' οὐδὲ ὠρχήσαντο ἐπὶ τοῖς δευτέροις, μηδὲν ἔργον ἀρετῆς διαπραξάμενοι.

VIII. 20. p. 202. Ὁ διὰ τῆς Μωϋσέως νομοθεσίας εἰπὼν τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται, ἡμῖν δὲ ἐπιτάξας καὶ τοὺς ἐχθροὺς ἀγαπᾶν, ἆρα αὐτὸς ὠλιγώρει τῆς εἰς τὴν μητέρα τιμῆς, καὶ ἀπωθεῖται τὴν εἰς τοὺς ἀδελφοὺς ἀγάπην; οὐδαμῶς· τί οὖν ἄρα διδάξαι βούλεται; εἰς ὕψος αἴρει μέγα τὴν εἰς ἀνθρώπους ἀγάπην, οἵπερ ἂν ἐθέλοιεν τοῖς αὐτοῦ πείθεσθαι νόμοις· καὶ τὰς ἀνωτάτω τιμὰς ὀφείλειν ἡμῖν βούλεται, ὡς μητράσι καὶ ἀδελφοῖς· εἰ γὰρ μητέρα καὶ ἀδελφοὺς αὐτοῦ εἶναι φησὶ τοὺς ἀκούοντας τὸν λόγον αὐτοῦ, καὶ ποιοῦντας αὐτὸν, πῶς οὐχ ἅπασιν ἐνεργὲς, ὡς ἐκκεκριμένην, καὶ ἀξιόληπτον χαρίζεται τὴν ἀγάπην τοῖς ἑπομένοις αὐτῷ; οὕτω γὰρ ἦν πεῖσαι

πάντας ἥκειν ἐπὶ τὸ βούλεσθαι τοῖς αὐτοῦ κα- VIII.
ταπείθεσθαι λόγοις.

Ἐνταῦθα μοι βλέπε μετὰ πίστεως ὀλιγοπι- v. 24. p. 204.
στίαν, πιστεύουσι μὲν γὰρ, ὅτι σῶσαι δύναται· ὡς δὲ ὀλιγόπιστοι λέγουσιν, ὅτι ἀπολλύμεθα· οὐ γὰρ ἐνῆν ἀπολέσθαι ποτὲ συνόντος αὐτοῖς τοῦ πάντα ἰσχύοντος.

Ὡς γὰρ ἑτέρων ἤδη προαπεσταλμένων, οἱ v. 31. p. 211.
καταληφθέντες τὸ χρῆμα ἐπεφρίκεισαν.

Τί ἂν γένοιτο ἴσον εἰς εὐθυμίας δύναμιν, εἰ IX. 26. p. 240.
ἐπαισχύνεταί τινας ὁ κριτὴς ὡς ἐποφείλων τὸν τῆς εὐπειθείας μισθὸν, καὶ τῆς εἰς αὐτὸν ἀγάπης τὰ γέρα; φόβον δὲ ἐνθεῖναι βούλεται, λέγων ἐλεύσεσθαι μετὰ δόξης τῆς πατρικῆς καὶ ὑπὸ τῶν ἁγίων ἀγγέλων δορυφορούμενον.

Οὕπω τὴν ἐξ ὕψους δύναμιν ἐσχηκότας τοὺς v. 27.
μαθητὰς, εἰκὸς ἦν ἀνθρωπίναις ἀσθενείαις περιπεσεῖν, καί τι τοιοῦτον περὶ αὐτοῦ ἐννενοηκότας εἰπεῖν πῶς ἀρνήσεταί τις ἑαυτὸν; ἢ πῶς ἀπολέσας τὴν ἑαυτοῦ ψυχὴν εὑρήσει πάλιν αὐτὴν; τί δὲ τοῖς τοῦτο παθοῦσι τὸ ἰσοστατοῦν ἔσται γέρας; ἵνα τοίνυν τῶν τοιούτων αὐτοὺς ἀποστήσῃ λογισμῶν, καὶ οἷον μεταχαλκεύσῃ πρὸς εὐανδρίαν, τῆς ἐσομένης αὐτῆς εὐκλείας ἐπιθυμίαν ἐντεκὼν φησὶν· λέγω δὲ ὑμῖν, εἰσί τινες τῶν ὧδε ἑστηκότων, καὶ τὰ ἑξῆς· βασιλείαν δὲ θεοῦ αὐτὴν τὴν θέαν λέγει τῆς δόξης, ἐν ᾗ

IX. καὶ αὐτὸς ὀφθήσεσθαι· καθ' ὃν καιρὸν ἐπιλάμψει τοῖς ἐπὶ γῆς· ἥξει γὰρ ἐν δόξῃ, καὶ τοῦ θεοῦ, καὶ πατρὸς, καὶ οὐκ ἐν σμικροπρεπείᾳ τῇ καθ' ἡμᾶς· ταῦτα ὑποσχόμενος ἄνεισιν εἰς τὸ ὄρος, τρεῖς αὐτῶν τοὺς ἀπολέκτους ἔχων· εἶτα μεταπλάττεται πρὸς ἐξαίρετόν τινα καὶ θεοπρεπῆ λαμπρότητα, ὥστε καὶ ἱματισμὸν αὐτοῦ τῇ τοῦ φωτὸς προσβολῇ διαλάμψαι, καὶ ὅσον ἀπαστράψαι δοκεῖν· εἶτα Μωϋσῆς, καὶ Ἠλίας περιεστηκότες τὸν Ἰησοῦν προσελάλουν ἀλλήλοις τὴν ἔξοδον αὐτοῦ, ἣν ἔμελλε πληροῦν, φησὶν, ἐν Ἱερουσαλὴμ, τουτέστι τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ μυστήριον, καὶ τὸ ἐπὶ τοῦ σταυροῦ σωτήριον πάθος· καὶ γάρ ἐστιν ἀληθὲς, ὅτι ὁ διὰ Μωϋσέως νόμος καὶ τῶν ἁγίων προφητῶν ὁ λόγος, τὸ Χριστοῦ μυστήριον προανέδειξαν· ὁ μὲν ἐν τύποις, καὶ σκιαῖς· οἱ δὲ πολυτρόπως προηγορευκότες, ὡς καὶ ὀφθήσεσθαι καθ' ὰ καιροὺς ἐν εἴδει τῷ καθ' ἡμᾶς, καὶ τῆς πάντων ἕνεκεν σωτηρίας οὐ παραιτήσεται τὸν ἐπὶ ξύλου θάνατον· οὐκοῦν ἡ Μωϋσέως καὶ Ἠλιοῦ παράστασις, καὶ τὸ προσλαλεῖν ἀλλήλοις αὐτοὺς, οἰκονομία τίς ἦν, εὖ μάλα δεικνύσα, δορυφορούμενον μὲν ὑπὸ νόμου καὶ προφητῶν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ὡς καὶ νόμου καὶ προφητῶν δεσπότην, προδειχθέντα δὲ παρ' αὐτῶν, δι' ὧν ἀλλήλοις συνῳδὰ προεκήρυττον· ἀλλ' οἱ μὲν μα-

κάριοι μαθηταὶ βραχύ πως ἀπονυστάζουσι, τῇ προσευχῇ σχολάζοντος τοῦ Χριστοῦ· εἶτα διαγρηγορήσαντες, θεωροῦσι τὴν οὕτω παράδοξον καὶ σεμνὴν μεταβολήν· οἰηθεὶς δὲ ἴσως ὁ θεσπέσιος Πέτρος, ὅτι τάχα ἔνεστιν ὁ καιρὸς τῆς βασιλείας τοῦ θεοῦ, ἀποδέχεσθαι μὲν τὰς ἐν τῷ ὄρει διατριβὰς· σκηνὰς δὲ τρεῖς δεῖν γενέσθαι φησὶ· ἀλλ' οὐκ ᾔδει, φησὶν, ὃ λέγει· οὐ γὰρ ἦν καιρὸς τῆς συντελείας πού αἰῶνος, καὶ τοῦ λαβεῖν τοὺς ἁγίους τῆς ἐπηγγελμένης ἐλπίδος τὴν μέθεξιν· οὔσης οὖν ἐν ἀρχαῖς ἔτι τῆς οἰκονομίας, πῶς ἦν εἰκὸς καταλῦσαι τὸν Χριστὸν τῆς εἰς τὸν κόσμον ἀγάπης, ἀποφοιτήσαντα τοῦ παθεῖν ὑπὲρ αὐτοῦ; σέσωκε γὰρ τὴν ὑπ' οὐρανὸν, καὶ αὐτὸν ὑπομείνας τὸν κατὰ σάρκα θάνατον, καὶ διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως καταργήσας αὐτὸν· οὐκ ᾔδει τοιγαροῦν ὁ Πέτρος, ὅπερ ἔφη. IX.

Ἐπειδὴ ἤκουον, ὅτι δεῖ ἀναστῆναι τὴν ἡμετέραν σάρκα, ποίῳ δὲ σχήματι ἄδηλον ἦν, ἵνα δῷ δεῖγμα τῆς μεταβολῆς αὐτὸς ἑαυτοῦ τὴν σάρκα μετέβαλεν, ἵνα ἡμῖν τὴν ἐλπίδα βεβαιώσῃ· μεταμορφοῦται τοιγαροῦν ἔμπροσθεν αὐτῶν· πεπράχθαι δὲ φαμὲν τὴν μεταμόρφωσιν αὐτοῦ, οὐχὶ δή που τὸ σχῆμα τὸ ἀνθρώπινον ἀποβαλόντος τοῦ σώματος, ἀλλὰ δόξης τινὸς φωτοειδοῦς περιστελλούσης αὐτὸ, καὶ τὸν ἀτιμότατον τῆς σαρκὸς χαρακτῆρα μεταχρωννύσης ὥσπερ εἰς v. 29. p. 244.

IX. ὄψιν εὐκλεεστέραν, κατὰ τὸ, σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ, παρὰ τοῦ θείου Παύλου καλῶς εἰρημένον· νῦν μὲν γὰρ αὐτὸ τοῦτο σὰρξ ἐστὶ γυμνὴ, οὐ δόξῃ τινὶ κατακεχρωσμένη, οὐ λαμπρότητι φυσικῇ κατηγλαϊσμένη, ψιλὴν δὲ καὶ μόνην τὴν ἐκ φύσεως ἀδοξίαν τε ὁμοῦ καὶ ἀσθένειαν ἔχουσα· κατὰ δὲ τὸν τῆς ἀναστάσεως καιρὸν ἐξαλλαγή τις ἔσται θεοπρεπὴς, καὶ δόξης οὐ σχήματος μεταβολὴ· θείας γὰρ δόξης ἐπιβλήμασι περιαστράψει λοιπὸν· ἐκλάμψουσι γὰρ οἱ δίκαιοι καθάπερ ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτοῦ, κατὰ τὴν τοῦ σωτῆρος φωνήν· ἐκείνης οὖν τῆς μελλούσης δόξης ὑπόδειγμα παρεδήλου ἡ παραδειχθεῖσα τοῖς μαθηταῖς μεταμόρφωσις· καὶ σωματικῶς ἐπεδείκνυτο πρὸς τὸ καὶ τοῖς θνητοῖς αὐτῶν εἰς θέαν ὑποπεσεῖν ὀφθαλμοῖς, εἰ καὶ τὴν ὑπερβολὴν οὐκ ἤνεγκαν τῆς λαμπρότητος.

v. 35. p. 250. Πέπρακταί τι καὶ ἕτερον χρήσιμον εἰς βεβαίωσιν τῆς ἐπ' αὐτῷ πίστεως τοῖς τε μαθηταῖς καὶ πᾶσιν ἡμῖν· ἐκ νεφέλης γὰρ ἄνωθεν ὡς ἐκ τοῦ θεοῦ καὶ πατρὸς κατεπέμφθη φωνὴ λέγουσα· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, αὐτοῦ ἀκούετε· καὶ ἐν τῷ γενέσθαι τὴν φωνὴν, εὑρέθη, φησὶν, ὁ Ἰησοῦς ἑστὼς μόνος· Μωϋσέως δὲ καὶ προφητῶν μᾶλλον, αὐτοῦ ἀκούειν ἐπιτάττει· ἵνα δὲ μὴ συκοφαντῆται παρά τινων ἡ ἀλή-

θεια λεγόντων, ὅτι Μωϋσέως μᾶλλον ἀκούειν IX.
αὐτοὺς προστέταχεν, ἐπεσημήνατο ὁ εὐαγγελιστὴς λέγων· ὅτι ἐν τῷ γενέσθαι τὴν φωνὴν, εὑρέθη ὁ Ἰησοῦς μόνος· αὐτοῦ τοιγαροῦν προστέταχεν ἀκούειν· καὶ γάρ ἐστιν αὐτὸς τέλος νόμου καὶ προφητῶν· διὸ καὶ πρὸς Ἰουδαίους ἔλεγεν, εἰ ἐπιστεύετε Μωϋσεῖ, ἐπιστεύετε ἂν ἐμοὶ· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν· πίπτουσι δὲ οἱ μαθηταὶ ὑπὸ δείματος ἀκράτου· ἵνα πάλιν καὶ διὰ τούτου μάθωμεν, ὡς ἀναγκαιοτάτη τοῖς ἐπὶ γῆς ἡ τοῦ σωτῆρος διὰ τῆς ἐνανθρωπήσεως πέφηνε μεσιτεία· εἰ μὴ γὰρ γέγονε καθ' ἡμᾶς, τίς ἂν ἤνεγκεν ἄνωθεν προσλαλοῦντα τῷ θεῷ, καὶ τὴν ἄφραστον αὐτοῦ δόξαν, καὶ οὐδενὶ τάχα τῶν γηγενῶν φορητὴν, ἐκφαίνοντα; φῶς γὰρ οἰκεῖν αὐτὸν ἀπρόσιτον, καὶ ὁ θεσπέσιος φησὶ Παῦλος.

Οὐκ ἀμώμητον οὗτος τὴν πρόσοδον ἐποιήσατο, κατεβόησε γὰρ τοῦ χοροῦ τῶν ἁγίων μαθητῶν, ὡς μὴ ἰσχυσάντων ἐπιτιμῆσαι τῷ δαιμονίῳ· ἔδει γὰρ τιμωρίᾳ μᾶλλον τὸν Ἰησοῦν τὴν παρ' αὐτοῦ αἰτεῖν ἐπικουρίαν· διὸ φησὶν ὁ Χριστὸς, ὦ γενεὰ ἄπιστος· διὰ τὴν σὴν λέγων ἀπιστίαν οὐκ ἐνήργησεν ἡ χάρις· ὅτι γὰρ χρὴ μετὰ πίστεως καὶ Χριστῷ προσιέναι, καὶ τοῖς παρ' αὐτοῦ τὴν τοῦ δύνασθαι θαυματουργεῖν χάριν λαβοῦσιν, αὐτὸς ἡμᾶς ἐδίδαξε, πανταχοῦ τὴν πίστιν αἰτῶν παρὰ τῶν προσιόντων αὐτῷ· ταύ- v. 40. p. 252.

IX. της ἕνεκα τῆς αἰτίας αὐτοῦ καταβοᾷ ὁ Χριστὸς, γενεὰν ἄπιστον καὶ διεστραμμένην αὐτόν τε, καὶ τοὺς ὁμογνώμονας αὐτοῦ ἀποκαλῶν· ὁ γὰρ ἄπιστος, καὶ διεστραμμένος πάντως, κατ' οὐδένα τρόπον ὀρθοποδεῖν εἰδὼς· τοῖς οὕτω γνώμης ἔχουσιν ἀνοσιώτατα, οὐκ ἀξιοῖ συνεῖναι Χριστὸς· καὶ εἰ χρή τι τῶν ἀνθρωπίνων εἰπεῖν, ὀλιγωρεῖ καὶ ἀκηδιᾷ, ἕως τίνος λέγων ἔσομαι πρὸς ὑμᾶς, καὶ ἀνέξομαι ὑμῶν; ὁ γὰρ λέγων ἀσθενῆ πρὸς τὴν κατὰ τῶν πνευμάτων ἐνέργειαν, τοὺς παρ' αὐτοῦ λαβόντας τὴν χάριν αὐτῆς μᾶλλον κατηγορεῖ τῆς χάριτος, οὐ τῶν λαβόντων αὐτήν· αὐτοῦ γοῦν ἀνοσίως κατηγόρησεν ὁ εἰπὼν περὶ τῶν μαθητῶν, ὅτι οὐκ ἠδυνήθησαν αὐτὸ ἐκβαλεῖν.

v. 42. p. 253. Ἵνα δὲ μή τις οἴηται καὶ αὐτὸν τὸν Χριστὸν ἀτονῆσαι πρὸς τὴν θαυματουργίαν, ἐπετίμησε τῷ ἀκαθάρτῳ πνεύματι, καὶ παραχρῆμα ἐφυγαδεύετο· καὶ ἀπέδωκεν αὐτὸν φησὶ τῷ πατρὶ αὐτοῦ· οὐ γὰρ ἦν ἔτι τοῦ πατρὸς, ἀλλὰ τοῦ κρατοῦντος πνεύματος· ἐπειδὴ δὲ ἀπεσείσατο τὴν πλεονεξίαν, γέγονε πάλιν τοῦ ἰδίου πατρὸς τῇ Χριστοῦ δυνάμει, ὃς καὶ τοῖς ἰδίοις ἀποστόλοις δέδωκεν ἐξουσίαν τὰς θεοσημείας κατορθοῦν, καὶ τοῖς ἀκαθάρτοις ἐπιτιμᾶν πνεύμασι.

v. 44. Ποία τίς ἡ παρασκευάσασα πρόφασις τὸν Χριστὸν ταῦτα νῦν εἰπεῖν πρὸς τοὺς μαθητάς;

ἀνήνεγε μὲν τοὺς κορυφαίους αὐτῶν εἰς τὸ ὄρος, καὶ μεταμορφωθεὶς ἔδειξεν αὐτοῖς τὴν δόξαν, μεθ' ἧς κατὰ καιροὺς ἐπιλάμψει· κατελθὼν δὲ ἐκ τοῦ ὄρους, πονηροῦ καὶ ἀπηνοῦς πνεύματος ἠλευθέρωσε τινά· ἀλλ' ἔδει πάντως αὐτὸν τὸ σωτήριον ὑπὲρ ἡμῶν ὑπομεῖναι πάθος, καὶ τῆς Ἰουδαίων ἀνασχέσθαι σκαιότητος· οὐ γεγονότος, οὐδὲν ἀπεικὸς ἐννοεῖν ἐν θορύβοις ἔσεσθαι τοὺς μαθητὰς, καὶ τοιαῦτα περὶ καθ' ἑαυτοὺς ἐννοεῖν τε, καὶ λέγειν· ὁ τοσοῦτος ἐν δόξῃ, ὁ νεκροὺς ἀναστήσας ἐν ἐξουσίᾳ θεοπρεπεῖ, ὁ θαλάσσαις ἐτιτιμῶν καὶ πνεύμασιν, ὁ λόγῳ συντρίβων τὸν σαταναῦν, πῶς ἥλω νυνὶ, καὶ τοῖς τῶν φονώντων ἐμπέπτωκε βρόχοις; ἆρ' οὖν ἠπατήμεθα, θεὸν εἶναι νομίζοντες αὐτόν; ἵν' οὖν εἰδεῖεν τὸ πάντως ἐσόμενον, ἀπόθετον ὥσπερ εἰς νοῦν ποιεῖσθαι κελεύει τὸ μυστήριον· θέσθε γὰρ ὑμεῖς, φησὶν, εἰς τὰς καρδίας ὑμῶν· τὸ δὲ ὑμεῖς ἐν τούτοις διαστέλλοντός ἐστιν ἀπὸ τῶν ἄλλων αὐτοὺς· ἤθελε γὰρ εἰδέναι αὐτοὺς τὸ συμβησόμενον, οὐ μὴν καὶ λαλεῖν ἑτέροις· τούς τε γὰρ ἀγελαίους λαθεῖν ἔδει, ὅτι πείσεται· καὶ αὐτοὺς πεπληροφορημένους, ὅτι ἀναβιώσῃ πατήσας τὸν θάνατον, διαφυγεῖν ἑτοίμως τὰ ἐκ τοῦ σκανδαλίζεσθαι βλάβη. IX.

Πῶς ἠγνόουν οἱ μαθηταὶ τὸ Χριστοῦ μυστήριον, πλειστάχου διὰ τῆς τοῦ νόμου σκιᾶς προ- v. 45. p. 255.

IX. γραφόμενον; ἦσαν μὲν γὰρ ἐκ τῆς τῶν Ἰουδαίων ἀγέλης, οὐ ῥᾳθυμοι δὲ οὐδὲ τῶν Μωϋσέως γραμμάτων ἀνεπιστήμενες· καὶ γοῦν διὰ τοῦτο ἀπόλεκτοι γεγόνασι παρὰ Χριστοῦ· ἀλλ' ὡς ὁ μακάριος φησὶ Παῦλος, πώρωσις ἀπὸ μέρους γέγονε τῷ Ἰσραὴλ, καὶ ἄχρι τῆς σήμερον ἡνίκα ἀναγινώσκεται Μωϋσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται· χρὴ τοιγαροῦν προσιόντας τῷ Χριστῷ λέγειν, ἀπόκαλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου.

v. 46. Οὐ πάντας οἶμαι τοὺς μακαρίους μαθητὰς τὴν τοιαύτην ἐσχηκέναι νόσον· ἀπίθανον γὰρ ἅπαντας κοινὴν, καὶ μίαν εὐθὺς εἰσδέξασθαι νόσον· ἑνὸς δὲ ὡς οἶμαι πεπονθότος αὐτὴν, ἵνα μή τινα διαβολὴν κατά τινος τῶν συμμαθητῶν ὁ σωφώτατος εὐαγγελιστὴς ἐξυφαίνων εὑρεθῇ, ἀδιορίστως ἀποφαίνεσθαι λέγων, ὅτι εἰσῆλθε διαλογισμὸς ἐν αὐτοῖς, τὸ τίς ἂν εἴη μείζων αὐτῶν· τὸ δὲ οὕτω διαλογίζεσθαι ἐπιθυμοῦντος ἦν τοῦ προεστάναι τῶν ἄλλων· ἀλλ' ὁ καρδιογνώστης ἔγνω τε τὸ πάθος, καὶ ἰάσατο.

v. 48. p. 256. Ὅτε τοίνυν τοῖς τιμῶσιν ἁγίους εἷς τε καὶ ὅμοιος ὁ μισθὸς, κἂν μικρὸν εἴη τίς τυχὸν, κἂν τῶν ἐν προύχοντι μέτρῳ τε καὶ δόξῃ· ὁ δεχόμενος γὰρ, φησὶ, τὸ παιδίον τοῦτο, ἐμὲ δέχε-

ται, καὶ τὸν πατέρα μου· πῶς οὐχ ἕωλον παν- IX.
τελῶς τὸ ἀλλήλοις φιλονεικεῖν, καὶ ϖρωτείων
ἐρᾶν; διατρανοῖ δὲ ἐπὶ πλέον τὸν ἐπὶ τούτῳ τῷ
λόγῳ σκοπὸν, καὶ φησὶν· τὸν μικρότερον ἐν πᾶ-
σι διὰ ταπεινοφροσύνην, τοῦτον εἶναι μέϛαν· διό-
τι γέγραπται, ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν, ταπει-
νωθήσεται· ὁ δὲ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται.

Δικαίως τοῦτον ἀπεπέμψατο· ἐχρὴν γὰρ αὐ- v. 58.
τὸν λαβεῖν τὸν ἑαυτοῦ ϛαυρὸν, ἤγουν ἀποτά- p. 261.
ξασθαι τοῖς μαϛαίοις τοῦ βίου τούτου περισπα-
σμοῖς· ἡ γὰρ φιλία τοῦ κόσμου ἐχθρὰ τοῦ θεοῦ
ἐϛὶ· τοιοῦτον ὄνϛα τὸν ἄνθρωπον ἐλέγχει πλα-
γίως, οὐκ ὀνειδίζων μᾶλλον, ἀλλ' ἐπανορθῶν·
διὰ τοῦτο φησὶν, αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι,
καὶ τὰ πέτεινὰ τοῦ οὐρανοῦ καϛασκηνώσεις· ὁ δὲ
υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ϖοῦ τὴν κεφαλὴν
κλίνῃ· καὶ ἡ μὲν ἁπλουϛέρα διάνοια αὕτη· ἔοι-
κε δὲ κατὰ τὴν βαθυτέραν ἔννοιαν ἀλώϖεκας,
καὶ ϖετεινὰ τοῦ οὐρανοῦ τὰς ϖανούργους καὶ
δολερὰς τῶν δαιμόνων ἀγέλας ἀϖοκαλεῖν· οὕ-
τω γὰρ πολλαχοῦ τῆς θείας ϛραφῆς κέκληνται·
ϖιάσατε ἡμῖν ἀλώϖεκας μικροὺς ἀφανίζοντας
ἀμπελῶνας· καὶ αὐτὸς δὲ ὁ κύριος τὸν Ἡρῴδην
ἀλώπεκα ϖροσεῖπε· καὶ περὶ τῶν ἐν τῇ γῇ κα-
ταβληθέντων σπερμάτων φησὶ, ὅτι τὰ ϖετεινὰ
τοῦ οὐρανοῦ κατέφαγεν αὐτὰ, περὶ τῶν πονηρῶν
πνευμάτων λέγων· ὅτε τοίνυν αἱ τοιαῦται ἀλώ-

IX. πεκες, καὶ τὰ πεῖνα φωλεοὺς, καὶ καταδύσεις ἔχουσιν ἐν ἡμῖν, πῶς ἔλθῃ Χριστὸς; ποῦ δὲ ἀναπαύσεται; τίς κοινωνία φωτὶ πρὸς σκότος;

v. 59. p. 263. Ἀξιοζήλωτον μὲν οὖτος τὴν ὑποσχεσιν ἐνεδείξατο, καὶ ἐπαινουμένην· τὸ δὲ ζητεῖν ἀποτάξασθαι τοῖς οἰκείοις, μεμερισμένην ἔχειν ἐνδείκνυται τὴν διάνοιαν· τὸ γὰρ ἐθέλειν ὅλως προανακοινοῦσθαι τοῖς μὴ ἀποδεξομένοις, οὐ βεβηκότος ἐστὶ λογισμοῦ· διὸ καὶ φησὶ πρὸς αὐτὸν· οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ, καὶ τὰ ἑξῆς· ὥσπερ γὰρ ὁ ἀροτριῶν ὅταν ὀκνήσῃ πρὸς τὸ λεῖπον, οὐκ ὄψεται τοὺς καρποὺς πληθύνοντας, οὕτως καὶ ὁ ἑλόμενος μὲν ἀκολουθεῖν τῷ Χριστῷ, οὐκ ἀποτασσόμενος δὲ τοῖς κοσμικοῖς πράγμασι, καὶ τοῖς κατὰ σάρκα οἰκείοις, μαλίστα τοῖς μὴ τὸν σκοπὸν ἀποδεχομένοις αὐτοῦ, οὐδαμῶς οὗτος κατορθώσει τὴν ἀγαθὴν εὐτολμίαν, οὐδὲ εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ὁ γὰρ τοιοῦτος ἐπιβάλλει μὲν ἀρότρῳ τὴν χεῖρα, διὸ πρόθυμος ἐστιν ἀκολουθεῖν· ὀπίσω δὲ βλέπει, διότι ἀναβολῆς πρόφασιν ποιεῖται τὴν πρὸς τοὺς οἰκείους διάλεξιν καὶ συμβουλήν· ἀλλ' οὐδαμῶς τοιούτους εὑρήσομεν ὄντας τοὺς ἁγίους ἀποστόλους· ἅμα γὰρ τῷ ἀκοῦσαι τοῦ Χριστοῦ λέγοντος, δεῦτε ὀπίσω μου, ἀφέντες τὸ πλοῖον, καὶ τὸν πατέρα αὐτῶν, ἠκο-

λούθησαν αὐτῷ, οὓς μιμεῖσθαι χρὴ τοὺς ἀκο- IX.
λουθοῦντας Χριστῷ.

Τούτου ὁ τύπος καὶ ἐν τοῖς Μωϋσέως προε- X. 1. p. 266.
γράφετο λόγοις· ἑβδομήκοντα μὲν γὰρ ἐπε-
λέξατο, καὶ αὐτὸς θεοῦ προστάττοντος· ἐπη-
φίει δὲ τοῖς ἐξειλεγμένοις τὸ πνεῦμα θεὸς· καὶ
καθ' ἕτερον δὲ τρόπον, τούς τε δώδεκα μαθη-
τὰς, καὶ αὐτοὺς τοὺς ἑβδομήκοντα, διὰ τῆς τοῦ
νόμου σκιᾶς σημαινομένους εὑρήσομεν· γέγρα-
πται γὰρ ἐν τῇ ἐξόδῳ περὶ τῶν υἱῶν Ἰσραὴλ·
ἦλθον φησὶν εἰς Ἱερουσαλὴμ, ἑρμηνεύεται δὲ
ἀνάβασις, ἤ τοι αὔξησις, καὶ ἦσαν ἐκεῖ δώδε-
κα ὑδάτων πηγαὶ, καὶ ἑβδομήκοντα στελέχη
φοινίκων· ἀναβαίνοντες γὰρ εἰς τελεωτέραν σκύε-
σιν * καὶ αὔξησιν πνευματικὴν, εὑρίσκομεν τοὺς * Ita cod.
δώδεκα ἁγίους ἀποστόλους, καὶ τοὺς ἀναδειχ-
θέντας ὑπὸ Χριστοῦ ἑβδομήκοντα· ἀρδόμεθα
γὰρ ὡς ἐκ πηγῶν ἁγίων τῶν τοῦ σωτῆρος μα-
θητῶν παντὸς ἀγαθοῦ εἴδησιν· θαυμάζομεν δὲ
καὶ τοὺς ἑβδομήκοντα, καὶ οἱονεὶ φοίνικας εἶναι
φαμὲν· εὐκάρδιον γὰρ τὸ φυτὸν, εὔκαρπόν τε,
καὶ εὔῤῥιζον, καὶ ἀεὶ τοῖς ὕδασιν ἐντεθηλός.

Προλέγει τοὺς διωγμοὺς, ἵνα ἐνέγκωσι τὴν v. 3. p. 268.
πεῖραν· καὶ πῶς ἂν περιγένοιτο πρόβατον λύ-
κου; ἐγὼ φησὶ συνέσομαι, καὶ συνασπιῶ, με-
βάλλων τοὺς λύκους εἰς πρόβατα· οὐδὲν γάρ
μοι τῷ θελήματι ἀνθέστηκεν· καὶ τοῦτο ἡ πεῖρα

x. ἔδειξεν ἐπὶ Παύλου, τὸν γὰρ παντὸς λύκου ἀπηνέστερον τοῖς πιστεύουσιν εἰς αὐτὸν, προβάτου πεποίηκεν ἡμερώτερον.

v. 4. p. 269. Οὐδὲ τὴν περὶ τοῦ σώματος ἔχειν φροντίδα ἐπιτρέπει, μὴ ὅτι περὶ τὰ ἔξω τοῦ σώματος ἀσχολεῖσθαι, ὅπου μὴ δὲ ἐφοδίων φροντίσαι, μηδὲ ἐπικομίσασθαί τι τῶν οὐκ ἤδη περικειμένων τῷ σώματι, οἷον ὑποδήματα· ἀλλ' ἐπ' αὐτῷ πᾶσαν τίθεσθαι τὴν φροντίδα· ἀλλ' οὐδὲ τῆς σπουδῆς παρελκυσμόν τινα παρῆκε προσδέξασθαι, μὴ δὲ ἄχρι τοῦ τῶν συντυγχανόντων ἀσπασμοῦ συγχωρήσας ἀφέλκεσθαι· ὃ καὶ πάλαι ὑπὸ Ἐλισσαίου ἐλέγετο τῷ ἀποσταλέντι, εὐθείᾳ ὁρμῇ ἐπὶ τὸ ἔργον χωρεῖν, καὶ μηδὲ εὐλογοῦντα ἀντευλογεῖν· ζημία γὰρ τῆς σπουδῆς ἡ πρὸς ἑτέρους ἀπόνευσις· μηδὲ τοῦτο φησὶν ἐμπόδιον τοῦ κηρύγματος γένηται, ὁμιλίας ἐν μέσῳ παρεμπιπτούσης, καὶ βραδύτητος προφάσει φιλίας· μηδὲ μία οὖν διαβολικὴ κακουργία ὑμᾶς ἀποσπάσῃ.

v. 17. p. 273. Ἵνα γὰρ μὴ νομίζοιντο οἴκοθεν ἥκειν πρὸς τὸ κήρυγμα, ἐμαρτύρει ἡ δοθεῖσα αὐτοῖς τοῦ πνεύματος χάρις· ἐπαγομένης γὰρ τῷ λόγῳ τῆς θεοσημείας, οὐδεὶς ἂν ἴσχυσεν κατ' αὐτῶν συκοφαντίας τρόπος· ἔχαιρον ὡς ἀξιωθέντες θαυματουργεῖν, καὶ ὑποτάσσειν τὰ δαιμόνια.

v. 18. Τὸ ὡς ἀστραπὴν πεσεῖν δηλοῖ τὸ ἐξ ὕψους

αὐτὸν καʹτενεχθῆναι πρὸς Γῆν, ἐκ δόξης εἰς ἀτι- X.
μίαν, ἐξ ἰσχύος εἰς ἀσθένειαν· πρὸ μὲν γὰρ τῆς
οἰκονομίας τοῦ σωʹτῆρος καʹτεκράτησε τῆς ὑπ' οὐ-
ρανὸν, προσκυνηθεὶς σχεδὸν παρὰ πάνʹτων· τότε
δὲ πέπτωκεν ὡς ἀσʹτραπὴ, ὁ πάνʹτας ἔχων προσ-
κυνηʹτὰς τοὺς πεπλανημένους, καὶ ὑπὸ πόδας τέ-
θειται τῶν προσκυνούνʹτων αὐτὸν· τοῦτο Γὰρ μη-
νύει τὸ, ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν τοῦ παʹτεῖν
ἐπάνω ὄφεων καὶ σκορπίων· τοὺς δαίμονας, ὄ-
φεις καὶ σκορπίους καλῶν.

Ἰδού, φασιν οἱ διεσʹταλμένοι τὸν νοῦν, χά- v. 21.
ριν ὁμολογεῖ τῷ πατρὶ· πῶς οὖν οὐκ ἐλάττων p. 276.
αὐτοῦ; καὶ τί τὸ κωλύον, ὦ βελʹτίστοι, φαίη τις
ἂν, τὸ ὁμοούσιον υἱὸν ἀποδέχεσθαι, καὶ ἐπαι-
νεῖν τὸν ἑαυτοῦ παʹτέρα, σώζοντα δι' αὐτοῦ τὴν
ὑπ' οὐρανὸν; εἰ δὲ νομίζεις διὰ τὴν ἐξομολόΓη-
σιν ἐλάττονα εἶναι, ἄκουσον τῶν ἑξῆς· κύριον
οὐρανοῦ καὶ Γῆς τὸν ἑαυτοῦ καλεῖ πατέρα· ὁ
υἱὸς δὲ τοῦ τῶν ὅλων κρατοῦνʹτος θεοῦ, πάντως
που σὺν αὐτῷ δεσπόζει τῶν ὅλων, καὶ ἐπάνω
πάντων ἐστὶν ὡς θεὸς ἐκ θεοῦ, καὶ τὴν κατὰ
πᾶν ὁτιοῦν ἰσότηʹτα πρὸς αὐτὸν ἔχων οὐσιωδῶς.

Οὐδεὶς γὰρ γινώσκει τὴν τοῦ πατρὸς φύσιν v. 22.
ἀδιδάκʹτως, φησὶν, εἰ μὴ ὁ υἱὸς· οὐδὲ τὸν ὁμοού- p. 278.
σιον αὐτῷ υἱὸν εἶδε τίς, εἰ μὴ ὁ πατήρ· ὅσοι
δὲ δι' ἀποκαλύψεως ἔγνωσαν τὸν θεὸν, οὗτοι
οὐ τί ἐστιν ἔγνωσαν, ἀλλ' ὅτι ἐστὶν· πῶς οὖν

X. μηδενὸς εἰδότος τὸν υἱὸν, εἰ μὴ τοῦ πατρὸς, οἱ αἱρετικοὶ τετολμήκασι λέγειν, ὅτι ἐλάττων ἐστὶν αὐτοῦ, ὡς ἀκριβῶς εἰδότες αὐτὸν; ὃν γὰρ μόνος οἶδεν ὁ πατὴρ, ὑπὲρ πάντα νοῦν ἐστὶ καὶ λόγον, καθὰ καὶ αὐτὸς ὁ πατὴρ ὁ ὑπὸ μόνου γινωσκόμενος τοῦ ἰδίου υἱοῦ· μόνη γὰρ οἶδεν ἑαυτὴν ἡ ἁγία καὶ ὁμοούσιος τριὰς· ἀποκαλύπτει δὲ ἡμῖν ὁ υἱὸς διὰ τοῦ ἁγίου πνεύματος, ὡς φησὶ Παῦλος· ἡμῖν γὰρ ἀπεκάλυψεν ὁ θεὸς διὰ τοῦ πνεύματος αὐτοῦ.

XI. 5. p. 302. Διδάξας τίνα δεῖ τρόπον προσεύχεσθαι, λοιπὸν διδάσκει μὴ ἀψικόρως, μηδὲ ῥᾳθύμως τοῦτο δρᾶν· μηδὲ ἀνακόπτειν τὰς ἱκετείας, ὡς μὴ ἀκουσθέντας ἐκ πρώτης ἢ δευτέρας εὐχῆς· δείκνυσιν οὖν ἐν τύπῳ παραβολῆς, ὡς τὸ μικρόψυχον, καὶ ῥάθυμον ἐν προσευχῇ ἐπιζήμιον· ἐπωφελὴς δὲ λίαν, ἡ ἐν τούτοις ὑπομονή· ζητεῖτε δὲ λέγων, πονεῖν ἐπιτάττει· πόνῳ γὰρ ἀεί πως εὑρίσκεται τὸ ζητούμενον· ὁ κρούων δὲ τῇ χειρὶ προσαράσσει τὴν θύραν, ἵνα τὴν ὄχλησιν τῶν κρουσμάτων οὐκ ἐνεγκὼν ὁ τῆς ἑστίας δεσπότης ἀνοίξῃ καὶ οὐχ ἑκών· ἐμφρόνως οὖν καὶ εὐτόνως εὔχεσθαι χρὴ· κἂν ἀναβολή τις τῶν αἰτημάτων γένηται, μὴ ναρκᾶν, μηδὲ ἀφίστασθαι· οἶδε γὰρ αὐτὸς ὁ διδοὺς τὸν ταῖς φιλοτιμίαις πρέποντα καιρόν.

V. 29. p. 316. Ἐκ πονηρίας ἡ αἴτησις· διὸ οὐδὲ ἐπιτυγχά-

νουσι, καὶ τὸ ζητήσουσί με κακοὶ, καὶ οὐχ εὑ- XI.
ρήσουσιν· εἴπερ δὲ ἦν ἐφικτὸν μὴ ἂν ἐθελῆσαι τὸν Ἰησοῦν παθεῖν κατὰ σάρκα τὸν ἐπὶ σταυροῦ θάνατον, οὐδ' ἂν τοῦτο τοῖς Ἰουδαίοις τὸ σημεῖον ἐδόθη· ἐπεὶ δὲ ἀπαραίτητον ἦν τὸ ἐπὶ σωτηρίᾳ τῆς ὑπ' οὐρανὸν πάθος, δέδοται αὐτοῖς εἰς κατάκριμα· ὅτι δὲ πάμμεγα σημεῖον ἐστὶ τῆς θεοπρεποῦς δυνάμεώς τε, καὶ ἐξουσίας τοῦ ἐνανθρωπήσαντος λόγου τὸ καταργῆσαι τὸν θάνατον διὰ τῆς ἐκ νεκρῶν αὐτοῦ ἀναστάσεως, ἀρκέσει οἶμαι τοῖς ἐπιεικέσιν εἰς πληροφορίαν τὸ πολλοῖς ἀναπεισθῆναι χρήμασιν τοὺς Πιλάτου στρατιώτας, οἳ τὸν δεσποτικὸν τάφον ἐτήρουν, ἵν' εἴπωσιν, ὅτι ἡμῶν κοιμωμένων ἐκλάπη νυκτὸς· οὐδὲ τούτῳ οὖν τῷ σημείῳ πεπιστεύκασιν Ἰουδαῖοι· διὸ καὶ μάλα εἰκότως ἔφη περὶ αὐτῶν, ὅτι βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης.

Προστεθείκασι δὲ ταῖς κατ' αὐτοῦ δυσσεβείαις, καὶ τὰς κατὰ τῶν θείων αὐτοῦ μαθητῶν μιαιφονίας· προφήτας γὰρ καὶ ἀποστόλους τούτους καλεῖ, καὶ τοὺς τούτων διαδόχους, καὶ τοὺς κατὰ καιρὸν ποιμένας, καὶ διδασκάλους τῆς ἐκκλησίαις, ἐν προφητείαις, καὶ τοῖς ἄλλοις χαρίσμασι τοῦ πνεύματος λάμψαντας. v. 47. p. 328.

Δείκνυσιν ὅτι τοῖς ἀνθρώποις μέχρι σώματος ἐστὶν ἡ τιμωρία, καὶ πέρας αὐτῆς τῆς καθ' XII. 4. p. 329.

XII. ἡμῶν ἐπίβουλῆς ὁ τῆς σαρκὸς θάναΐος· θεοῦ δὲ κολάζοντος, οὐ μέχρι μάνης σαρκὸς ἡ ζημία, ἀλλὰ καὶ αὐτὴ συμπάσχει ταῖς αἰκίαις ἡ ἀθάνατος ψυχὴ· εἰς πνευματικὴν οὖν εὐανδρίαν ἀλείφει τοὺς ἀγαπῶντας αὐτὸν· οὐ γὰρ πρέπει ἂν ἅπασιν ὁ λόγος οὗτος, ἀλλὰ τοῖς ἐξ ὅλης καρδίας ἀγαπῶσιν αὐτὸν, οἳ δύναιντ' ἂν λέγειν· τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀΓάπης τοῦ Χριστοῦ, θλῖψις, ἢ στενοχωρία, ἢ διωγμὸς; οἱ γὰρ μὴ τοιοῦτοι, εὐπαρακόμιστοι λίαν εἰσὶν, καὶ πρὸς ἀποστασίαν ἕτοιμοι.

v. 32. p. 341. Μικρὸν ποίμνιον τοὺς ἁΓίους ὀνομάζει· ἐπειδὴ παράκειΓαι μικρότης ἐν κόσμῳ τοῖς ἑκουσίως ἀκτήμοσι καὶ ἀχρημάτοις· τούτοις γὰρ εὐδόκησεν ὁ πατὴρ δοῦναι τὴν βασιλείαν· ὅθεν εὐθὺς ἐπειπὼν ἐδίδαξεν· πωλήσατε τὰ ὑπάρχοντα, καὶ δότε ἐλεημοσύνην, καὶ τὰ ἑξῆς· ἢ μικρὸν ποίμνιον πρὸς τὸ μέγεθος τοῦ πλήθους τῶν ἀπίστων· ἢ καὶ διὰ τὴν ἑκούσιον ταπείνωσιν τοῦ τοιούτου ποιμνίου· ὃ κελεύει μὴ φοβεῖσθαι τὴν ἔνδειαν τῆς σωματικῆς χρείας· εἰ γὰρ τὴν οὕτω μεγάλην καὶ ἐξαίρετον δίδωσιν ἀπόλαυσιν, ἥ τοι τὴν βασιλείαν τῶν οὐρανῶν, δώσει πάντως καὶ τὰ τῇ σαρκὶ ἀναγκαῖα, καὶ ζωαρκῆ.

v. 35. p. 344. Ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι· ὁδοιπορικὸν ΓὰΡ τὸ σχῆμα, καὶ ὅτι μάλισΓα ποε-

πωδέστατον τοῖς τὸ θεῖον κηρύττουσιν εὐαγγέ- XII.
λιον· οὕτω καὶ δι' ἑνὸς τῶν προφητῶν φησὶ πρὸς
τοὺς ἐν Βαβυλῶνι αἰχμαλώτους ὁ θεὸς τὴν ἐπάν-
οδον προαναφωνῶν, καὶ πρὸς ταύτην εὐτρεπί-
ζεσθαι προτρέπων· σκόπευσον ὁδὸν, κράτησον
ὀσφύος, ἄνδρισαι τῇ ἰσχύϊ σου σφόδρα· ὡς γὰρ
αὐτίκα μάλα πρὸς Ἰουδαίαν βαδιουμένους, κρα-
τεῖν ὀσφύος κελεύει· τοὐτέστιν ἑτοίμως καὶ ἐπι-
τηδείως ἔχειν πρὸς τοὺς τῆς ὁδοιπορίας πόνους,
καὶ παντὸς πόνου καταφρίζεσθαι, ἀμάχῳ τῇ
προθυμίᾳ χρωμένους.

Πολλοὶ συνελεύσονται τοῖς ἁγίοις, αὐτοὶ δὲ XIII. 29.
ἐξωσθήσονται· καὶ τὴν πρώτην ἐσχηκότες τάξιν, p. 376.
τὴν δευτέραν ἕξουσι τότε, προτεταγμένων ἑτέ-
ρων, ὃ καὶ γέγονε· προτετίμηνται γὰρ τὰ ἔθνη
τῆς Ἰουδαίων ἀγέλης· ἔσονται οἱ ἐξ ἐθνῶν πι-
στοὶ πρῶτοι, οἱ δοκοῦντες ἔσχατοι νῦν, ὡς ἔ-
σχατοι τὸν θεὸν ἐπιγνόντες· ἔσονται δὲ τότε πρῶ-
τοι διὰ τὴν εἰλικρινῆ πίστιν αὐτῶν· οἱ δὲ ἄπι-
στοι Ἰουδαῖοι, οἳ δοκοῦσι μὲν πρῶτοι νῦν, ὡς
πρῶτοι τὸν θεὸν ἐπιγνόντες, υἱὸς γάρ φησι πρω-
τότοκός μου Ἰσραὴλ, ἔσονται τότε ἔσχατοι διὰ
τὴν ἀπιστίαν αὐτῶν· νοεῖται δὲ ὁ λόγος καὶ πε-
ρὶ τῶν πιστῶν τῶν δοκούντων μὲν εἶναι ἐσχάτων
ἐν τῷ παρόντι βίῳ, ἐσομένων δὲ πρώτων ἐν τῷ
μέλλοντι αἰῶνι, καὶ αὖθις ἐναλλάξ.

Οὐκ ἤθελον ὑπὸ βασκανίας οἱ φαρισαῖοι τὸν v. 31.
p. 378.

XIII. Χριστὸν ἐνδημεῖν τοῖς Ἱεροσολύμοις, ἵνα μὴ ταῖς θεοσημείαις, καὶ ταῖς ὑπὲρ νόμον μυσταγωγίαις πρὸς τὴν αὐτοῦ πίστιν σαγηνεύσῃ πολλούς· ἐπειδὴ δὲ θεὸς ὢν οὐκ ἠγνόει τοὺς αὐτῶν διαλογισμούς, ὑποπαντᾷ πρᾴως τε, καὶ ἐπεσκιασμένως ὡς ἔθος αὐτῷ· εἴπατε γὰρ φησὶ τῇ ἀλώπεκι ταύτῃ.

XIV. 11. p. 393. Τὸ πᾶς ὁ ὑψῶν αὐτὸν ταπεινωθήσεται, ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται, οὐ πάντως κατὰ τὴν τῶν ἀνθρώπων ἐπιτελεῖται συνήθειαν· μόνως δὲ τῆς θείας ἅπτηται ψήφου· ἀλλὰ τοῦτο μὲν περὶ τῆς σωτηρίου ταπεινοφροσύνης τὸ παράγγελμα· καλὸν δὲ καὶ πρὸς τοὺς καλοῦντας ἐπιφέρει τὸ δίδαγμα, μέγαν εἰσάγων τὸν καρπὸν τῆς τῶν πενήτων δεξιώσεως.

v. 26. p. 404. Τίς ἡ αἰτία τῆς τοιαύτης νῦν διδασκαλίας; ἐπειδὴ οἱ κληθέντες εἰς τὸν γάμον ἀπὸ μιᾶς παρῃτήσαντο, ὁ μὲν τὸν ἀγρὸν προφασισάμενος τὸν νεώκτητον, ὁ δὲ ἄλλό τι τῶν βιωτικῶν, ἀναγκαίως ἡμᾶς διδάσκει, ὅτι τοῦ θεοῦ καλοῦντος πρὸς ἑαυτὸν, τῶν εἰς σάρκα καὶ περὶ αὐτὴν ἐπιθυμιῶν καταφρονητὰς εἶναι προσήκει.

XVII. 34. p. 467. Νύκτα καλεῖ τὸν τῆς κρίσεως καιρὸν, διὰ τὸ ἀσυμφανὲς καὶ ἀπροσδόκητον τῆς αὐτοῦ παρουσίας.

XVIII. 8. p. 471. Καὶ γὰρ ἐξ ἡμῶν τινὲς ὡς οἰκέται γνήσιοι ἐν ἑδραιότητι πίστεως διατηρηθήσονται παρὰ

θεοῦ ἐωὶ γῆς ὄντες· καλὴ τοίνυν ἡ ἔντευξις· XVIII.
ωροσδέχεται γὰρ ἡμῶν τὰς λιτὰς ὁ Χριστὸς·
ἀποπληρώσει δὲ τὰ αἰτήματα.

Ἔξεστι γὰρ αὐτοῖς, εἰ μὴ εἰσάπαν ἔλοιντο v. 26.
τὸ τῶν ὅλων ὄντων ἀπολισθεῖν, ἑτέρως εὐδοκι- p. 478.
μεῖν, ποιῆσαι φίλους ἐκ τοῦ ἀδίκου μαμωνᾶ,
ἵνα ὅταν ἐκλίπωσι, δέξωνται αὐτὸν εἰς τὰς αἰω-
νίους σκηνάς.

Ὁποῖα δὲ τῷ Ζακχαίῳ γέγονεν ἡ τῆς ἐωι- XIX. 3.
στροφῆς ὁδὸς; ἐωεθύμησεν ἰδεῖν τὸν Ἰησοῦν· p. 485.
ἐβλάστησε γὰρ ἐν αὐτῷ σωέρμα σωτηρίας· τε-
θέαται τοῦτο Χριστὸς τοῖς τῆς θεότητος ὀφθαλ-
μοῖς· ἀναβλέψας οὖν εἶδεν αὐτὸν καὶ τοῖς τῆς
ἀνθρωπότητος· καὶ ἐπειδὴ σκοπὸς ἦν αὐτῷ, πάν-
τας ἀνθρώωους σωθῆναι, προτείνει τὴν ἡμερό-
τητα· καὶ παραθαῤῥύνων αὐτὰν λέγει, σπεύσας
κατάβηθι· ἐζήτει γὰρ αὐτὸν θεάσασθαι, καὶ
ἐκώλυεν αὐτὸν ὁ ὄχλος, οὐ τοσοῦτον ὁ τῶν ἀν-
θρώωων, ὅσον ὁ τῶν ἁμαρτημάτων· ἦν δὲ καὶ
μικρὸς τὴν ἡλικίαν οὐ μόνον τὴν σωματικὴν, ἀλ-
λὰ καὶ τὴν πνευματικὴν· καὶ οὐκ ἄλλως ἠδυνή-
θη ἰδεῖν αὐτὸν, εἰ μὴ ὑψώθη ἀπὸ τῆς γῆς, καὶ
ἀνέβη ἐπὶ τὴν συκομωραίαν, δι' ἧς ἔμελλε διελ-
θεῖν ὁ Χριστὸς· ἔχει δὲ αἴνιγμα ὁ λόγος· οὐκ
ἄλλως γὰρ δύναταί τις ἰδεῖν τὸν Χριστὸν, καὶ
πιστεῦσαι εἰς αὐτὸν, εἰ μὴ ἐπὶ τὴν συκομωραίαν
ἀρθῇ, μωράνας τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορ-

XIX. νεῖαν, ἀκαθαρσίαν, καὶ τὰ ἑξῆς· ἔμελλε δὲ, φησὶν, ὁ Χριστὸς διὰ τῆς συκομωραίας διέρχεσθαι· τὴν γὰρ νομικὴν ὁδεύσας πολιτείαν ὃ ἐστι συκῆ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο, ὅ ἐστι τὸν σταυρὸν καὶ τὸν θάνατον· καὶ πᾶς ὃς αἴρει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ τῇ τοῦ Χριστοῦ πολιτείᾳ, σώζεται, συνετῶς τὸν νόμον ἐργαζόμενος, ὅς ἐστι συκῆ μὴ ποιοῦσα σύκα ἀλλὰ μῶρα· μωρία γὰρ τοῖς ἰουδαίοις φαίνεται ἡ κεκρυμμένη τοῖς πιστοῖς ἐργασία, ἐν περιτομῇ κακίας, καὶ ἀργίᾳ φαύλης πράξεως, μὴ μέν τοι αἰσθητῶς ἀκροβυστίαν περιτεμόντων, καὶ τηρούντων τὸ σάββατον· ἔγνω τοίνυν αὐτὸν ἕτοιμον εἰς ὑπακοὴν, καὶ θερμὸν εἰς πίστιν, καὶ εὐμετάβλητον ἀπὸ κακίας εἰς ἀρετὴν· διὸ καὶ καλεῖ, καὶ ἄπειστι κερδήσων αὐτὸν· ὁ δὲ σπεύσας κατέβη, καὶ ὑπεδέξατο αὐτὸν χαίρων· χαίρων οὐ μόνον ὅτι εἶδεν αὐτὸν ὡς ἐζήτει, ἀλλ' ὅτι καὶ ἐκλήθη παρ' αὐτοῦ, καὶ ὅτι ὑπεδέξατο αὐτὸν, ὡς οὐκ ἄν ποτε προσεδόκησεν.

v. 25. p. 498. Ἄγεται ὁ πῶλος, δύο μαθητῶν ἀπεσταλμένων παρὰ Χριστοῦ· ὑπηρετοῦσι γὰρ πρὸς τοῦτο αὐτῷ δύο τάγματα, προφῆται καὶ ἀπόστολοι· δι' ὧν σαλπευέται εἰς πίστιν τὰ ἔθνη, ὧν ἔστι τύπος ὁ πῶλος· ἄγεται δὲ ἀπό τινος κώμης, ἵνα καὶ διὰ τούτων τὴν ἄδικον τῶν ἐθνῶν καταδείξῃ φρένα, οὐκ ἐννόμως ἀλλ' ἀγρίως, καὶ ἀτη-

μελῶς ζησάντων· πλὴν μετέστη ἐπὶ τὸ ἥμερον, γέγονε γὰρ ὑπὸ Χριστῷ τῷ πάντα διδάσκοντι· ἕτερος δὲ εὐαγγελιστὴς, καὶ παῖδας ἔφη βαΐα φοινίκων ἀναπείνοντας προπρέχειν αὐτοῦ, καὶ ὁμοῦ τοῖς μαθηταῖς δοξολογεῖν· ἵνα καὶ δι' αὐτῶν τὸν νέον καὶ ἐξ ἐθνῶν λαὸν, ὥσπερ ἐν πίναξι γεγραμμένον ἴδωμεν· γέγραπται γὰρ, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν κύριον. XIX.

Χρησίμως τοῦτο ποιεῖ, ἐμφανῆ καθιστὰς τοῖς ἰουδαίοις τὴν ἑαυτοῦ δόξαν, ἵνα πιστεύσωσιν, ὅτι υἱὸς ἐστὶ τοῦ θεοῦ· ὡς γὰρ ἐξουσίαν ἔχων τοῦ ναοῦ, ἐπεμελεῖτο αὐτοῦ· καὶ δὴ καὶ ὠνόμαζε πατέρα ἴδιον τὸν θεὸν· ὡς ἄλλος φησὶν εὐαγγελιστὴς, μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου οἶκον ἐμπορίου· διὰ δὲ τοῦ ἐκβάλλειν τὰ πρὸς τὴν θυσίαν ἐπιτήδεια ζῶα, δείκνυσιν ὅτι καιρὸς λοιπὸν παύσασθαι τὴν νομικὴν λατρείαν, καὶ τὴν σκιὰν καταλῆξαι τῇ τῆς ἀληθείας παρουσίᾳ· τὸ δὲ καὶ φραγέλιον ἐκ σχοινίων ποιῆσαι, δηλοῖ ὅτι οἱ τὴν νομικὴν τιμῶντες λατρείαν μετὰ τὴν τῆς ἀληθείας ἀνάδειξιν, ἅτε πνεῦμα δουλείας ἔχοντες, καὶ τὸ ἐλευθεροῦσθαι παραιτούμενοι, ὑπὸ μάστιγας ἔσονται δουλοπρεπεῖς· ὅρα τὴν καταφρόνησιν αὐτῶν· ἐν τῷ ναῷ γὰρ ἐκαπήλευον, καὶ οἱ μὲν ἐπώλουν τὰ πρὸς θυσίαν ἐπιτήδεια τοῖς χρήζουσι, πρόβατα λέγω, καὶ βόας, καὶ περιστερὰς, ὡς ὁ Ἰωάννης v. 45. p. 504.

XIX. ἐδήλωσε, καὶ εἴ τι τοιοῦτον· οἱ δὲ ἠγόραζον· κολλυβισταὶ δὲ εἰσὶν οἱ τραπεζῖται· κόλλυβος γὰρ ὁ ὀβολὸς, καὶ κολλυβίζω λέγεται τὸ καταλάσσω (ὡς ἡ συνήθεια καλλάσσει τὰ ὀνόματα *.) εἰσῆλθεν οὖν ὁ Χριστὸς εἰς τὸ ἱερὸν μετὰ παῤῥησίας ὡς δεσπότης, καὶ τὴν ἐκβολὴν τῶν ῥηθέντων ἐποιήσατο, τήν τε κατὰ πάντων ἐξουσίαν ὡς θεὸς, ἣν εἶχε, παραγυμνῶν, καὶ τῇ ἀναμαρτησίᾳ τεθαῤῥηκὼς, καὶ τοῦτο μὲν τῆς εὐκοσμίας τοῦ οἰκείου ναοῦ φροντίζων, τοῦτο δὲ προδηλῶν τὴν ἐκβολὴν τῶν δι' αἵματος θυσιῶν, ἅμα δὲ καὶ παιδεύων ἡμᾶς ὑπὲρ τῆς ἐκκλησίας παῤῥησιάζεσθαι.

* Haec sunt in marg.

XX. 17. p. 512. Λίθον ἑαυτὸν καλεῖ, καὶ οἰκοδόμους τοὺς τῶν ἰουδαίων διδασκάλους· καὶ Ἰεζεκιὴλ φησὶν, οἰκοδομοῦντες τὸν τοῖχον, καὶ ἀλείφοντες ἀναρτύτως· ἀποδοκιμάσθη δὲ καί τοι λίθος ὢν ἐκλεκτὸς ὁ σωτὴρ παρὰ τῶν ὀφειλόντων ὠφελεῖν διὰ πάσης ὠφελείας, δηλονότι τὴν τῶν ἰουδαίων συναγωγὴν· ἀλλὰ γέγονεν εἰς κεφαλὴν γωνίας· γωνίᾳ δὲ παρεικάζει τὸ ἱερὸν γράμμα τὴν σύνοδον, ἤ τοι συνάφειαν εἰς ὁμοψυχίαν τε καὶ ὁμοπιστίαν τῶν δύο λαῶν τοῦ Ἰσραὴλ τε καὶ τοῦ ἐξ ἐθνῶν· ἔκτισε γὰρ ὁ σωτὴρ τοὺς δύο λαοὺς εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάσσων τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι πρὸς τὸν πατέρα· οὐκοῦν σωτήριος μὲν

ὁ λίθος τῇ γωνίᾳ τῇ παρ' αὐτοῦ γεγενημένῃ, xx.
συντριβὴ δὲ καὶ ὄλεθρος τοῖς ἔξωθεν μεμενηκόσι τῆς νοητῆς ταύτης καὶ πνευματικῆς συνδρομῆς· σκανδαλισθέντες γὰρ Ἰουδαῖοι ἐπὶ Χριστῷ, καὶ προσπταίσαντες αὐτῷ συνετρίβησαν· οὐ γὰρ ἤθελον ἀκοῦσαι τῆς Ἡσαΐου φωνῆς λεγούσης· κύριον αὐτὸν ἁγιάσατε, καὶ αὐτὸς ἔσται σοι φόβος, καὶ οὐχ ὡς λίθου προσκόμματι συναντήσετε αὐτῷ, οὐδὲ πέτρας πτώματι· λίθος μὲν οὖν προσκόμματος τοῖς ἀπίστοις ἐθνικοῖς ὁ Χριστὸς, πέτρα δὲ σκανδάλου τοῖς Ἰουδαίοις, τοῖς δὲ πιστοῖς ἡμῖν λίθος τοῦ θεμελίου, τῆς ἐκκλησίας πᾶσαν τὴν κρηπῖδα συνέχων· καὶ πέτρα διὰ τὸ στερρὸν καὶ ἄπτωτον τῆς ὁμολογίας, ᾗ προσαραττόμεναι αἱ τρικυμίαι τῶν αἱρέσεων εἰς ἀφρὸν διαλύονται· ὁ μέν τοι Ματθαῖος καὶ τὸ λειπόμενον τῆς προφητείας εἰπὼν, τὸ παρὰ κυρίου ἐγένετο αὕτη, καὶ τὰ ἑξῆς· εἶτα εἰπὼν, διὰ τοῦτο λέγω ὑμῖν, ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ θεοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς, τότε ἐπήγαγεν· καὶ ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον συνθλασθήσεται, καὶ τὰ ἑξῆς· ἔστι τοίνυν τὰ μὲν τοῦ Ματθαίου ἀκρίβεια ἀπαγγελίας, τὰ δὲ τοῦ Λουκᾶ συντομία· καὶ παρὰ πᾶσι δὲ τοῖς εὐαγγελισταῖς εὑρίσκομεν τὴν τοιαύτην οἰκονομίαν, ἑκάστου αὐτῶν πα-

XX. τὲ μὲν ἀκριβῶς, ποτὲ δὲ συντόμως ἀπαγγέλλοντος.

v. 36. p. 518. Οὐκοῦν ἐσόμεθα μὲν ἑαυτῶν ἀμείνους ἀποδυσάμενοι τὴν φθορὰν, καὶ πνευματικὸν ἔχοντες σῶμα, τοὐτέστιν εἰς μόνα βλέπων τὰ τοῦ πνεύματος· καὶ νοῦς δὲ ὁ καταβιβάζων εἰς φαυλότητα οὐκ ἔσται τηνικάδε· συνέχοντος ἡμᾶς εἰς τὸ ἑαυτοῦ θέλημα τοῦ δημιουργοῦ διὰ τοῦ ἁγίου πνεύματος, καθάπερ ἀμέλει καὶ τοὺς ἁγίους ἀγγέλους.

XXII. 1. Φασὲκ ὁ τῆς ἑορτῆς ὠνομάζετο καιρὸς, δηλοῖ δὲ διάβασιν· ὥσπερ οὖν τῆς Αἰγυπτίων δουλείας ὁ Ἰσραὴλ ἀπελλάττετο, εἰς τὴν τῆς ἐπαγγελίας ἐρχόμενος γῆν, διὰ θαλάσσης μέσης βαδίζων ἀβρόχῳ ποδὶ, οὕτω καὶ ἡμᾶς δεῖ καθάπέρ τινα θάλατταν διαπεραιοῦσθαι νεανικῶς, τὸν εἰκαῖον τοῦ παρόντος βίου περισπασμὸν· διαβαίνομέν γε μὴν ἐκ φιλοσαρκίας εἰς ἐγκράτειαν, ἐξ ἀγνωσίας τῆς πάλαι εἰς θεογνωσίαν τὴν ἀληθῆ, ἐκ θανάτου εἰς ἀφθαρσίαν.

v. 31. p. 550. Διορθωσάμενος δὲ αὐτοὺς ὁ Χριστὸς δι' ὧν ἐπετίμησε τῷ τῆς φιλοδοξίας πάθει, καὶ ἑαυτὸν εἰς ὑπόδειγμα δέδωκεν, προστίθησι καὶ ταῦτα, μετριοφρονεῖν παιδεύων ἡμᾶς καὶ μηδὲν ἑαυτοὺς ἡγεῖσθαι, εἰ μὴ ὑπ' αὐτοῦ στηριζόμεθα, ἀφορῶντας εἰς τὸ τῆς διανοίας ἡμῶν εὐόλισθον.

Πρέπει ἂν εἰπεῖν τὸ προφητικὸν ἐκεῖνο, ἐξέ- XXII. v. 64.
στη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἐπὶ πλέον p. 569.
σφόδρα, λέγει κύριος· ὁ γῆς τε καὶ οὐρανοῦ κύριος, ὁ τῶν ὅλων δημιουργὸς καὶ τεχνίτης, ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων, ὡς εἷς ἐξ ἡμῶν ἀτιμάζεται.

Ἵνα δὲ φορτικωτέραν αὐτοῖς ἐργάσηται τὴν v. 69.
ἐπὶ τῷ μὴ θέλειν πιστεῦσαι δίκην, ἐναργῆ τὴν p. 570.
αὐτοῦ καθίστησι δόξαν εἰπών, ἀπὸ τοῦ νῦν ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ θεοῦ· ἐμέ φησι τὸν ἐν εἴδει τῷ καθ' ὑμᾶς γεγονότα, υἱὸν φύσει τοῦ θεοῦ ὄντα, ἐν οὐδενὶ λόγῳ ποιεῖσθε· ἐπεὶ οὖν εἰς τοῦτο ἀμαθίας καταβεβηκότες, τὸ αὐτοῦ τε καὶ τὸ ἐμὸν οὐκ ἴστε μυστήριον, καί τοι νομομαθεῖς ὄντες, ἀναγκαίως ἐκεῖνο φημὶ, ὅτι τῆς κατ' ἐμοῦ δυσσεβείας βραχὺς ὑμῖν ἐδόθη καιρὸς ὁ μέχρι τοῦ σταυροῦ· μετὰ γὰρ τοῦτο εὐθὺς εἰς τὴν ἐμαυτοῦ παλινδρομήσω τιμὴν, καὶ σύνεδρος ἔσομαι τῷ θεῷ καὶ πατρὶ μετὰ σαρκὸς· ἁρπάζουσι δὲ τὴν φωνὴν εἰς πρόφασιν δυσφημίας οἱ φαρισαῖοι, καὶ φασὶν· σὺ οὖν εἶ ὁ υἱὸς τοῦ θεοῦ;

Ἐπέκρινε φησὶ γενέσθαι τὸ αἴτημα αὐτῶν, XXIII. 24.
καὶ νίκην νενικήκασιν ἐλέθρου μητέρα· καὶ ἄγεται μὲν ὁ σωτὴρ ἐπὶ τὸ πάθος, κατὰ μέσην δὲ ἴσως τὴν ὁδὸν ὑπαντήσαντες τὸν Κυρηναῖον κατεσχήκασιν, καὶ μετέθηκαν ἐπ' αὐτῷ τὸ ξύλον·

XXIII. ἀναγκαίως δέ πως ἔχει λόγον τὸ καὶ αὐτὸν τὸν σωτῆρα ἐπικομίσασθαι τὸν σταυρὸν, ὃ καὶ δηλοῖ ἕτερος εὐαγγελιστὴς; εἴρηται γὰρ περὶ αὐτοῦ διὰ φωνῆς Ἡσαΐου, οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ· ἀρχὴ γὰρ αὐτοῦ γέγονεν ὁ σταυρὸς, δι' οὗ βεβασίλευκε τῆς ὑπ' οὐρανὸν· εἴπερ ἐστὶν ἀληθὲς ὅτι γέγονεν ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ· διὸ καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι αὐτοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, καὶ τὸ ἑξῆς.

XXIV. 27. p. 608. Ἀναγκαίαν ἐν τούτοις δείκνυσιν ὁ κύριος τὴν τοῦ νόμου πρόοδον, καὶ τὴν τῶν προφητῶν λειτουργίαν, πίστιν ἐπὶ τῷ παραδόξῳ πράγματι προεισαγόντων, ἵν' ἐπιστάσης τῆς ἀναστάσεως οἱ θορυβούμενοι τῷ μεγέθει τοῦ πράγματος ἀναμνησθῶσι τῆς πάλαι προρρήσεως, καὶ εἰς τὸ πιστεύειν ἐπιστρέφοιντο· διὸ παράγει μάρτυρα Μωϋσέα καὶ τοὺς προφήτας, τὸ ἐπικεκρυμμένον ἑρμηνεύων, καὶ τὰ τοῖς ἀναξίοις ἀσαφῆ σαφηνίζων τοῖς ἀξίοις, ἀρχαίαν τε καὶ πάτριον τὴν πίστιν αὐτοῖς ἐντιθεὶς ἐξ ὧν καθεῖχον γραμμάτων ἱερῶν· οὐδὲν γὰρ τῶν παρὰ θεοῦ μάταιον, ἀλλὰ τάξις ἁπάντων καὶ χρεία τῶν καθέκαστον· ἐν τάξει προαπεστέλλοντο δοῦλοι, καὶ προοικονόμουν τὴν τοῦ δεσπότου παρουσίαν, ἀναγ-

καίαν τὴν προφητείαν εἰς τὴν πίστιν ἀνθρώποις προεισάγοντες· ἵν' ὥσπερ θησαυρὸς βασιλέως ἐν καιρῷ προβληθείη τὰ προειρημένα ἐξ ἀποκρύφου τῆς πρότερον ἀσαφείας, εἰς τοὐμφανὲς διὰ τῆς σαφηνείας ἀποκαλυπτόμενα· οὕτω δὴ προϋποκινήσας αὐτοὺς διὰ τῶν νομικῶν, καὶ προφητικῶν γραμμάτων, μετὰ ταῦτα ἐμφανέστερον ἤδη καθίστησιν ἑαυτὸν· ἀξιώσασιν οὖν ἐλθεῖν εἰς τὴν κώμην, ὅτε λαβὼν τὸν ἄρτον εὐλογήσας, καὶ κλάσας ἐπεδίδου· ἐκρατοῦντο γὰρ φησὶν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ γνῶναι αὐτὸν, ἕως οὗ δηλονότι ὁ λόγος εἰσέλθῃ, κινῶν τὴν καρδίαν εἰς τὴν πίστιν· ἔπειτα οὕτω καιρίαν τὴν ὄψιν ἐπὶ τῇ ἀκοῇ παραστήσῃ, τὸ προακουσθὲν καὶ πιστωθὲν ἐμφανὲς καθιστὰς· οὐ μὲν συμπαραμένει γε αὐτοῖς, καὶ αὐτὸς γάρ φησιν ἄφαντος ἐγένετο ἀπ' αὐτῶν· οὐκ ἔστι γὰρ μετὰ τὴν ἀνάστασιν τὰ τοῦ κυρίου τοιαῦτα πρὸς τοὺς ἀνθρώπους οἷα τὰ πρότερον, ὅτι καὶ αὐτοῖς ἀνακαινώσεως ἔδει, καὶ δευτέρας ζωῆς τῆς κατὰ Χριστὸν, ἵνα καινοὶ καινῷ συνῶσιν, καὶ ἄφθαρτοι πλησιάζωσιν ἀφθάρτῳ· διὸ καὶ τὴν Μαρίαν ἐκώλυσεν ἐφάψασθαι αὐτοῦ, καθά φησιν Ἰωάννης, ἕως ἂν ἀπελθὼν ἀφίκηται· ἤδη τοίνυν πολλαχόθεν τοῦ λόγου τῆς ἀναστάσεως παραθέοντος τοὺς ἀποστόλους, καὶ τοῦ πόθου πρὸς τὴν ὄψιν ἐγηγερ- XXIV.

XXIV. μένου, ωοθούμενος ἔρχεται, καὶ ζητοῦσι καὶ προσδοκῶσιν ἐμφανίζεται καὶ ἀποκαλύπτεται.

v. 41. p. 612. Ἵνα δὲ πρὸς τούτοις ἔτι μειζόνως αὐτοὺς πιστώσηται, ἤτησέ τι τῶν ἐδωδίμων, καὶ λαβὼν ἔφαγεν αὐτῶν ὁρώντων· τοῦτο γὰρ δι' οὐδὲν ἕτερον ἔπραξεν, ἢ ἵνα δείξῃ σαφῶς, ὡς αὐτός ἐστιν ἀνασταὰς ἐκ νεκρῶν· ὁ καὶ πρὸ τούτου, καὶ παρὰ πάντα τὸν καιρὸν τῆς οἰκονομίας συνεσθίων, καὶ συμπίνων αὐτοῖς, καὶ συναναστρεφόμενος ἀνθρωπίνως, καθὰ τὴν τοῦ προφήτου φωνήν· σῶμα γὰρ τὸ ἀνθρώπινον δέοιτο ἂν τῆς τοιᾶσδε τροφῆς, πνεῦμα δὲ οὐκέτι.

ΤΟΥ ΑΥΤΟΥ ΕΚ ΤΩΝ ΟΜΙΛΙΩΝ. (1)

Frag. I. Cod. p. 94. a. Τούτους προανετύπου μὲν ὁ νόμος, προεκήρυξαν δὲ καὶ προφῆται· γέγραπται γοῦν ἐν μωσαϊκῷ βιβλίῳ· καὶ λήψεσθε σεμίδαλιν, καὶ ποιήσετε αὐτὴν, δώδεκα ἄρτους· καὶ ἐπιθήσεται αὐτοὺς, δύο θέματα, ἐπὶ τὴν τράπεζαν τὴν καθα-

(1) In eodem Nicetae codice quinque etiam inerant S. Cyrilli fragmenta ex homiliis sumpta, quorum primum pertinere ad homiliam eiusdem editam εἰς τὴν ὑπαπαντὴν comperi, ideoque omisi. Secundum videtur mihi ex illis Cyrilli sermonibus de electione Apostolorum, quos Anonymus apud nos p. 513. commemorabat. Itaque iam prope me paenitet, quod commentarium Cyrilli ad Lucam per homilias digestum suspicatus sim. Sunt enim hae homiliae distinctae reapse a commentario, quoniam sub *homiliarum* titulo ipsae laudantur; commentarius autem dicitur ἑρμηνεία.

ρὰν, ἔναντι κυρίου· καὶ ἐπιθήσετε ἐπὶ τὸ θέμα, λίβανον καὶ ἄλας· καὶ ἔσονται εἰς ἄρτους, εἰς ἀνάμνησιν προκείμενα τῷ κυρίῳ· ἄρτος μὲν γὰρ ὁ ἐξ οὐρανοῦ κατελθὼν, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ, τίς ἂν ἕτερος εἴη παρὰ τὸν τῶν ὅλων σωτῆρα Χριστὸν; καλὰ μίμησιν δὲ τὴν πρὸς αὐτὸν, ἄρτοι κέκληνται καὶ οἱ μακάριοι μαθηταὶ· μέτοχοι γὰρ γεγονότες τοῦ τρέφοντος ἡμᾶς εἰς ζωὴν αἰώνιον, τρέφουσι καὶ αὐτοὶ διὰ τῶν ἰδίων συγγραμμάτων τοὺς πεινῶντας καὶ διψῶντας τὴν δικαιοσύνην· ὥσπερ δὲ φῶς ὑπάρχων τὸ ἀληθινὸν ὁ σωτὴρ, φῶς ὠνόμασε καὶ τοὺς μαθητὰς· ὑμεῖς γὰρ ἐστὲ τὸ φῶς τοῦ κόσμου, οὕτως καὶ αὐτὸς ὢν ὁ ἄρτος τῆς ζωῆς, ἐχαρίσατο τοῖς ἑαυτοῦ μαθηταῖς, τὸ ἐν τάξει νοεῖσθαι τῶν ἄρτων· καί μοι βλέπε τοῦ νόμου τὸ εὐτεχνὲς, ἐπιθήσετε γάρ φησιν ἐπὶ τοὺς ἄρτους λίβανον καὶ ἅλας· καὶ ὁ μὲν λίβανος εὐωδίας ἐστὶ σύμβολον· οἱ δὲ ἅλας, συνέσεως καὶ φρενῶν· ἐνυπῆρχον δὲ ἄκρως ἀμφότερα τοῖς ἁγίοις ἀποστόλοις· εὐώδης γὰρ ἦν ὁ βίος αὐτοῖς· καὶ γοῦν ἔφασκον, ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ θεῷ· ἦσαν δὲ πρὸς τούτῳ, καὶ πανσύνετοι· ἀκούω δὲ καὶ τοῦ προφήτου Δαβὶδ ψάλλοντός τε καὶ λέγοντος περὶ αὐτῶν, ἐκεῖ Βενιαμὶν ἐν ἐκστάσει· ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν, ἄρχοντες Ζαβουλὼν, ἄρχοντες Νεφθαλὶμ· σχεδὸν γὰρ ἐξ ἁπάσης φυλῆς

τῆς ἐξ Ἰσραὴλ, ἀπόλεκτοι γεγόνασιν οἱ μακάριοι μαθηταὶ· καὶ φωστῆρες ἦσαν οἰκουμενικοὶ, λόγον ζωῆς ἐπίσχοντες· καὶ τό γε παράδοξον· εὐγλωττίαν μὲν γὰρ ἔχουσι λαμπρὰν, οἱ τῶν ἑλλήνων σοφοὶ, καὶ εὐστομοῦσιν ἄγαν· οἱ δέ γε τοῦ σωτῆρος ἡμῶν μαθηταὶ, ἄνθρωποι γεγόνασι χειροτέχναι, καὶ θαλασσουργοὶ, καὶ ἰχθυοθῆραι, οὐ κόμπον ἔχοντες λόγων, οὐ λέξεων εὐπορίαν δεδοκιμασμένων· ἀλλ' ἰδιῶται μὲν τῷ λόγῳ, πλούσιοι δὲ τῇ γνώσει· καὶ σεσίγηται μὲν τὰ ἑλλήνων γράμματα, καὶ ἡ τῶν λέξεων εὐκομπία· κατακρατεῖ δὲ τῆς ὑπ' οὐρανὸν, τῶν εὐαγγελικῶν κηρυγμάτων ἡ δύναμις· τούτων διαμέμνηται θεὸς καὶ διὰ φωνῆς Ἱερεμίου, λέγων περὶ τοῦ πάντων ἐχθροῦ, φημὶ δὴ τοῦ σατανᾶ· οὐαὶ, ὁ πληθύνων αὐτῷ τὰ οὐκ ὄντα αὐτοῦ, καὶ βαρύνων τὸν χλοιὸν αὐτοῦ στιβαρῶς· ὅτι ἐξαίφνης ἀναστήσονται οἱ δάκνοντες αὐτὸν, καὶ ἐκνήψουσιν οἱ ἐπίβουλοί σου, καὶ ἔσῃ εἰς διαρπαγὴν αὐτοῖς· ἅπαντας μὲν τοὺς ἐπὶ γῆς ἀνθρώπους οὐκ ὄντας αὐτοῦ, συνήγαγεν ὁ σατανᾶς, καὶ ἰδίους ἀπέφηνε προσκυνητὰς, καταβαρύνων αὐτοῦ τὸν χλοιὸν· ἀλλ' ἐξένηψαν οἱ διαρπάζοντες αὐτοῦ τὰ σκεύη· ἐθήρευσε γὰρ τῆς ἀποστολικῆς μυσταγωγίας τὸ δίκτυον ἅπαντας τοὺς πεπλανημένους, καὶ προσηκόμισαν τῷ θεῷ τὴν ὑπ' οὐρανόν.

Τοιοῦτος καὶ ὁ νῦν πλούσιος, τῇ γαστρὶ ἑαυτοῦ ἐπικεκυφὼς, λαιμὸν ἀντὶ λογισμοῦ κεκτημένος, ἀλλ' οὐ κατ' εἰκόνα τοῦ μόνου ἀγαθοῦ ζῶν· διὸ τὴν ἑαυτοῦ ψυχὴν τοῖς τῆς σαρκὸς δεξιοῦται βρώμασι, καὶ τὴν ἐπακολουθοῦσαν αὐτοῖς μυσαρὰν ἡδονὴν, ἐπιτάττει τῇ ψυχῇ· εὐφήμως γὰρ ὁ κύριος διὰ τοῦ εὐφραίνου, τὰ ὑπογάστρια πάθη ἠδήλωσε, τὰ τῇ πλησμονῇ παρεπόμενα· ἀκολουθεῖ γὰρ τῷ κόρῳ τὰ ἀφροδίσια· καὶ μὴν ἔδει ἐσθίειν, ὥστε ζῆν· οὐ μὴν ζῆν, ὥστε ἐσθίειν· κατὰ τοὺς θεοποιοῦντας τὴν γαστέρα καὶ λέγοντας, φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν· δέον τοὐναντίον λέγειν· ἐπεὶ αὔριον ἀποθνήσκομεν, μὴ φάγωμεν μὴ δὲ πίωμεν. Frag. II. p. 174. b.

Διανέμει καὶ νῦν ὁ σωτὴρ τάλαντα τοῖς ἰδίοις οἰκέταις, καίτά γε τὴν ἐν εὐαγγελίοις παραβολήν· οὐκοῦν ἀπωλώσατε τὰς καρδίας, καὶ ὑποδέξασθε χαίροντες· δόκιμοι γενέσθε τραπεζῖται· ἐμπορεύσασθε τὸ δοθὲν, ἐπιστημόνως· πολυπλασιάσατε ταῖς ἐπιεικείαις· μέγα καὶ ἁγιοπρεπὲς τὸ καύχημα, καὶ τοὺς τῆς γνησιότητος ἐπαίνους προξενεῖ· καὶ τί τοῦτο λέγω, τὸ ἔτι μεῖζον ἀφεὶς; οὐρανοῦ πολίτην ἐργάζεται, εἰς βασιλείαν ἀναφέρει, αὐτῷ συνδοξάζεσθαι ποιεῖ τῷ πάντων ἡμῶν σωτῆρι Χριστῷ· ἴδωμεν δὲ τοῦτο, καὶ ἐξ αὐτῶν τῶν εὐαγγελικῶν γραμ- Frag. III. p. 257. a.

μάτων· ὁ τὰ πέντε τάλαντα λαβὼν περὶ τοῦ οἰκοδεσπότου, προσεργασάμενος δὲ καὶ ἕτερα πέντε, τί προσέρχεται λέγων; κύριε, πέντε τάλαντά μοι ἔδωκας, ἴδε ἐποίησα ἄλλα πέντε· ὁρᾷς ὅσον ἐστὶ τῆς φιλοπονίας τὸ καύχημα; καὶ τί πρὸς αὐτὸν ἔφη Χριστός; εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου· τί τούτου τὸ μεῖζον εἰς δύναμιν; τί τὸ αἱρετώτερον εἰς εὐημερίαν; ἔπαινοι παρὰ Χριστοῦ, καὶ ψῆφος δεσποτικὴ στεφανοῦσα τὸν φιλεργήσαντα, πιστὸν ὀνομάζει τὸν καρποφορήσαντα νοητῶς· μὴ γὰρ τῷ δεσπότῃ τὸ κέρδος προσήνεγκε; μὴ γὰρ χρήζει τινὸς ἐν τοῖς καθ' ἑαυτὸν; αὐτός ἐστι τὸ πάντων πλήρωμα, καὶ ὡς ὁ πάνσοφος Ἰωάννης φησὶν, ἐκ τοῦ πληρώματος αὐτοῦ, πάντες ἡμεῖς ἐλάβομεν· ἀλλ' ὅταν ἡμεῖς ἑαυτοὺς κερδάνωμεν, προσωφελῶμεν δὲ καὶ ἑτέρους, τότε χαίρει Χριστὸς· πλοῦτον ἡγεῖται, τὴν ἡμῶν εὐδοκίμησιν· καὶ τὸ ἔτι μεῖζον, ἐρῶ· τροφὴν ὥσπερ ποιεῖται τὸ πρᾶγμα· ὅτι δέ ἐστιν ἀληθὲς ὅ φημι, πάλιν ἐκ τῶν εὐαγγελικῶν μαθήσῃ γραμμάτων· νενουθέτηκε μὲν γὰρ τὴν ἐκ Σαμαρείας γυναῖκα· εἶτα λεγούσης ἐκείνης, ὅτε ἔλθῃ Μεσίας, ἀπαγγελεῖ ἡμῖν πάντα, ἑαυτὸν ἐμφανῆ κατέστησε, λέγων· ἐγώ εἰμι ὁ λαλῶν σοι· καὶ τὸ μὲν γύναιον, δρόμῳ συντείνε-

ται, καὶ τὴν Σαμαρειτῶν μεμυσταγώγηκε πόλιν· εἰδὼς δὲ Χριστὸς, ὅτι πολλοὶ πιστεύσουσιν ἐπ' αὐτὸν, τοῖς ἁγίοις ἔφασκε μαθηταῖς· ἐγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε· τρέφει γὰρ ὥσπερ τὴν ἡμερωτάτην φύσιν, τῶν ἀπολωλότων ἡ σωτηρία· ὁ μὲν οὖν γνήσιος οἰκέτης, ἀναβήσομαι γὰρ αὖθις ἐπὶ τὸν τοῦ λόγου σκοπὸν, τὸν τῆς ἐπιεικείας ἀνεδήσατο στέφανον· εἰσκεκόμισται γὰρ εἰς τὴν χαρὰν τοῦ ἰδίου δεσπότου· ὁ δέ γε λαβὼν τὸ τάλαντον, εἶτα γεγονὼς ὀκνηρὸς, προσεργασάμενος δὲ παντελῶς οὐδὲν, κατακρύψας δὲ μᾶλλον εἰς γῆν αὐτὸ, ταῖς ἐσχάταις περιπέπτωκε δίκαις· φύγωμεν τοίνυν τὴν μίμησιν, ἀποσεμψώμεθα τῆς ἑαυτῶν διανοίας τὸν ἀκερδῆ καὶ ἐπάρατον ὄκνον, τὸν ἐπ' ἀγαθοῖς δηλονότι σπουδάσμασι· μὴ εἰς ἀργίαν, τὴν δοθεῖσαν ἡμῖν παρὰ Χριστοῦ καταχώσωμεν χάριν· φησί που διὰ φωνῆς Ἡσαΐου, ὁ τῶν ὅλων θεὸς· ἱερεὺς λαλήσατο εἰς τὴν καρδίαν Ἱερουσαλὴμ· τί δὲ, εἰ ὁ μὲν διδάσκων, τοὺς ὠφελεῖν εἰωθότας ἐξυφαίνοι λόγους τοῖς ἀκροωμένοις, οἱ δὲ οὐκ εἰς νοῦν καὶ καρδίαν ἀποτίθενται τὴν μυσταγωγίαν, ἀλλ' ἐπικροτήσαντες μόνον, καὶ γυμνοῖς ἐπαίνοις ἀμειψάμενοι τὸν μυσταγωγὸν, ἄγευστοι τῶν ἱερῶν ἀπομένουσι διδαγμάτων; ἆρα ὀκνῆσαι προσήκει τὸν μυσταγωγὸν; εἶτα, ποίους εὑρήσει λόγους ἐπὶ τοῦ

θείου βήματος τοὺς ἐωικουροῦντας αὐτῷ, ὅταν αἰτιάσηται τῶν ἀκροωμένων τὸ ῥᾴθυμον, καὶ εὐάφορμον εἴπῃ διὰ τοῦτο τὸν ὄκνον; καταχριθήσεσθαι γὰρ μᾶλλον, ὡς ἔστιν ἰδεῖν ἐκ τῆς εὐαγγελικῆς παραβολῆς· ὁ γάρ τοι τὸ τάλαντον λαβὼν παρὰ τοῦ οἰκοδεσπότου, κατέχωσε μὲν εἰς γῆν αὐτὸ, καὶ ἀπολυπλασίαστον ἔχων, προσεκόμιζε λέγων· κύριε, ἴδε ἔχεις τὸ σὸν· ἆρ' οὖν ἐπηνέχθαι καὶ γέρων ἠξίωται, ἢ κατεδικάσθη μᾶλλον ὡς ὀκνηρὸς; ἔδει σε γάρ φησι καταβαλεῖν τὸ ἀργύριόν μου τοῖς στραπεζίταις· κἀγὼ ἐλθὼν ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ· οὐκοῦν ὡς τραπεζίταις ὑμῖν ἐπιστήμοσι τὸ δεσποτικὸν ἀργύριον ἐξοδιάζω ἐγὼ· ὑμεῖς δὲ λαβόντες, ἀπόθεσθε εἰς νοῦν τὸ δοθὲν, καὶ εἰς τὸ βάθος τῆς ἑαυτῶν καρδίας κρύψατε· εὖ εἰδότες, ὅτι τὰ εἰς γῆν πεμπόμενα τῶν σπερμάτων, ἐγχωννύμενα μὲν ταῖς βώλοις, καρποφορεῖ· τὰ δὲ ἀκατάχωστα διαρπάζεται· ἐρεῖ καὶ ὑμῖν ὁ χρήσας τὰ τάλαντα.

Frag. IV. p. 299. b.

Πλὴν ἐσπούδασεν ὁ κύριος, μήτε διόλου φανερῶσαι τὴν ἑαυτοῦ θεότητα, μήτε εἰς τὸ παντελὲς ἀποκρύψαι· τὸ μὲν διὰ τοὺς τότε, τὸ δὲ διὰ τοὺς μετὰ ταῦτα· ὥστε δεῖξαι καὶ τῆς θεότητος αὐτοῦ καὶ τῆς ἀνθρωπότητος τρανὰς τὰς ἐνεργείας· ἵνα μήτε ἡ θεία δύναμις ἀμβλυνθῇ, μήτε ἡ ἀνθρώπινη φύσις ἠπιστηθῇ· ἐπειδὴ γὰρ

ἔμελλεν αἵρεσις ἀνακύπτειν, ἡ λέγουσα ὅτι φάντασμα ἦν τὸ σῶμα, καὶ ἐξ οὐρανοῦ κατῆλθεν, οὐ γὰρ ἂν ἔλαβε τοῦ φθαρτοῦ σώματος σάρκα ἡ ἄφθαρτος φύσις, οὐδ' ἂν κατεδέξατο ῥύπον ἢ μολυσμὸν ἢ σπῖλον, ἵνα πιστώσηται ὁ θεὸς τῶν ἀνθρώπων τὸ γένος, ὅτι τοῦτο ἐγένετο ὃ ἐσμὲν, μένων ὃ ἦν, διὰ τοῦτο συνεχώρησε τῇ σαρκὶ πάσχειν τὰ ἴδια· καὶ ἔδειξε διπλῆν τὴν ἐνέργειαν, πάσχων μὲν ὡς ἄνθρωπος, ἐνεργῶν δὲ ὡς θεὸς ὁ αὐτός· οὐ γὰρ ἄλλος καὶ ἄλλος, εἰ καὶ ἄλλως καὶ ἄλλως.

ΑΡΣΕΝΙΟΥ ΜΟΝΑΧΟΥ

ΕΙΣ ΤΟΝ ΠΕΙΡΑΣΤΗΝ ΝΟΜΙΚΟΝ.

Luc. X. 25.

Ἴδε βρόχον ἀντὶ βρόχου, ὦ νομικὲ, καὶ παγίδα ἀνθ' ἧς ἔσῃσας παγίδος· ἴδε πῶς ἐμπέπτωκας εἰς ὃν ὤρυξας βόθρον κατὰ Χριστοῦ· ὅθεν ὁ σός σε νόμος ἀντὶ Χριστοῦ ἐξελεγχέτω, πότερον ὡς θεῷ, ἢ ὡς ψιλῷ ἀνθρώπῳ τὰ τῆς πείρας ἐφήπλωσαν ἄθεσμα δίκτυα; εἰ μὲν τὸ πρώτον, μεματαίωσαι, θεὸς γὰρ πειραστῶν δικτύοις οὐδαμῶς ζωγρεῖται· μᾶλλον δὲ καὶ ἀγαπᾷν ὀφείλεις ἐξ ὅλης διανοίας, καὶ ψυχῆς, καὶ ἰσχύος· εἰ δὲ τὸ δεύτερον, ὁ ὡς σεαυτὸν τὸν Cod. p. 288.

πλησίον ἀγαπᾷν παρὰ τοῦ νόμου δεδιδαγμένος, οὐδαμῶς πειράζειν δίκαιος ἂν εἴης· οὔτε γὰρ ἂν πειράσειέ τις ἑαυτὸν, οὔτε ἐν λόγῳ παγιδεῦσαι, καὶ θανάτῳ παραδοῦναι ζητήσειε· πῶς οὖν σεαυτὸν διὰ τῶν κατὰ τοῦ πλησίον βρόχων καταπονίγων οὐκ αἰσθάνῃ; οὐδ' ἐννοεῖς ὅτι τοῖς πονηροῖς γείτοσιν ἐπταπλασίονα εἰς τὸν κόλπον τὰ δεινὰ ἀποδίδοται; ἀλλὰ Χριστὸς τῇ οἰκείᾳ μακροθυμίᾳ, καὶ ἀνεξικακίᾳ χρώμενος, ὀρθῶς μὲν οὐ πράττειν, οὐδὲ διανοεῖσθαι, ὀρθῶς δὲ ἀποκριθῆναι φησὶν, ἴσως κἂν τοὺς ἑαυτῆς λόγους ἐπαισχυνθεὶς παλινῳδίαν ἀπὸ τῆς ἐν πλάνῃ ματαιότητος ᾄσειεν· οὕτω φησὶ ποίει, καὶ ζήσῃ· οὕτω πάντα τὸν ἐν κινδύνῳ, τὸν ἐν ἀνάγκῃ, τὸν ἐν περιστάσει σεαυτοῦ πλησίον ἔχε· ὁ δὲ μήτε ἐξ αὐτῆς τῆς ἐν νόμῳ ἐντολῆς, μήτε ἐκ τῆς τοῦ σωτῆρος προτροπῆς ὠφεληθεὶς, μὴ δὲ ὑπὸ τοῦ οἰκείου συνοιδότος ἀπελεγχθεὶς, οἷα δέ τις ὄφις πονηρὸς μικρᾷ τῇ διὰ νόμου πληγῇ τὴν κάραν ἀλγήσας τὴν ἰοβόλον γλῶτταν κινεῖ, καὶ τὴν θανατηφόρον πᾶσαν εἰς τοὐμφανὲς ἀπογυμνοῖ κακίαν· θέλων γάρ, φησι, δικαιοῦν ἑαυτὸν, τουτέστιν ἑαυτὸν ὑπὲρ ἅπαντας νομίζων δίκαιον, καὶ μηδένα μηδαμῶς ἑαυτῷ ἴσον, ἢ καὶ πλησίον αὐτοῦ τυγχάνειν· ὢ δεινῆς ὑπερηφανίας· καὶ τίς μου ἐστὶ πλησίον φησὶ; καὶ μεθ' ἕτερα, ἆρα οὐ πατήρ σοι ἐστὶν ἀν-

θρωπε, οὐ μήτηρ, οὐκ ἀδελφὸς, οὐ φίλος, οὐ συγγενὴς, οὐ γείτων, οὐκ ἀγχιστεύων, οὐ δέ τις τῶν ἐν τῇ πόλει ἕτερος; φεῦ τῆς οἰήσεως, καὶ τῆς ἀλαζονείας· οὕτως ἑαυτὸν ὑπέρτερον τῆς ἀνθρωπίνης ἡγεῖται φύσεως· διὸ καὶ ὁ σωτὴρ οὕτως ἰδὼν ἀνοπταίνοντα, καὶ τῶν ἐν φύσει ὑπομιμνήσκει πλησιαζόντων, καὶ τῶν ἐν προαιρέσει, καὶ τῶν ἄλλων τῶν ἐν τῇ παραβολῇ δηλωθησομένων, ἵνα πατέρα μὲν κοινὸν τὸν προπάτορα ἡμῶν Ἀδὰμ ἐπιγνῷ, ἐξ οὗ πάντες ἄνθρωποι ἀλλήλων ἀδελφοὶ, καὶ πλησίον, διὰ τὴν ἐν ἐκείνῳ κοινωνίαν, καλεῖσθαι ἄξιοι· εἶτα καὶ τοὺς κατὰ προαίρεσιν ἀλλήλους εὐεργετεῖν, καὶ ὑπ' ἀλλήλων εὐεργετεῖσθαι ἐθέλοντας, ἀδελφοὺς καὶ πλησίον καλέσειεν, οἳ καὶ τοῦ πλησίον εἰσὶ πλησιαίτεροι, ἐπείπερ οὐ φύσει μόνον, ἀλλὰ καὶ προαιρέσει τὸν πρὸς ἀλλήλους ἔχουσι πλησιασμόν. Ἄνθρωπος τις κατέβαινεν· ὅρα παραβολὴν, καὶ τὴν τοῦ νομικοῦ ἐσφαλμένην διάνοιαν διορθουμένην, καὶ τὴν ἐξ Ἀδὰμ ἕως Χριστοῦ κατάστασιν ὑπαινιττομένην, καὶ ἡμῶν ἕκαστον διδάσκουσαν, ὅπως ὅταν ἐξ ὕψους πολιτείας ἐναρέτου εἰς βάθος ἀνομιῶν ἑαυτοὺς κατενέγκωμεν ὑπὸ λῃστῶν τιτρωσκόμεθα νοητῶν, καὶ εἰ μὴ θᾶττον ἀνανήψαντες ἐκεῖθεν ἀνακληθῶμεν, τῷ τῆς ψυχῆς αἰωνίῳ καθυποβαλλόμεθα θανάτῳ· καὶ τὸν μὲν νομικὸν οὕτως διορθοῦται, αὐτὸς γὰρ κατὰ τὸν

ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισήσεις τὸν ἐχθρόν σου κελεύοντα νόμον, διχῆ τὴν φύσιν διαιρῶν, ἐχθρὸν μὲν ἑαυτοῦ, πάντα ἄνθρωπον ἡγεῖται ἀλλοεθνῆ· καὶ γὰρ δὴ καὶ ἦν νόμος αὐτοῖς ἐχθρωδῶς πρὸς ἅπαντας τοὺς ἐξ ἐθνῶν διακεῖσθαι, οὐ μίσει τῷ πρὸς τὴν κοινὴν φύσιν, ἀλλὰ διὰ τὸ πλειστάκις αὐτοὺς ἐκ τῆς πρὸς τὰ ἔθνη οἰκειώσεως εἰς τὴν ἐκείνων εἰδωλολατρείαν ἐκκλίνειν· ἰουδαίους δὲ πλησίον ἑαυτοῦ ἡγεῖτο, καὶ οὐδὲ τούτους πάντας, ἀλλ' εἴ τινες ἂν εὑρεθεῖεν αὐτῷ τὴν ἀρετὴν ἐφάμιλλοι· οἰηματίας δέ τις ὢν, καὶ δοκῶν πάντων τῇ ἀρετῇ ὑπερέχειν, οὐδένα ἠξίου πλησίον αὐτοῦ ἢ εἶναι ἢ λέγεσθαι· ἀλλ' ὁ Χριστὸς τὴν αὐτοῦ, καὶ τῶν τὰ ἴσα αὐτῷ νοσούντων ἀγνωσίαν ἐπανορθῶν, ὀνόματι κοινῷ τῷ ἀνθρωπός τις, οὐ τόνδε ἢ τόνδε, ἀλλὰ πάντα τὸν ἀνθρωπίνης μετέχοντα φύσεως πλησίον δεῖν καλεῖσθαι διδάσκει· καὶ ἐχθρὸν μὴ δ' ὁντινοῦν εἰδέναι θεσμοθετεῖ, τὸν μὲν λέγοντα νόμον ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισήσεις τὸν ἐχθρόν σου, ὡς ἀτελῆ παριών· τὸν δὲ ἑαυτοῦ συνεισφέρων, ὃν καὶ ἀλλαχοῦ τίθησι λέγων· ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων, καὶ διωκόντων ὑμᾶς· δῆλον γὰρ ὅτι τοὺς τοιούτους πάντας ἐχθροὺς ἡγοῦντο ἰουδαῖοι· τοὺς δὲ τἀναντία ποι-

οὖντας, πλησίον· ὅθεν οὕτω τὸν νομικὸν ἐκπιέζει, καὶ κατάγχει τῇ τῆς παραβολῆς δυνάμει· ὡς καὶ ἄκοντα ἀνομολογῆσαι ἀτελῆ μὲν εἶναι, καὶ ἀτελέσιν εἰρῆσθαι τὸν, μισεῖν τὸν ἐχθρὸν, ἀγαπᾶν δὲ τὸν πλησίον, κελευόντα νόμον· τελειότατον δὲ καὶ τελειοποιὸν, ὃν αὐτὸς θεσμοθετεῖ· ἀγαπᾶν πάντως ἁπλῶς διδάσκων, καὶ μηδένα, ἔνθα χρὴ εὐεργετεῖν, ὡς ἐχθρὸν ὁρᾶν· πάντα δὲ ἄνθρωπον πλησίον ἡγεῖσθαι τὸν εὐεργεσίας δεόμενον, κἂν τε ἐθνικὸς ᾖ, κἂν τε ἰουδαῖος· τούτῳ γοῦν τῷ τρόπῳ, καὶ τόν τε ἱερέα, καὶ τὸν λευίτην τοὺς μὴ εὖ ποιήσαντας τὸν ὑπὸ τῶν λῃστῶν τετραυματισμένον ἀποδείκνυσιν, οὐ πλησίον ὄντας, ἀλλ' ἀλλοτρίους μᾶλλον, καὶ φονεῖς καὶ ἐχθροὺς· παντὶ γὰρ τῷ ἔν τινι πόνῳ, ἢ κινδύνῳ, ἢ φόνῳ βοηθεῖν δυναμένῳ, καὶ μὴ βοηθὸν παρέχοντι χεῖρα, τὸ τοῦ φόνου αἴτιον ἐπιγράφεται· καὶ οὐδεὶς ὃς οὐ τοὺς τοιούτους ἐσχάτως μέμφεται· καὶ μέν τοι τῷ λόγῳ τούτῳ, καὶ τὸν ἐθνικὸν σαμαρείτην φιλανθρωπότερον τοῦ ἱερέως καὶ λευίτου, ἐπὶ τὸν ἐξ Ἱερουσαλὴμ καταβαίνοντα ἰουδαῖον πείθει καὶ τὸν νομικὸν ἀνομολογῆσαι, μᾶλλον δὲ πλησίον· καὶ μηδένα διαιρεῖν, ἁπλῶς δὲ πάντα εὐεργετεῖν, καὶ ἀγαπᾶν τὸν ὑπὸ τὴν αὐτὴν φύσιν τελοῦντα· οὕτω γάρ, φησι, ποίει καὶ σώζῃ.

ΤΟΥ ΑΓΙΟΥ ΕΦΡΑΙΜ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΝΤΙΟΧΕΙΑΣ

ΕΞ ΗΣ ΕΠΟΙΗΣΑΤΟ ΑΠΟΛΟΓΙΑΣ ΥΠΕΡ ΤΗΣ ΕΝ ΧΑΛΚΗΔΟΝΙ ΣΥΝΟΔΟΥ ΚΑΙ ΤΟΜΟΥ ΤΟΥ ΑΓΙΟΥ ΛΕΟΝΤΟΣ. (1)

Cod. p. 328. b. Εἰ δὲ ἡμῖν ὦ τᾶν, πάσης ἀντιπαθείας ἀκεραίας φυλάττων τὴν διάνοιαν, ἦν ποτε καιρὸς ἀπὸ τῆς ἐνανθρωπήσεως ὅτε ὁ σεσαρκωμένος λόγος θεὸς ὢν, οὐκ εἶχε τὴν ἰδίαν αὐτοῦ ἔμψυχον σάρκα τελείαν; ἢ ἐπειδὴ ἐπέζευσεν ἐπάνω τῶν κυμάτων τῆς θαλάσσης, οὐκ ἐφύλαττον οἱ πόδες τὸ ἰδίωμα τῆς ἀνθρωπίνης φύσεως; ἀλλ' ὦ βέλτιστε, ἐν τῇ ἀνθρωπίνῃ φύσει τὰ ὑπὲρ φύσιν ἔπραττε Χριστὸς ὁ θεὸς ἡμῶν, οὐκ ἀνῃρημένης ἢ ἀφανισθείσης τῆς ἀνθρωπίνης ἰδίας αὐτοῦ σαρκὸς, κἂν αὐτῆς δὲ τῆς ἐνεργείας ἡ ἰδέα πείσηται τὴν σάρκα ἐπὶ τῆς οἰκείας μεμενηκέναι φύσεως ὁμολογῆσαι· τὸ γὰρ περιζεύειν καὶ ποσὶ βαδίζειν, εἰ μὴ κατὰ φαντασίαν ἐγένετο,

(1) Ephraemius saeculo sexto patriarcha antiochenus, vir apprime catholicus, libros complures scripsit, quorum plerique, inquit Photius cod. 228, pro ecclesiasticis pugnabant dogmatibus, et pro concilio chalcedoniensi contra omnem haereticorum reprehensionem. Horum librorum tres legebat Photius; ex quibus duos loc. cit. late describit, de tertio silet; ad quem ipsum fortasse pertinet nostrum fragmentum ex codice vaticano sumptum.

πρόδηλον ὅτι ποδῶν ἐστιν ἡ ἐνέργεια τῆς ἡμετέρας φύσεως· ὥσΓε αὐτὸ τὸ εἶδος τῆς ἐνεργείας βοᾷ τὴν τῆς σαρκὸς ἐπὶ τῶν ἀρχαίων μέτρων φυλακὴν, καὶ τὴν τοιαύτην πορείαν πάντες σωματικήν τε καὶ αἰσθητὴν λέγουσι· τὸ ἐπὶ τῆς θαλάσσης πεζεύειν, τοῦτο τῆς θεότητος ὑπῆρχε διὰ σαρκὸς ἀνθρωπίνης ἐνεργούσης· εἰ μὲν οὖν γυμνῇ τῇ σαρκὶ τὴν ἐνέργειαν ἐλέγομεν γίνεσθαι τοῦ γεγονότος, ἄπορος ἦν ὁ λογισμὸς· καθάπερ καὶ εἰ μόνῃ τῇ θεότητι βαδίζειν ἀνετίθεμεν πορείαν ὑποτιθέμενοι, καὶ πεζεύειν ὁμολοΓοῦνΓες· νῦν δὲ σεσαρκωμένον θεὸν λόΓον ἐνηργηκέναι τὴν τοιαύτην ἐνέργειαν ὁμολογοῦντες, τὸ μὲν ἀκόλουθον φαμὲν πρὸς τὴν τῆς σαρκὸς γεγενῆσθαι φύσιν· τὰ δὲ διὰ τὴν τῆς θεότητος ὑπερφυᾶ φύσιν· ὥστε καὶ ἐνταῦθα δύο ἐνεργείας· οὐκ ἐπειδὴ δὲ εἶχε τὸ θεοπρεπὲς μηνύοντος τοῦ θεοῦ λόγου τὴν καθ' ὑπόστασιν ἕνωσιν ἡ ἐνέργεια, παρὰ τοῦτο τολμητέον εἰπεῖν ὡς ἡ σὰρξ οὐκ ἀνελλιπὴς ἦν ἐν τοῖς οἰκείοις ἰδιώμασιν, ἀλλ' ἐλλιπής τε καὶ ἀτελὴς ὑπῆρχε· ταυτὸν δὲ εἰπεῖν χεῖρον ἢ ἀνούσιον παντελῶς.

ΓΡΗΓΟΡΙΟΥ

ΠΡΕΣΒΥΤΕΡΟΥ ΑΝΤΙΟΧΕΙΑΣ

ΕΙΣ ΤΟ ΟΥΤΟΣ ΕΣΤΙΝ Ο ΥΙΟΣ ΜΟΥ Ο ΑΓΑΠΗΤΟΣ ΕΝ Ωι ΕΥΔΟΚΗΣΑ. (1)

Cod. p. 61. b.

Ὁ μὲν φιλόστοργος οὗτος πατὴρ, διὰ τὴν περὶ ἡμᾶς στοργὴν, ἔπεμψέ μοι τοῦ λόγου τὸ σύνθεμα, καὶ τὴν γεγενημένην δι' ἐμὲ παρ' ὑμῶν εἰς αὐτὸν εὐφημίαν ἠμείψατο τῇ παρούσῃ δημηγορίᾳ, κέρδος οἰκεῖον ἡγούμενος τῶν αὐτοῦ τέκνων τὸ ὄφελος· ἐγὼ δὲ χαίρων ἐδεξάμην τὴν προτροπὴν, καὶ θαῤῥῶν πάλιν ἐν ὑμῖν ἀφίειμι τὴν φωνὴν, καὶ πρόθυμος εἰμὶ τῶν προτέρων λόγων ἀποδοῦναι τὴν σύνταξιν ἣν βούλεσθε· ὑπέδειξα γὰρ ὑμῖν τῇ προτέρᾳ κυριακῇ τὸν Χριστὸν μετὰ τῶν δούλων αὐτοῦ προσερχόμενον τῷ βαπτίσματι· εἶτα τὸν βαπτιστὴν ἐπιγνόντα τὸν προσελθόντα δεσπότην, καὶ παραιτούμενον δοῦναι τὸ βάπτισμα τῷ δεδωκότι τὸ βάπτισμα, ὕστερον δὲ τὴν διακονίαν τῆς οἰκονομίας πληρώσαντα διὰ τὸ τοῦ σωτῆρος ἐπίταγμα· ὑπέγραψα τὸν θεὸν καὶ πατέρα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, οὐρανόθεν ἐπιβοῶντα, οὗτός ἔστιν ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα· καὶ μέχρι ταύτης τῆς μαρτυρίας παραγενόμενος, κατέβην ἀπὸ τοῦ βήματος, τῆς ὥρας ἐκκαψάσης τοῦ λόγου τὸν δρόμον· βούλομαι οὖν σήμερον ἀναλαβεῖν ὅπερ τότε διὰ τὴν ξενοχωρίαν ἠναγκάσθην καταλιπεῖν, καὶ θέλω συνάψαι τῷ λόγῳ τὴν ἄλυσιν, ἵνα ταύτην κρατήσαντες, ἀνέλθητε δι' αὐτῆς πρὸς τὸν ταύτην χαλκεύσαντα.

(1) Sermonis huius latinam quoque perveterem interpretationem in codicibus vidi.

Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα· οὗτός ἐστιν ὁ σὺν ἐμοὶ πέμψας τὸ πνεῦμα τὸ ἅγιον ἐφ' ἑαυτὸν, καὶ πάλιν ὅπερ ἔπεμψεν, ὑποδεξάμενος πνεῦμα· οὗτός ἐστιν ὁ πρὸ πάντων τῶν αἰώνων ἐξ ἐμοῦ γεννηθείς· γεννηθείς, οὐ κτισθείς· γεννηθείς, οὐ χειροτονηθείς, υἱὸς γεννηθείς ἐξ ἐμοῦ μόνου· μονογενὴς, μονογενῶς· ὡς οἶδα μόνος ἐγὼ, καὶ ὡς αὐτὸς μόνος ἐπίσταται· οὗτός ἐστιν ὁ τῆς ἐμῆς τελειότητος τέλειος χαρακτὴρ· οὗτός ἐστιν ὁ τὴν ἐμὴν θεότητα χαρακτηρίζων ἐν ἑαυτῷ· οὗτός ἐστιν ὁ τὴν ἐμὴν ὑπόστασιν ἐξεικονίζων σαφῶς· υἱὸς ἐστὶν ἐμὸς, οὐκ ἀλλότριος· υἱὸς ἐστὶν ἐμὸς γνήσιος, οὐκ ἐπείσακτος· υἱός ἐστιν ἐμὸς, ἐκ τῆς ἐμῆς οὐσίας ἀσωμάτως, ἀρεύστως, ἀχρόνως ἐκλάμψας, οὐκ ἐξ ἑτέρας ὑποστάσεως ἀνακύψας· υἱὸς ἐστὶν ἐμὸς φύσει οὐ χάριτι· υἱός ἐσιν ἐμὸς, συναΐδιός μοι, οὐ νεώτερος, οὐ δεύτερος, οὐχ ὕστερον προσγινόμενος· υἱὸς ἐσὶν ἐμὸς, ὁμοούσιός μοι, οὐκ ἀλλοούσιος· ὁμοούσιός μοι ὡς φῶς ἐκ φωτὸς, ὡς ζωὴ ἐκ ζωῆς, ὡς πηγὴ ἐκ πηγῆς, ὡς ἀλήθεια ἐξ ἀληθείας, ὡς δύναμις ἐκ δυνάμεως, ὡς θεὸς ἐκ θεοῦ· ἐγὼ ἐγέννησα, οὗτος γεγέννηται· ἐμοῦ δὲ καὶ τούτου, μέσον οὐδὲν· ἐγὼ ἐγέννησα ὡς ἔπρεπέν μοι γεννῆσαι πεφυκότι θεῷ· οὗτος γεγέννηται ὡς ἔπρεπεν αὐτῷ γεννηθῆναι θεῷ λόγῳ τυγχάνοντι· ἀνθρώπινον τὸ τῆς γεννήσεως ὄνομα, ἀλλὰ μυστικὸν τὸ ὑπερχρόνιον γέννημα· χρόνος οὐκ οἶδεν τῆς ἐμῆς γεννήσεως τὸ μυστήριον· οὔπω γὰρ ἦν· ἄγγελοι ταύτην οὐκ ἴσασιν, ὕστερον γὰρ αὐτῆς γεγόνασιν.

Τὰ χερουβὶμ καὶ τὰ σεραφὶμ τὰ πολυόμματα καὶ πολυπρόσωπα ταῖς πτέρυξιν ὡς χερσὶν τὰ ἑαυτῶν πρόσωπα καλύπτοντα, ἀπαύστως βοᾷ, ἅγιος, ἅγιος, ἅγιος, κύριος

σαβαὼθ· οὐ λέγουσιν ἅγιος, ἁγιώτερος, ἁγιώτατος, οὐ κατασκευάζουσιν ὑποβεβηκυῖαν, καὶ μικρὸν ἀναβεβηκυῖαν, καὶ πάλιν ὑπερτέραν βαθμίδα θεότητος· οὐ τέμνουσιν τὴν μίαν οὐσίαν εἰς ἀνίσους ἀρχάς· οὐ δογματίζουσιν ἃ μὴ βλέπουσιν· ὑμνοῦσιν, οὐ πολυπραγμονοῦσιν, ὃν σέβουσιν· προσκυνοῦσιν οὐ λογοθετοῦσιν τὴν τῆς τριάδος ταυτότητα· ἴσην ἐμοὶ καὶ τῷ υἱῷ μου τὴν ὑμνῳδίαν προσφέρουσιν, καὶ βίον ἔχουσι τὸν ἀπερίεργον ὕμνων· καὶ ζωὴν κέκτηνται τὴν ἀπράγμονα μελῳδίαν· οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ τοῦ πεποιηκότος αὐτούς, οὐκ ἐρευνῶσιν τὴν οὐσίαν τοῦ ποιητοῦ· οἱ οὐρανοὶ διηγοῦνται τὴν δόξαν αὐτοῦ, φαινόμενοι, οὐ φθεγγόμενοι· οἱ προφῆται τὸν ἀκατάλειπτον καταλαβεῖν οὐ δεδύνηνται· καὶ γὰρ πᾶσα τῶν ἀνθρώπων ἡ φύσις ἀτονεῖ πρὸς τὴν τούτου κατάληψιν· νοῦς οὐκ ἰσχύει χωρῆσαι τὸν ἀχώρητον· λόγος οὐ δύναται τὸν ἐνανθρωπήσαντα θεὸν περιλαβεῖν· πίστις μόνη κρατεῖ τὸν ἀκράτητον· πίστις μόνη κατανοεῖ τὸν ἀθέατον· πίστις μόνη πλησιάζει τῷ ἀπροσπελάστῳ ὅσον ἐγχωρεῖ, καὶ ὅσον ἐνδέχεται.

Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα· οὗτός ἐστιν συνεργὸς ἐμοὺ, ἀλλ' οὐχ ὑπουργός· οὗτος ἐδημιούργησεν τὸν οὐρανὸν καὶ τὴν γῆν· οὗτος τοῦ στερεώματος τὸν κύκλον ἐπὶ τὰ ἄνω κυρτώσας, ἐπὶ τὰ κάτω λεάνας ἐξήπλωσεν· οὗτος τὴν ὁρωμένην ὄψιν τοῖς ἄστροις ὡς ὀφθαλμοῖς κατεποίκιλεν· οὗτος ἐποίησεν τὸν ἥλιον τῆς ἡμέρας ἡγεμόνα καὶ στρατηγὸν· οὗτος παρέζευξεν τῷ νυκτερινῷ ζόφῳ τῆς σελήνης τὴν αἴγλην ἀποδιώκουσαν τῆς νυκτὸς τὴν κατήφειαν· οὗτος ἐξέχεεν τοῦ ἀέρος τὴν ἀπαλὴν φύσιν εἰσπνεομένην εὐκόλως παρὰ τῶν ἐμπολιτευομένων αὐτῷ, καὶ περισχιζομένην εὐμαρῶς τοῖς προσώποις τῶν βα-

διζόντων, καὶ πάλιν κατὰ νῶτον συναπτομένην ἀλείπως· οὗτος ἐνέθηκεν τοῖς λαγόσιν τῆς γῆς τῶν καρτῶν τὰς γονὰς, πρόσταγμα καθάπερ σπέρμα καταβαλών, καὶ τοῖς μυρίοις φυτοῖς καὶ τοῖς ἄνθεσιν ἐστεφάνωσεν ταύτης τὸ πρόσωπον· οὗτος μεταξὺ τῆς γῆς καὶ τῆς θαλάσσης τὴν λεπτὴν ψάμμον μεθόριον ἔπηξεν, ὑπερ ἡ θάλασσα βλέπουσα, μένει τῶν ἑαυτῆς ὅρων ἐντὸς, οὐ τολμῶσα παρελθεῖν, οὔτε πλεονεκτῆσαι τὴν ὁμορον γῆν· οὗτος ἐτεκτήνατο τῶν ὡρῶν τὰς τροπὰς, καὶ τῶν καιρῶν τὰς ἐναλλαγὰς, καὶ τῶν χρόνων τὰς ἀλείπους διαδοχὰς· οὗτος συνεςήσατο τὴν ὁρωμένην καὶ τὴν ἀόρατον κτίσιν, οὐ χρόνου συνεργοῦ δεηθεὶς, οὐ πόνῳ καὶ καμάτῳ δουλωθεὶς, ἀλλὰ θελήσας μόνον, καὶ πάντα ῥᾳδίως παραγαγών· ἐνένευσε γὰρ, καὶ τὸ νεῦμα τοῖς οὖσιν οὐσία γεγένηται· ἐνεθυμήθη μόνον, καὶ τὸ ἐνθύμημα πρᾶγμα γενόμενον ἴσατο· ἐκάλεσε τὰ μὴ ὄντα ὡς ὄντα, καὶ πάντα καθάπερ προὔφεστῶτα καὶ δοῦλα πρὸς τὴν δεσποτικὴν κλῆσιν μετὰ τρόμου συνέδραμεν· οὗτός ἐστιν πρὸς ὃν κοινολογούμενος εἶπεν· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· οὗτός ἐςιν ὁ σὺν ἐμοὶ πλάσας τὸν ἄνθρωπον, καὶ διὰ τὸν ἄνθρωπον γενόμενος ἄνθρωπος· γενόμενος ἄνθρωπος, οὐ τραπεὶς εἰς ἄνθρωπον· γενόμενος ἄνθρωπος, οὐ μεταβληθεὶς εἰς ὃ γέγονεν· γενόμενος ἄνθρωπος, τῷ λαβεῖν τὴν τῆς ἀνθρωπότητος ἀπαρχὴν, οὐ τῷ ἀποβαλεῖν τὴν τῆς θεότητος ἁρπαγὴν· γενόμενος ἄνθρωπος, καὶ μείνας θεός.

Οὗτός ἐστιν ὁ τῶν ἐμῶν κόλπων μὴ χωρισθεὶς, καὶ τῆς Μαρίας τοὺς κόλπους καταλαβών· ὁ καὶ ἐν ἐμοὶ μένων ἀχωρίστως, καὶ ἐν ἐκείνῃ γενόμενος ἀπεριγράπτως· ὁ καὶ ἐν τοῖς οὐρανοῖς ὑπάρχων ἀδιαιρέτως, καὶ ἐν τῇ παρ-

*

θενικῇ μήτρᾳ διαιτώμενος ἀμολύντως· ἣν γὰρ κτίσας οὐκ ἐμολύνθη, ταύτην οὐδὲ κατοικήσας ἐχράνθη· οὗτός ἐστιν ὁ προελθὼν ἐκ τῆς μακαρίας γαστρὸς, ὡς ἐκ παστάδος ἀνυμφεύτου νυμφίος φαιδρὸς· ὁ τιμήσας τῇ γεννήσει τὴν γέννησιν τῶν γηγενῶν, καὶ σφραγίσας τῷ τόκῳ τὴν παρθενίαν τῆς τεκούσης αὐτόν· ὁ διὰ τῶν τῆς παρθενίας πυλῶν εἰσελθὼν εἰς τὸν κόσμον, ὅθεν οὐκ ἀπέστη, ποτὲ καὶ τῶν τῆς ἁγνείας πυλῶν οὐ συντρίψας τὰ κλείθρα· ὁ παρὰ τῆς μητρὸς αὐτοῦ βασταχθεὶς, καὶ φέρων τὰ σύμπαντα· ὁ δεηθεὶς γάλακτος ὡς βρέφος, καὶ τρέφων πᾶσαν τὴν κτίσιν, ὥστε αὐτῆς τροφεύς· ὁ σπαργάνοις παιδικοῖς περιβληθεὶς ὡς παιδίον, καὶ λύων ὡς θεὸς τῶν ἁμαρτημάτων τὰ σπάργανα· ὁ ἐπὶ φάτνης ἀναπεσὼν, καὶ παρὰ τοῦ ἀέρος ὑποδειχθεὶς ὡς τῶν ἀστέρων δημιουργός· ὁ παρὰ τοῦ Ἡρῴδου πολεμηθεὶς· καὶ παρὰ Συμεῶνος τοῦ προφήτου καὶ ἱερέως κύριος προσαγορευθεὶς· ὁ κατελθὼν εἰς Αἴγυπτον καὶ σείσας τὰ χειροποίητα τῆς Αἰγύπτου, καὶ πληρώσας τὴν ἐμὴν προφητείαν τὴν λέγουσαν, ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου· ὁ προκόψας τῇ τοῦ σώματος ἡλικίᾳ, ἀλλ' οὐ τῇ θείᾳ οὐσίᾳ· ποῦ γὰρ εἶχεν προκόψαι ὁ πανταχοῦ παρών; ὁ παρὰ τοῦ βαπτιστοῦ βαπτισθεὶς, καὶ φωτίσας τὴν κτίσιν· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα, οὐκ ἔστιν ἄλλος ὁ ἐμὸς υἱὸς, καὶ ἄλλος ὁ τῆς Μαρίας υἱὸς· οὐκ ἔστιν ἄλλος ὁ ἐν τῷ σπηλαίῳ καταβληθεὶς, καὶ ἄλλος ὁ παρὰ τῶν μάγων προσκυνηθεὶς· οὐκ ἔστιν ἄλλος ὁ βαπτισθεὶς, καὶ ἄλλος ὁ μὴ βαπτισθεὶς· ἀλλ' οὗτός ἐστιν ὁ υἱός μου, οὗτος ὁ εἷς ὁ νοούμενος καὶ βλεπόμενος· εἷς ὁ ἀόρατος καὶ ὁρώμενος παρ' ὑμῶν· ὁ ἄϋλος καὶ πρόσ-

καιρος· ὁ αὐτὸς ὁμοούσιος ἐμοὶ τῇ θεότητι, καὶ ὁμοούσιος ὑμῖν τῇ ἀνθρωπότητι κατὰ πάντα χωρὶς ἁμαρτίας.

Μὴ ζητήσητε τῆς σαρκὸς αὐτοῦ πατέρα ἐπὶ τῆς γῆς, ἀπάτωρ γὰρ κάτω· μὴ ζητήσητε τῆς θεότητος αὐτοῦ μητέρα ἐν τοῖς οὐρανοῖς, ἀμήτωρ γὰρ ἄνω· μὴ μερίσητε τὴν θεότητα αὐτοῦ ἀπὸ τῆς ἀνθρωπότητος αὐτοῦ, μὴ γένησθε τῶν ἀμερίστων κακοὶ μεριταὶ· μὴ διέλητε τὴν ἀνθρωπότητα αὐτοῦ ἀπὸ τῆς θεότητος αὐτοῦ, ἀδιαίρετος γὰρ αὕτη καὶ ἀσύγχυτος μετὰ τὴν ἕνωσιν· μὴ χωρίσητε τὰ ἐν αὐτῷ, ἀλλὰ γνωρίσατε τὰ ἐν αὐτῷ· μὴ ποιήσητε δύο πρόσωπα τὰ ἓν πρόσωπον τοῦ Χριστοῦ· μὴ χειροτονήσητε δύο μονογενεῖς τὸν ἕνα μονογενῆ· μὴ στήσητε ἀνὰ μέρος τὸν ἐμὸν υἱόν, καὶ ἀνὰ μέρος τὸ ληφθὲν παρ' αὐτοῦ· μὴ τολμήσητε διελεῖν τὴν ἀσύγχυτον ἕνωσιν, ἣν διαιρεθῆναι ἀδύνατον· μήτε θεὸν γυμνὸν, οὔτε ἄνθρωπον ψιλὸν ὑποπτεύσητε τὸν ἐνανθρωπήσαντα κύριον· ἀλλὰ θεὸν ἅμα καὶ ἄνθρωπον πιστεύσατε τὸν αὐτὸν· ἀεὶ μὲν ὄντα, καὶ πρόοντα θεὸν, οὐκ ἀεὶ δὲ καὶ ἄνθρωπον· ἐξ ἐκείνου δὲ γενόμενον καὶ ἄνθρωπον καὶ ὄντα, ἐξ οὗπερ θελήσας ἐπελάβετο τοῦ σπέρματος Ἀβραάμ· κἂν ἴδητε τοῦτον τὸν ἐμὸν υἱὸν πεινῶντα, ἢ διψῶντα, ἢ καθεύδοντα, ἢ βαδίζοντα, ἢ κοπιῶντα, ἢ μαστιζόμενον, ἢ σταυρούμενον ἑκουσίως, ἢ τοῖς ἥλοις κατεχόμενον ἀπὸ γνώμης, ἢ νεκρούμενον ἰδίῳ θελήματι, ἢ φρουρούμενον ὡς νεκρὸν ἐν μνήματι, τῇ σαρκὶ αὐτοῦ ταῦτα προσνείματε.

Καὶ πάλιν, ἐὰν ἴδητε τοῦτον τὸν ἐμὸν υἱὸν, λέπραν ἀποξέοντα ῥήματι, πήρωσιν ὀμμάτων πηλῷ θεραπεύοντα, τὴν φύσιν ἀναπλάττοντα νεύματι, ἐκ πέντε ἄρτων πεντακισχιλίους κορεννύντα, καὶ ταῖς παλάμαις τῶν μαθη-

τῶν ὡς ἀρούραις ἐγγεωργοῦντα κόρον αὐτοσχέδιον ἀγεώργητον, τὴν θάλασσαν μαινομένην καὶ μιμουμένην τὰς τῶν ὀρέων κορυφὰς ἐξομαλίζοντα τῇ φωνῇ, τὸ πέλαγος ὡς ἔδαφος πεζεύοντα, τοῖς δαίμοσιν ὡς ἀνθραπόδοις δεσποτικῶς ἐπιτάττοντα, τῇ θεότητι αὐτοῦ ταῦτα προσάψατε· μὴ ἄλλου τινὸς τὰ ὑψηλὰ τῶν πραγμάτων, ἄλλου δέ τινος τὰ ταπεινὰ τῶν γινομένων νομίσητε, ἀλλὰ ἑνὸς καὶ τοῦ αὐτοῦ, κἀκεῖνα καὶ ταῦτα λογίσασθαι· αὐτοῦ γὰρ τὰ θεῖα πάντα, αὐτοῦ τὰ ἀνθρώπινα πάντα, αὐτοῦ τὰ δημιουργήματα, αὐτοῦ τὰ παθήματα· εἷς γὰρ καὶ ὁ αὐτός ἐστιν υἱὸς ἐμός, τὰ τῆς ἑαυτοῦ θεότητος ἐργαζόμενος ἔργα, καὶ τὰ τῆς ἑαυτοῦ σαρκὸς οἰκειούμενος ἅπαντα· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα· οὗτός ἐστιν ἄμπελος καὶ θύρα τῶν τέως πλανωμένων προβάτων· ἄμπελος ἡ ἐν οὐρανοῖς ἔχουσα τὴν ῥίζαν, ἐπὶ γῆς δὲ τὰ κλήματα· ἄμπελος κλαδευομένη τὸ σῶμα, ἀλλ' οὐ ξηραινομένη τὴν ῥίζαν· ἄμπελος μετὰ τρίτην ἡμέραν τοῦ κλαδευθῆναι, βλαστάνουσα τὸν βότρυν τῆς ἀναστάσεως· οὗτός ἐστιν ἡ θύρα, δι' αὐτοῦ γὰρ ὁ πιστεύων εἰσέρχεται πρός με· οὗτός ἐστιν μεσίτης ἐμοῦ καὶ τῶν δούλων αὐτοῦ, συνάπτει γάρ μοι τοὺς πρεκεχρουκότας ἐν αὐτῷ· οὗτός ἐστιν ὁ υἱός μου καὶ ἀμνός, οὗτος ἱερεὺς καὶ ἱερεῖον, ὁ αὐτὸς προσφέρων καὶ προσφερόμενος, ὁ αὐτὸς θυσία γενόμενος, καὶ αὐτὸς τὴν θυσίαν δεχόμενος.

Ταῦτα μὲν οὖν μετὰ τὸ βάπτισμα παρὰ τὸν Ἰορδάνην περὶ τοῦ μονογενοῦς ἐμαρτύρησεν ὁ πατήρ· ὅτε δὲ βλεπόντων τῶν μαθητῶν ὁ Χριστὸς, ἐν τῷ ὄρει μετεμορφώθη, καὶ τὰ πρόσωπον μαρμαρυγὰς ἀφῆκεν ἀποκρυπτούσας τὰς τοῦ ἡλίου μαρμαρυγάς, καὶ τότε πάλιν τὴν αὐτὴν ἀφῆκε φω-

νὴν, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα· πολλάκις ὁ πατὴρ υἱὸν ἀποκαλεῖ τὸν υἱὸν, καὶ τῇ φωνῇ καθάπερ χειρὶ κρατεῖ τὸν μονογενῆ, διὰ τοὺς λέγοντας ἐν χρόνῳ γεγενῆσθαι τὸν ἄχρονον, διὰ τοὺς συναριθμοῦντας τῇ κτίσει τὸν ἐργάτην τῆς κτίσεως, διὰ τοὺς δουλαγογοῦντας τὸν ἐλευθερωτὴν, διὰ τοὺς ἀναπλάττοντας ἄλλον καὶ ἄλλον υἱὸν· διὰ τοῦτο συνεχῶς ἐπιμαρτύρεται, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα, αὐτοῦ ἀκούετε· ἐὰν εἴπῃ, ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοὶ, αὐτοῦ ἀκούετε· ἐὰν εἴπῃ, ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα, αὐτοῦ ἀκούετε ὡς ἐπαληθεύοντος τοῖς πράγμασιν· ἐὰν εἴπῃ, ὁ πέμψας με πατὴρ, μείζων μου ἐστὶν τῇ οἰκονομίᾳ τῆς συγκαταβάσεως αὐτοῦ, τὴν φωνὴν προσαρμόσατε· ἐὰν εἴπῃ, τοῦτο ἐστιν τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν, βλέπετε τὸ σῶμα τὸ δεικνύμενον παρ' αὐτοῦ· βλέπετε τὸ ληφθὲν ἐξ ὑμῶν, καὶ γενόμενον αὐτοῦ, καὶ ὑπὲρ ὑμῶν συντριβόμενον· ἐὰν εἴπῃ, τοῦτό ἐστιν τὸ αἷμά μου, τοῦ λαλοῦντος ὑμῖν αἷμα νομίσητε, μὴ ἄλλου τινὸς παρ' αὐτὸν· ἐὰν εἴπῃ περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου, τῇ ψυχῇ αὐτοῦ τῆς λύπης τὸ πάθος προσάψατε.

Ταῦτα παρὰ τοῦ θεοῦ καὶ πατρὸς δεδιδάγμεθα· ταῦτα παρὰ τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ πεπαιδεύμεθα· ταῦτα παρὰ τοῦ ἁγίου πνεύματος κατηχήμεθα· ταῦτα παρὰ τῶν ἁγίων γραφῶν διηγόρευται· ταῦτα παρὰ τῶν ὁσίων πατέρων κεκήρυκται· ἃ τοίνυν παρειλήφαμεν, ταῦτα φυλάξωμεν· ἃ μεμαθήκαμεν, ταῦτα κρατήσωμεν· τί μαχόμεθα πρὸς ἀλλήλους εἰκῇ; τί πολεμοῦμεν ἀλλήλους οἱ προστεταγμένοι καὶ τοὺς μισοῦντας φιλεῖν; τί τὸ πιστεύειν ἀφέντες, τεχ-

νολογοῦμεν τὴν πίστιν; ἐγεννήθη, οὐκ ἐγεννήθη· ἔπαθεν, οὐκ ἔπαθεν· ἀνέστη, οὐκ ἀνέστη· τί δικαζόμεθα τῷ λυτρωτῇ; τί λογαθετοῦμεν τὸν εὐεργέτην; ἅπαξ ὡς ἠθέλησεν παρεγένετο, καὶ πέπονθεν, καὶ ἀνέστη, καὶ παραγίνεται κριτὴς ζώντων καὶ νεκρῶν, καὶ παραγίνεται καθὰ καὶ ἤδη παρεγένετο μετὰ τῆς ἡμετέρας μορφῆς· οὐ γὰρ ἀπεδύσατο ταύτην ἣν τοσοῦτον ἠγάπησεν, οὐκ ἀπέῤῥιψεν ταύτην ἣν τοσοῦτον ἐφίλησεν, οὐ κατέλειπεν ἐν τῷ μνήματι τὴν σάρκα αὐτοῦ ἣν διὰ φιλανθρωπίαν ἕνωσεν ἑαυτῷ καθ' ὑπόστασιν· ἀλλ' οὕτως παραγίνεται πάλιν κρίναι ζῶντας καὶ νεκρούς, ἵνα ἴδῃ Ἰούδας τίνα πέπρακεν τοῖς κυριακτόνοις, ἵνα θεάσονται ἰουδαῖοι ποίαν κεφαλὴν ταῖς ἀκάνθαις ἐξεφάνωσαν, ἵνα ὅταν ἴδωσιν αὐτὸν ἐπὶ τοῦ δικαστικοῦ θρόνου καθήμενον, καὶ τὰ χερουβὶμ καὶ τὰ σεραφὶμ μετὰ φόβου καὶ τρόμου παριστάμενα, καὶ εἴπωσιν, ἡμεῖς τοῦτον οὐκ ἐσταυρώσαμεν, ἀλλά τινα Ἰησοῦν ναζωρηνὸν βηθλεεμίτην κατεκρίναμεν, ὑποδείξει αὐτοῖς τὴν πλευράν, καὶ ἴδωσιν εἰς ὃν ἐξεκέντησαν, καὶ προσκυνήσωσιν καὶ μὴ θέλοντες.

Τί τοίνυν τὸ πιστεύειν ἀφέντες τεχνολογοῦμεν τὴν πίστιν; τί πληροῦμεν τὴν ἐπιθυμίαν τοῦ κοινοῦ θυσμενοῦς; λεγισάμενος γὰρ ὁ διάβολος ὁ κοινὸς τῆς ἀνθρωπότητος λυμεὼν, ὅτι γαλήνης ἐν ἡμῖν πολιτευομένης, τὰ τῆς εὐσεβείας ἀνθεῖ, τῆς δὲ πίστεως λαμπούσης εὐζωΐα κρατεῖ, πολιτείας δὲ θεσφιλοῦς κατορθουμένης, μακαριότητος δὲ μεσαζούσης, φίλοι τοῦ δημιουργοῦ καθισάμενοι πρὸς τὸν ποθούμενον ἀνατρέχομεν, ἵνα μὴ ἀνέλθωμεν ὅθεν ἐκεῖνος κατέπεσεν, ὁρᾶτε τί πεπείηκεν, καὶ πῶς πανούργως καὶ θολερῶς καθ' ἡμῶν ἐραψῴδησε πόλεμον, ὁ μηχανοράφος τῶν

κακῶν, καὶ σοφὸς ἐν ἀπάταις, καὶ ποικίλος ἐν ἐπιβουλαῖς, καὶ πλούσιος ἐν τοῖς κακοῖς μηχανήμασι· παρεσκεύασέν τινας ἐν προσχήματι τῆς εὐσεβείας στρατεύεσθαι, καὶ τῆς πίστεως τὴν ζήτησιν κατὰ τῆς πίστεως ὥπλησεν, καὶ πᾶσι τοῖς εὐσεβέσιν ἄκαιρον φιλονικείας ἐνέβαλε πόλεμον, καὶ τῆς ἐκκλησίας τὰ μέλη κατ' ἀλλήλων ἐσράτευσεν· εἶτα γελᾷ πλατὺν γέλωτα, βλέπων τοὺς πειθομένους αὐτῷ ταῖς βουλαῖς τρεπομένους παρ' αὐτοῦ, καὶ τέρποντας αὐτὸν οἷς κατ' ἀλλήλων ἐργάζονται, καὶ οὐδὲ μετὰ τὴν πεῖραν τῶν κακῶν· τρέψομεν τοίνυν κατὰ τῆς πονηροῦ κεφαλῆς τοῦτο δὴ τὸ σοφὸν, καὶ τὴν εὐφροσύνην αὐτοῦ μεταβάλομεν εἰς ὀδύνην καὶ πένθος ἀπαρηγόρητον· καὶ ποθήσωμεν τὴν εἰρήνην, ἣν ἐκεῖνος μισεῖ· καταλείπωμεν τὸ ζυγοστατεῖν καὶ σταθμίζειν τὰς λέξεις τοῦ δόγματος· παυσώμεθα τοῦ θέλειν εἶναι τῶν διδασκάλων διδάσκαλοι· μισήσωμεν τὸ λογομαχεῖν ἐπὶ καταφροφῇ τῶν ἀκουόντων· πιστεύσωμεν ὡς οἱ πατέρες παρέδωκαν· οὐκ ἐσμὲν τῶν πατέρων σοφώτεροι· οὐκ ἐσμὲν τῶν διδασκάλων ἡμῶν ἀκριβέστεροι· οὐκ ἐσμὲν τῶν ποιμένων ποιμένες, ἀλλὰ πρόβατα· οὐ ποιμαίνει τὰ πρόβατα τοὺς ποιμένας, ἀλλ' οἱ ποιμένες τὰ πρόβατα· ἐν εἰρήνῃ κέκληκεν ἡμᾶς ὁ θεὸς, οὐκ ἐν μάχῃ· ὡς ἐκλήθημεν, ἐμμείνωμεν· φρίξωμεν τὴν μυστικὴν τράπεζαν ἐν ᾗ τῶν οὐρανίων μυστηρίων μεταλαμβάνομεν· μὴ γινώμεθα καθ' ἑαυτῶν ὁμοτράπεζοι, ἀλλήλων ἐπίβουλοι· μὴ ἐνταῦθα κοινωνικοὶ, καὶ ἔξω φιλόνεικοι· μὴ ἐνταῦθα ὁμόπιστοι, καὶ ἔξω ἑτερόφιλοι, ἵνα μὴ εἴπῃ καὶ περὶ ἡμῶν ὁ κύριος· υἱοὺς ἐγέννησα καὶ ὕψωσα καὶ ἔθρεψα ἐκ τῆς ἐμῆς σαρκὸς, αὐτοὶ δέ με ἠθέτησαν· αὐτὸς δὲ ὁ τῶν ὅλων σωτὴρ, ὁ τῆς εἰρήνης δημιουργὸς, τὸν φιλοτάραχον

καὶ φιλοπόλεμον διάβολον ἐξ ὑμῶν ἀπελάσειεν· αὐτὸς ταῖς ἐκκλησίαις ἑαυτοῦ τὴν γαλήνην βραβεύσειεν· αὐτὸς τὴν ἱερὰν ταύτην ἀγέλην τηρήσειεν· αὐτὸς τὸν ἀγελάρχην φυλάξειεν· αὐτὸς τὸν εὐσεβῆ καὶ φιλόχριστον ἡμῶν βασιλέα φρουρήσειεν· αὐτὸς συναθροίσειεν εἰς τὰς ἑαυτοῦ μάνδρας τὰ πλανώμενα πρόβατα, ἵνα γένηται μία ποίμνη, ἓν ποιμήν· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

ΙΩΑΝΝΟΥ

ΜΟΝΑΧΟΥ ΚΑΙ ΠΡΕΣΒΥΤΕΡΟΥ

ΠΟΛΕΩΣ ΕΥΟΙΑΣ

ΛΟΓΟΣ

ΕΙΣ ΤΑ ΑΓΙΑ ΝΗΠΙΑ ΤΑ ΕΝ ΒΗΘΛΕΕΜ ΑΝΑΙΡΕΘΕΝΤΑ ΚΑΙ ΕΙΣ ΤΗΝ ΡΑΧΗΛ.

Cod. p. 21. b. Πάλιν ὁ τάλας ἐγὼ τὸν νοῦν ἐπὶ τὴν Βηθλεὲμ ἐκπετάσαι βούλομαι, καὶ τὰ ἐν αὐτῇ ἐπὶ Ἡρώδου τοῦ παιδοκτόνου παρανόμως ἐκτελέσθεντα τῇ ἐννοίᾳ τῆς θεωρίας στηλιτεύσομαι δόγματα· φόβου γὰρ καὶ θαμβύνων ἡ τοιαύτη ἔρευνα γέμει· οὐκ ἠμετέρῳ φόβῳ, ἀλλὰ τῶν τότε μητέρων, τῶν μακαρίων ἐκείνων παίδων, ὧν ὁ Ἡρώδης ζητῶν τὸν γεννηθέντα βασιλέα, τοὺς μηδὲν ἠδικηκότας παῖδας, ἄορος ἀδίκως δρεπάνη ἐξεθέρισεν· τοῦτο γάρ μου τὸν νοῦν προετρέψατο, καὶ ὡς ἐν ὀφθαλμοῖς ἀρτίως ὁρῶ τὸν πα-

ράνομεν Ἡρώδην μεμηνότα καὶ σκυθρωπὸν, ἐπὶ τοῦ ἀδίκου αὐτοῦ θρόνου καθεζόμενον, καὶ πλείονος ξίφους τὴν τούτου καρδίαν ἠκονημένην, καὶ πρὸς ἀνταρσίαν εὐτρεπιζόμενον τοῦ βασιλέως τῶν βασιλευόντων καὶ κυρίου τῶν κυριευόντων, δι' οὗ βασιλεῖς βασιλεύουσιν, καὶ τύραννοι κρατοῦσι γῆς· ἡ διαβολὴ γὰρ τῶν παρανόμων ἰουδαίων, καὶ ὁ θυμὸς τοῦ ἐχθίστου καὶ ἀποστάτου Ἡρώδου, οὐ μόνον τὴν Βηθλεὲμ ἀλλὰ καὶ τὴν Ἱερουσαλὴμ ἐμόχλευσεν· ὅτι οὖν ὁ δείλαιος ἐκεῖνος ἐνεπαίχθη ὑπὸ τῶν σοφῶν μάγων, ὑλιγγιᾷ καὶ ἀλλοιοῦται, ταράττεται τῇ μορφῇ, καὶ τῇ καρδίᾳ δειλιᾷ· ῥητορεύει πρὸς τοὺς ἀρχιερεῖς, καὶ φρατριάζει μετὰ τῶν φαρισαίων· νόμον ἀναγινώσκεσθαι ἐπιτρέπει, καὶ προφήτας ἑρμηνεύεσθαι προσάττει· ἄφρων καὶ κακοῦργε καὶ ῥᾳδιουργὲ· εἰ νόμος καὶ προφῆται τὸν γεννηθέντα βασιλέα ἄνωθεν ἔρχεσθαι προεκήρυξαν, σὺ τί μάτην ταράττῃ; ταράττῃ μὲν, οὐκ ἰσχύεις δὲ· ταράττῃ, ἀλλ' εἰς ἑαυτὸν συντριβήσεις· οὐκ ἤκουσας ἐν τῇ βίβλῳ τῶν ψαλμῶν, ὅτι μάτην ταράσσεται πᾶς ἄνθρωπος ζῶν; καὶ τί τούτου ματαιότερον ὅτι διώκεις τὸν ἀκατάληπτον; ἄνομε καὶ παράφρων εἰ καὶ τοὺς παῖδας ἐκκόψεις, τὸν βασιλέα οὐ καταλήψῃ· εἰ ὁ νόμος καὶ οἱ προφῆται ἐν Βηθλεὲμ βασιλέα ἀθάνατον γεννᾶσθαι χρηματίζουσιν, σὺ τοὺς ἀνευθύνους παῖδας τί ἀνελεῖς; καὶ ἡ μὲν σὴ διάνοια πρεγέγραπται διὰ τοῦ προφήτου Ἱερεμίου λέγοντος, φωνὴ ἐν Ῥαμᾷ ἠκούσθη, θρῆνος καὶ κλαυθμὸς καὶ ὀδυρμὸς πολὺς, Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς, καὶ οὐκ ἤθελεν παρακληθῆναι, ὅτι οὐκ εἰσιν· μὴ ἐὰν ἀποκτείνῃ τοὺς παῖδας ὁ βασιλεὺς στρατόπεδον οὐχ ἕξει; ἢ ἐν τῇ παρανόμῳ σου καρδίᾳ λογίζεις, ὅτι πάντως ἐκ τῶν ἀποκτεινομένων παίδων εἷς ἐστὶν ὁ βασι-

λεὺς ; εἰ παντὸς τοῦ κόσμου τοὺς παῖδας ἀποκτείνεις, τοῦ τεχθέντος βασιλέως ἡ βασιλεία τέλος οὐκ ἔχει· ὦ τῆς ἀνοίας· ὦ παραδόκου βασιλέως ἀνήλεως κρίσις· ὦ παρανομία βασιλέως· παρ' οὗ ἔμελλον ἀδικούμενοι κρίσιν δικαίαν λαμβάνειν, τυραννούμενοι ποῦ ἀπελεύσονται ;

Ὦ Βηθλεὲμ ἁγία, ὅτι οὐ μόνον ὑπὸ τοῦ τεχθέντος βασιλέως ἡγιάσθης, ἀλλὰ καὶ ἀπὸ τοῦ αἵματος τῶν ἀδίκως ἐκκοπέντων παίδων, διπλοῦν τὸν ἁγιασμὸν ἐκομίσω· κατανοῶ γὰρ τὸν Ἡρώδην, τὰ στρατεύματα ἀποστέλλοντα, τοὺς στρατοπαιδάρχας μηχανωμένους μή πως πόποτε παῖς ἀποκρυβῇ αὐτούς, τὰς μητέρας ἐκδεχομένας θεωρῆσαι τῶν νηπίων τὸν ἔχθιστον θάνατον, πύλας τῶν πόλεων ἀποκλεισμένας, τὰς κώμας ὑπὸ τῶν στρατευμάτων κυκλουμένας· τὰς δὲ ἐξόδους τῶν πλατειῶν φρουρουμένας, τοὺς στρατιώτας ξιφήρεις ὥσπερ κύνας λυττῶντας καὶ περιτρέχοντας, ἰδιώτας ἐναποκλείστους γενομένους, καὶ ἑκάστους αὐτῶν ἐπερωτωμένους περὶ τῶν τόπων ὅπου ἦσαν, τίς καὶ ποῦ ἐν ταῖς ἡμέραις ἐκείναις παῖδα ἐγέννησε, τοὺς γονεῖς ἀπαγραφομένους, μή πως ἄρρεν ἀποκρυβῇ ἐξ ὀφθαλμῶν αὐτῶν· ἐξῆλθον γὰρ ὥσπερ ἀετὸς ἐπὶ βορὰν πτώματος, ὅπως τε μὴ ἀποκρυβῇ ἐξ ὀφθαλμῶν ἄρρεν· καὶ οἱ μὲν πατέρες τὸν φόβον τοῦ βασιλέως δεδιότες, ὥσπερ ἐξ αἴνου ἐκ παντὸς τρόμου μεμεθυσμένοι, οὐκ ἤδεισαν τὸ τί διαπράξονται· αἱ δὲ μητέρες λαβοῦσαι ἑκάστη τὸ ἴδιον νήπιον, τὸν θυμὸν τοῦ παρανόμου βασιλέως ἀποδράσαι ἔσπευδον· καὶ πολλαὶ μὲν ἐξ αὐτῶν, ὥσπερ στρουθίον ἀπὸ ἑνὸς παιδὸς ἐν ταῖς ἀγκάλαις κατέχουσαι, ἄλλαι δὲ καὶ ἀπὸ δύο, ὥσπερ ἀρνία ἀποδυρώμενα καὶ κλαυθμυρίζοντα, βαστάζουσαι ἀποτρέχειν ἔσπευδον· καὶ ὁρῶσαι τὰ ξίφη ἁπτόμενα,

τοῦτον διέφευγον, καὶ εἰς ἄλλον περιέπιπτον· ἔσθ' ὅτε δὲ καὶ χρήματα πειρῶνται διδόναι πρὸς τοὺς στρατιώτας, ἀποθυρώμεναι ταῦτα ἔλεγον· ὁρκίζω σε κατὰ τοῦ νόμου Μωϋσέως, κτῆσαι σπλάγχνα οἰκτιρμῶν, ὅτι καὶ σὲ μήτηρ ἐγέννησεν· ἔσθ' ὅτε δὲ καὶ γυναῖκα καὶ παῖδας ἔχεις· οὐκ ἔστιν μοι ἄλλη ἐλπὶς ἢ ὑπόσασις, ἢ μόνον τὸ νήπιον τοῦτο· λάβε ὁλκὴν χρυσίου καὶ φεῖσαί μου τοῦ παιδός.

Τῶν δὲ μὴ ἀνεχομένων, ἀλλ' ὥσπερ ἱεράκων ἀνήλεως ἑπταμένων κατὰ νεοττῶν περιστερῶν ἢ τρυγόνων, ἢ ὥσπερ λύκων ἄρνας διαρπαζόντων, ἢ ὥσπερ λεόντων ἀπαλὰ μοσχάρια ἐκ μασθῶν μητέρων διαρπαζόντων καὶ μὴ φειδομένων, ἀνάγκη τὰς μητέρας περιπλέκειν, ἅμα χειρῶν τὰς ὀλένας αὐτῶν τοῖς αὐχέσι τῶν νηπίων, καὶ κατορκίζειν τοὺς ἀνόμους ἐκείνους στρατιώτας· ὁρκίζω σε ἄνθρωπε, εἰς τὸν αὐξήσαντα σὲ ἐκ βρέφους ἄνδρα τέλειον· ἀπόκτεινον δὴ ἐμὲ πρῶτον, καὶ τότε τὰ νήπιον ἐν ταῖς ἀγκάλαις μου· ἐχθρὸς τῆς δικαιοσύνης ἐκεῖνος τῷ ζήλῳ καὶ δειλίᾳ ὑπερμεθύσας, σκοπευτὰς κατώπισθεν ἀποστέλλων, παρήγγελλεν ἄρα μή τι χρήματα λαβόντες τινὶ ἐφείσαντο· μὴ οἱ γονεῖς τοῦ γεννηθέντος βασιλέως δώροις ἐκμειλίξαντες τοὺς ἐμοὺς στρατιώτας, καὶ πρὸς ἀνταρσίαν ἐμοὶ αἱρεθήσουσιν· οἱ δὲ ἀποστελλόμενοι τὰ αὐτὰ παρενόχλουν τοῖς φονευταῖς ἐκείνοις· κἀκεῖναι ταῦτα ἀκούοντες ὑπὲρ περισσοῦ τῷ ζήλῳ κατεμέθυσαν· καὶ νῦν εἰ καὶ οὐκ ἦμην περιὼν, ἐσὶν γὰρ ἀπὸ τότε ἔτη ἤδη τέσσαρα καὶ τεσσαράκοντα καὶ ἑπτακόσια, ἀπὸ μὲν τῆς παρουσίας Χριστοῦ ἔτη ἑπτακόσια τεσσαράκοντα, τέσσαρα (1), ἀπὸ δὲ τῆς παιδοκτονίας ἔτη ἑπτακόσια τεσ-

(1) Heic docet auctor se vixisse medio sæculo Christi octavo.

σαράκοντα δύο· ἀλλ' ὡς παρὼν ἐκεῖ, οὕτως ταῦτά μοι κατὰ νοῦν πάρεισιν, καὶ ὡς θεωρῶν εἰμὶ τὸν ἔχθιστον βασιλέα Ἡρώδην τῷ θυμῷ ζέοντα, τοὺς μεγιστάνας αὐτοῦ παραμυθουμένους αὐτὸν, τοὺς φονεῖς τὰ δάκρυα τῶν πατέρων μὴ ἐλεοῦντας, τὰ νήπια μὴ οἰκτείροντας· ἀλλὰ τῶν μὲν τὰς κεφαλὰς ἀποτέμνοντας, τῶν δὲ ταῖς μητράσιν κατεχουσῶν, καὶ μὴ βουλομένων ἀφιέναι ἐν ταῖς ἀγκάλαις αὐτῶν ταῖς μαχαίραις ἀναλίσκοντας αὐτῶν τὰ νήπια· ἄλλοι δὲ κατεμέλιζον αὐτὰ ἔμπροσθεν τοῖς γεννήσασιν, καὶ ἕτεροι κρατοῦντες τοῖς ποσὶ ἐν ταῖς πέτραις ἐξεθάφιζον, καὶ οὕτως τῶν κροτάφων αὐτῶν τῇ γῇ σκορπιζομένων, ταῖς ἐλεεινα῀ις μητράσιν οὐκ ἦν παράκλησις· πᾶαν γὰρ καὶ παραμυθίαν εἶχον ἔχειν ἐν ἑαυταῖς ὁρῶσαι ἐν ὀφθαλμοῖς αὐτῶν τὸν ἄωρον θάνατον; τὰ ἱμάτια αὐταῖς τοῖς αἵμασιν καταβαφέντα σήθει διανοίας, τὰ σέρνα τῷ πόνῳ τῶν γαλακτορόων τρυχώμενα, ταῖς θηλαῖς τὰ ἱμάτια αὐτοῖς καταβρέχουσαι· καὶ αἱ μὲν ἐξ αὐτῶν διετεῖς παῖδας ἐθρήνουν, καὶ ἄλλαι ἐνιαυσιαίους, καὶ ἄλλαι καιροῦ καὶ ἡμίσεως, καὶ λοιπὸν κατωτέρω· ἀπὸ διετοὺς γὰρ ἦν τὸ πρόσαγμα τοῦ δειλαίου καὶ παρανόμου Ἡρώδου, καὶ ὅσοι ἐγεννήθησαν πρὸ μιᾶς ἡμέρας τοῦ ἐναγοῦς ἐκείνου προστάγματος.

Ὦ ἐννοίας δακρύων πεπληρωμένης· ὦ μακαρίων παίδων μηδὲν ἠδικηκότων, καὶ ὡς πολεμίων βαρβάρων κατασφαζομένων· ὦ αἱμάτων ἀδίκως ἐπὶ τῆς γῆς ἐκχεομένων, καὶ ὥσπερ ὄμβρων ἐν αὐτῇ πιανθέντων· ὦ δρεπάνης ὀλεθρίου πρὸ καιροῦ τοῦ θέρους ἐν ἀκμῇ τοῦ χοροῦ τὰς ἀρούρας αἰχμαλωτησάσης· ὦ μητέρων θρῆνος καὶ σεναγμὸς καὶ ὀδυρμὸς πολὺς, ἐν ᾧ οὐκ ἦν παράκλησις οὐδεμία· τούτων γὰρ πασῶν τῶν μητέρων, εἰς μιᾶς ὀδυρμὸν προφήτης αἰνιγμα-

τοδῶς προεφήτευσεν, Θρῆνος γάρ φησιν καὶ κλαυθμὸς καὶ ὀδυρμὸς καὶ πολὺς, Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς, καὶ οὐκ ἤθελεν παρακληθῆναι, ὅτι οὐκ εἰσὶν· καὶ μὴ μιᾶς μόνον τῷ ὀνόματι τούτῳ τὰ τέκνα κατεσφάγησαν, οὐχὶ· ἀλλὰ πολλαὶ Ῥαχὴλ ἐκαλοῦντο, ἀλλ' ἐπειδὴ μήτηρ τῶν μητέρων ἦν ἡ τοῦ Ἰακὼβ Ῥαχὴλ, διὰ τοῦτο ὁ προφήτης τὸ ὄνομα τῆς πάλαι Ῥαχὴλ διὰ τὸ μέλλον θέρος τῶν νηπίων, καὶ τὴν περὶ τούτων θλῖψιν, πόρρωθεν ἀνήγγειλεν· κοπετῶν τοίνυν καὶ στεναγμῶν πλήρης ἡ ἔννοια· τίς γὰρ μὴ θρηνήσειεν μετὰ τῶν μητέρων ἐκείνων; ἢ τίς σπλάγχνα οἰκτειρμῶν οὐκ ἐκτήσατο ἐπὶ τῇ τοιαύτῃ ἀθίκῳ πληγῇ; ἢ τίς τοῦ ψελλισμοῦ τῶν μακαρίων ἐκείνων ἐνθυμούμενος οὐ πληρωθήσεται δακρύων; ὁρῶντα γὰρ τὰ ξίφη κατ' αὐτῶν ἀκοντιζόμενα, καὶ ὡς ὑπὸ θηρίων ἀγρίων ἐκ τῶν κόλπων τῶν μητέρων ἀποσπώμενα πρὸς αὐτοὺς ἀπεφθέγγοντο καὶ ἔλεγον· ἄφες με ἄνθρωπε, ποῦ με ἀπάγεις; οὐ γνωρίζω σε· οὐκ οἶδα τίς εἶ· οὐκ εἶ σὺ οὔτε πατήρ μου, οὔτε ἀδελφὸς, οὔτε μητράδελφος, οὐ πατράδελφος, καὶ οὐκ ἔγνωσαν οὕπως, οὐδὲ διὰ τί ἐκ τῆς γῆς ἐπαίρεται ἡ ζωὴ αὐτῶν· ὦ παρανομία τοῦ βυθίου δράκοντος, τὰς σάρκας τῶν ἀναιτίων παίδων βεβρωκότος, καὶ μὴ ἐμπλησθέντος· ἔτι γὰρ καὶ τῆς παιδοκτονίας ἀνηλεῶς γενομένης, δειλία καὶ ἀπονοία ἔτι ζητῶν ἦν τὸν τεχθέντα βασιλέα· καὶ οὐκ ἐπαύσατο στένων καὶ τρέμων, ἕως οὗ ἡ ψυχὴ αὐτοῦ ἀφαιρέθη ἀπ' αὐτοῦ.

Ἐκεῖ μὲν οὖν ὁ κύριος ἐν εὐαγγελίοις στηλιτεύων τὴν τῶν ἰουδαίων ἄνοιαν, τῇ Ἱερουσαλὴμ ἔφη· Ἱερουσαλὴμ ἡ ἀποκτείνουσα τοὺς προφήτας· ἐγὼ δὲ φημὶ τῇ ἁγίᾳ Βηθλεὲμ, οὐχὶ στηλιτεύων ἀλλὰ δοξάζων· Βηθλεὲμ Βηθλεὲμ

ἐν ᾗ ἐγεννήθη ὁ Χριστὸς ὁ μέγας βασιλεὺς, ἡ ὑπὲρ πορφύραν βασιλικὴν καὶ βύσσον, δεξαμένη τὰ τῶν μακαρίων νηπίων αἵματα, πρῶτον μὲν ἡγιάσθης ἐν τοῖς ὁρίοις σου τεχθέντος, καὶ οὐκ ἐν τοῖς ὁρίοις σου, ἀλλ' ἐν σοὶ αὐτῇ τὸν ἐλθόντα ἵνα σώσῃ τὸν κόσμον, ἐκ παρθενικῶν λαγόνων προελθόντα πρώτη δεξαμένη τὸν πρωτότοκον πάσης τῆς κτίσεως, καὶ δημιουργὸν τῶν ἁπάντων· καὶ δεύτερον ἁγιασμὸν ἐδέξω τὰ αἵματα τῶν ἀμώμων καὶ μακαρίων παίδων· αὐτοὶ γὰρ εἰσὶν ἀληθῶς ἄμωμοι· ὧν τινων ὡς ἀρνίων ἀκάκων τὸ αἷμα ὑπὲρ τοῦ ποιήσαντος ἡμᾶς ἐξεχύθη· ὦ μακαρίων ἀμώμων τῶν τὸν νόμον κυρίου μὴ ἀναγνωσάντων, καὶ ἐν τῷ νόμῳ αὐτοῦ πρὸς αὐτὸν πορευθέντων· ὦ νεοσσῶν λογικῶν σοφῶν τρυγόνων καὶ ἀκεραίων περιστερῶν, τῶν οὐχὶ νομικῶς προσενεχθέντων τῷ θεῷ, ἀλλὰ χάριτι Χριστοῦ, ὑπὲρ αὐτοῦ τοῦ ἀμώμητου τοῦ αἵματος αὐτῶν ἐκχυθέντος· ὦ μοσχαρίων προφητικῶς ἐκ τῶν θεσμῶν ὧν ἔμελλον πράττειν ἀνεθέντων, καὶ ἐν ἀγαλλιάσει σκιρτούντων· μηθ' ὧν Χριστὸς ὁ θεὸς ἡμῶν, μερίδα καὶ κλῆρον δώσει ἡμῖν· ὅτι αὐτῷ πρέπει δόξα τιμὴ προσκύνησις καὶ μεγαλοπρέπεια, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων· ἀμήν.

ΗΣΥΧΙΟΥ

ΠΡΕΣΒΥΤΕΡΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΕΙΣ ΤΗΝ ΥΠΑΠΑΝΤΗΝ ΤΟΥ ΚΥΡΙΟΥ

ΚΑΙ ΣΩΤΗΡΟΣ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ.

Ἡ μὲν ἑορτὴ λέγεται καθαρσίων, ἣν οὐκ ἄν τις ἁμάρτοι, ἑορτῶν εἰπὼν ἑορτὴν, σαββάτων σάββατον, ἁγίων ἁγίαν προσαγορεύσας· ὅλον γὰρ ἀνακεφαλαιοῦται τῆς σαρκώσεως τοῦ Χριστοῦ μυστήριον, ὅλον διαγράφεται τῆς τοῦ μονογενοῦς κυρίου· ἐν ᾗ βρέφος ὁ Χριστὸς ἐβαστάχθη, καὶ θεὸς ὡμολογήθη, καὶ ἐν ἀγκάλαις προσηνέχθη ὡς ἐπὶ θρόνου ὁ τῆς ἡμετέρας φύσεως ποιητὴς καθήμενος· καὶ ζεῦγος τρυγόνων λογικῶν τῷ Συμεὼν καὶ Ἄννᾳ προσέφερεν· αὐταῖς δὲ εἰ δοκεῖ ταῖς εὐαγγελικαῖς παρεμβάλομεν λέξεσι, θεοῦ γὰρ ἐκεῖ παρεμβολὴν ὀψόμεθα· οὕτω τοίνυν ἡμῖν τῆς ἑορτῆς ὁ Λουκᾶς τὴν ἱστορίαν ἐξέθετο· καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν κατὰ τὸν νόμον Μωϋσέως, ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα παραστῆσαι τῷ κυρίῳ, καθὼς γέγραπται ἐν νόμῳ κυρίου, ὅτι πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ κυρίῳ κληθήσεται· καὶ τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν νόμῳ κυρίου, ζεῦγος τρυγόνων ἢ δύο νεοσσοὺς περιστερῶν· ἐχρὴν τὸν δουλεύσαντα δι' ἡμᾶς προσφέρειν ὑπὲρ ἡμῶν καθάρσια, τὸν αἵματος οἰκείου μὴ φεισάμενον ζεύγους τρυγόνων μὴ φείσασθαι· ἰδοὺ τοίνυν κατὰ τὸν νόμον, ὑπὲρ νόμον ὡς νομοθέτης ἐργά-

Cod. p. 93. b.

ζεται· καὶ τὴν ἐλευθερίαν αὐτὸς παρέχων τοῦ πνεύματος, τὴν δουλείαν ὅμως οὐ παραιτεῖται τοῦ γράμματος· οὐκ ἀθετεῖ Μωϋσέα, ἵνα κατὰ καιρὸν μάρτυς ἀξιόπιστος γένηται.

Καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν, κατὰ τὸν νόμον Μωϋσέως· αὐτῶν τίνων; Ἰωσὴφ μὲν γὰρ οὔτε πατὴρ ἦν, οὔτε ὑπεύθυνος καθαρσίων, ἀλλ' οὔτε Μαρία, οὔτε τὸ βρέφος τῶν καθαρσίων ἐδέοντο· λέγεται γὰρ οὕτως· γυνὴ τίς ἐὰν σπερματισθῇ καὶ τέκῃ ἄρσεν, ἑπτὰ ἡμέρας ἀκάθαρτος ἔσται· ἀλλ' ἡ Μαρία οὐκ ἐσπερματίσθη, οὐκοῦν καθαρσίων οὐκ ἐδέετο· γυνὴ ἥ τις ἐὰν σπερματισθῇ καὶ τέκῃ ἄρσεν, ἑπτὰ ἡμέρας ἀκάθαρτος ἔσαι· διὰ τί; ἐπειδὴ Ἀδὰμ δεύτερον εἰς τὸν βίον ἤγαγεν· ἐὰν δὲ τέκῃ θήλυ, δὶς ἑπτὰ ἀκάθαρτος ἔσται· τίνος χάριν ἐνταῦθα τὰς ἡμέρας διπλασίονας ἔταξεν; ἐπειδὴ Εὔα πάλιν ἀπὸ τῆς Εὔας τίκτεται, τὸ σαθρὸν σκεῦος, τὸ ἀσθενὲς ἀγγεῖον, τὸ συντετριμμένον κεράμιον, ἡ χειραγωγὸς τῆς παρακοῆς, ἡ τοῦ δράκοντος σύμβουλος· ἀλλ' ὥσπερ ἤκουσας γυναικὸς τὰ ἐγκλήματα, δεῦρο καὶ τὸ ἐξ αὐτῆς κατόρθωμα μάνθανε· γυνὴ παρθενείαν τῷ βίῳ εἰσήγαγεν, ἐχώρησεν ἐν τῇ γαστρὶ τὸν Θεὸν ὃν ἡ κτίσις χωρῆσαι οὐ δύναται· ἔτεκεν ἐν σαρκὶ τοῦτον, ὅς τις ἡμῶν τὸ γένος ἀνέπλασεν· πρώτη τὸν Ἰησοῦν ἐκ νεκρῶν ὑπεδέξατο, πρώτη τοῦ κηρύγματος τῆς ἀναστάσεως ἤρξατο· πρώτη τὴν χαρὰν τοῖς μαθηταῖς ἐμήνυσεν· γυνὴ ἥ τις φησὶν σπερματισθῇ· ἡ Θεοτόκος δὲ γυνὴ μὲν ἦν, τὰ γυναικῶν δὲ οὐ πέπονθεν· σπέρμα γὰρ ἀνδρὸς ἡ γαστὴρ οὐκ ἐδέξατο, οὐκ εἶδεν ἄροτρον ὁ τῆς Μαρίας ἀγρὸς, ὁ παρθενικὸς ἀμπελὼν οὐχ ὑπέμεινεν δίκελλαν, ὥστε οὐχ ὑπὲρ αὐτῆς ἡ προσφορὰ, ὑπὲρ ὅλου τοῦ γένους ἐγένετο· ἡμῶν

γὰρ ἕνεκα περιτέμνεται Χριστὸς, ὑσὲρ ἡμῶν καὶ βαπτίζεται, ἐφ' ἡμῖν τελεῖται τὰ τοῦ νόμου καθάρσια· ἐὰν δακρύσῃ, τὴν φύσιν ἐκπλύνει· ἐὰν ῥαπισθῇ, τὴν ἡμετέραν αἰχμαλωσίαν ἐλευθερεῖ· ἐὰν βαστάσει τὸν σταῦρον, ἡμᾶς κουφίζει, τοῦ ζυγοῦ τῆς ἁμαρτίας· ἐὰν ἐμπτυσθῇ, τὸν Ἀδὰμ ἀπαλλάττει τοῦ τῆς κατάρας ἐμπτύσματος.

Ὅτε ἐπλήσθησαν φησὶν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν, ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα, καθὼς γέγραπται ἐν νόμῳ κυρίου, ὅτι πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ κυρίῳ κληθήσεται· ταῦτα ὁ νόμος ἔχει· ὁ Χριστὸς δὲ, καθὰ ἔφημεν, ὡς νομοθέτης τὸν ἑαυτοῦ νόμον ὑπὲρ νόμον ἐπλήρωσεν· οὐδὲ γὰρ ἤνοιξεν, ἀλλὰ κεκλεισμένην τὴν πύλην τῆς παρθένου κατέλειπεν· οὐκ ἐσύλησεν τὴν σφραγίδα τῆς φύσεως· οὐκ ἐζημίωσεν τὴν τεκοῦσαν, ἀκέραιον γὰρ αὐτῇ τὸ σχῆμα τῆς παρθενείας κατέλειπεν· εἰ δὲ ἀπιστεῖς, παρὰ τοῦ Ἰεζεκιὴλ μάνθανε· καὶ ἀπέστρεψέν με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν ἁγίων τῆς ἐξωτέρας τῆς βλεπούσης κατὰ ἀνατολὰς, καὶ αὕτη ἦν κεκλεισμένη· καὶ εἶπεν κύριος πρός με· ἡ πύλη αὕτη κεκλεισμένη ἔσαι, οὐκ ἀνοιχθήσεται καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς· ὅτι κύριος ὁ θεὸς τοῦ Ἰσραὴλ καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ ἔσται κεκλεισμένη· πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ κυρίῳ κληθήσεται· οὗτος δὲ οὐ μόνον ἅγιος, ὅσον τοίνυν ὑπερέχει τῷ ἁγιασμῷ, τοσοῦτον καὶ τῷ τόκῳ πλεονεκτεῖ, καὶ τοῦ νόμου τὴν ἐντολὴν ἀναβέβηκεν· ὠλὴν δὲ ὅμως τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν νόμῳ κυρίου, ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν· ἀτελεῖ τὸν νόμον ὁ Λουκᾶς; οὐκ ἀγνοίᾳ κρατηθεὶς, σοφίᾳ δὲ ὁδηγηθεὶς, ἐξέθετο· ὁ μὲν νόμος ἔλεγεν ἀμνὸν καὶ νεοσσὸν· οὐκ εὐπορούντος δὲ

τοῦ προσφέροντος, ζεῦγος τρυγόνων ἢ δύο νεοσσοὺς περιστερῶν, καὶ σεμίδαλιν προσέταττεν· ὁ Λουκᾶς δὲ τὴν τοῦ πλουτοῦντος ἀφῆκεν προσφοράν, πτωχοῦ γὰρ ἐμνημόνευσεν τοῦ δι' ἡμᾶς ἑκουσίως πτωχεύσαντος· οὐκ ἦν αὐτῷ, φησὶν, κατάλυμα, πόθεν ἀμνὸν ἐκέκτητο; ἐπὶ φάτνης σπαργανωθεὶς, πόθεν προσέφερε πρόβατον; μᾶλλον δὲ οὐκ ἔχρῃζεν ἀμνοῦ, αὐτὸς γὰρ ἦν ὁ ἀμνὸς τοῦ θεοῦ, τὸ ἀληθινὸν πρόβατον· αὐτὸς ἑαυτὸν ὑπὲρ τοῦ κόσμου ἔθυεν· διὰ τοῦτο τί μὲν ὁ νόμος προσέταττεν ἐξηγόρευσεν, τί δὲ ὁ Χριστὸς οἰκονομεῖ ἐσήμανε.

Εἶτα ἑξῆς· καὶ ἰδοὺ ἄνθρωπος φησὶν ἐν Ἱερουσαλὴμ, ᾧ ὄνομα Συμεὼν, καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβὴς, προσδεχόμενος παράκλησιν τῷ Ἰσραὴλ· καὶ πνεῦμα ἅγιον ἦν ἐπ' αὐτῷ, καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου μὴ ἰδεῖν θάνατον, πρὶν ἂν ἴδῃ τὸν Χριστὸν κυρίου· πολὺς ὁ τοῦ Συμεὼν πλοῦτος, ποικίλα τοῦ στρατηγοῦ τὰ ὅπλα· γέμει καρπῶν τὸ φυτὸν, γέμει βοτρύων ἡ ἄμπελος· οὐ μόνον ἦν ἄνθρωπος, ἀλλὰ καὶ Συμεὼν ὠνομάζετο· πρὸς τούτοις δίκαιος, ἀλλὰ καὶ εὐλαβὴς, ἀλλὰ καὶ παράκλησιν ἐζήτει τῷ Ἰσραὴλ, ἀλλὰ καὶ πνεῦμα ἅγιον ἦν ἐπ' αὐτῷ, ἀλλὰ καὶ χρηματισθεὶς ὑπῆρχεν μὴ ἰδεῖν θάνατον, πρὶν ἂν ἴδῃ τὸν Χριστὸν κυρίου· ἰδοὺ ἄνθρωπος, ποῦ; ἐν Ἱερουσαλὴμ· ἔκπληξιν ἡ λέξις ἔχει, γέμει τὸ ῥῆμα θαύματος· ἐν Ἱερουσαλὴμ ἄνθρωπος περὶ ἧς Σοφονίας ὁ προφήτης τὸν θεὸν αὐτὸν εἰσήγαγεν λέγοντα, ἐξερευνήσω τὴν Ἱερουσαλὴμ μετὰ λύχνου, καὶ οὐ μὴ εὕρω· καὶ λύχνου χρῄζει τὸ φῶς; οὔ φησιν· ἀλλὰ λύχνον καλεῖ τὸν νόμον· καὶ ἰδοὺ ἄνθρωπος ἐν Ἱερουσαλὴμ ᾧ ὄνομα Συμεών· καὶ τίς ἡ ἑρμηνεία τοῦ θηλωθέντος ὀνόματος;

ἀκοὴ Θεοῦ· ὥςε πρέπουσαν τῇ πολιτείᾳ τὴν προσηγορίαν, ἐκ τῆς τοῦ πνεύματος οἰκονομίας ἐκτήσατο· ὅπου γὰρ ἀκοὴ Θεοῦ, ἐκεῖ πάντως ὑπακοὴ νόμου, τήρησις ἐντολῶν, ἀγαθοῦ βίου δρόμος, σκοπὸς σωτηρίας εἰς τέλος προερχόμενος· ἐν οἷς ὁ ἀληθινὸς χαρακτηρίζεται ἄνθρωπος, περὶ οὗ ταῦτὰ κατὰ λόγον ἐπήγαγεν.

Καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβὴς προσδεχόμενος παράκλησιν τοῦ Ἰσραὴλ· τοῦτο δίκαιος σκοπὸς, μὴ ζητεῖν τὸ ἑαυτοῦ, ἀλλὰ τὸ τοῦ ἑτέρου καὶ τῶν πολλῶν· τῆς κοινῆς σωτηρίας, μὴ τῆς ἰδίας ἀπολαύσεως γίνεσθαι· καὶ πνεῦμα, φησὶν, ἅγιον ἦν ἐπ' αὐτῷ· ὄχημα ὑπῆρχεν δεσποτικὸν ὁ Συμεὼν, θρόνος Θεοῦ, καὶ διὰ τοῦτο μετὰ χεῖρας τὸν βασιλέα τῶν αἰώνων ἐδέξατο· καὶ ἦν αὐτῷ κεχρηματισμένον μὴ ἰδεῖν θάνατον, πρὶν ἂν ἴδῃ τὸν Χριστὸν κυρίου· οὐκοῦν ὁ χρηματισμὸς, ἀπὸ ζωῆς εἰς ζωὴν μεταβῆναι, ἀπὸ φωτὸς ὁδεῦσαι πρὸς φῶς, ἀπὸ ἡμέρας εἰς ἡμέραν μεταπηδῆσαι· μὴ παλαιωθῆναι ἀλλὰ ἀνακαινισθῆναι, ἐν τῷ καιρῷ τῆς συντελείας τὴν ἀνανέωσιν δέξασθαι· οὗτος ἦλθεν ἐν τῷ πνεύματι εἰς τὸ ἱερὸν· ἡ πηγὴ τὸν διψῶντα πρὸς τὴν πηγὴν ἀπήγαγεν· καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν τοῦ ποιῆσαι αὐτῷ κατὰ τὸ ἠθισμένον περὶ αὐτοῦ, καὶ αὐτὸς ἐδέξατο αὐτὸν ἐν ταῖς ἀγκάλαις αὐτοῦ· ἔφερεν ἐν ταῖς χερσὶν τὸν ἐν τῇ χειρὶ τὴν οἰκουμένην καὶ τὴν ἀοίκητον ἔχοντα, τὸν μετρήσαντα τῇ χειρὶ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακὶ· καὶ πῶς ὁ Συμεὼν θυσίαν τὴν αὐτῷ μὴ προσήκουσαν ἀνήνεγκεν; οὐδὲ γὰρ ἦν ἱερεὺς, οὐ γὰρ τοῦτο εἴρηται· οὐδὲ λευίτης, οὐδὲ νεωκόρος· ἐπειδὴ μόνῃ τῇ φυλῇ τοῦ Λευὶ τὸ λειτουργικὸν κεκλήρωται· οὐκ ἦν ἱερεὺς, ἦν

δὴ δίκαιος· ἡ δικαιοσύνη δὲ τὴν ἱεροσύνην ὑπὸ τοὺς πόδας κέκτηται· οὐκ ἦν λευίτης, ἀλλ' εὐλαβής· ὁ δέ γε εὐλαβὴς ἀφ' ἑαυτοῦ τὸ χρίσμα ἔχει.

Καὶ βαστάζων τὸ βρέφος ἔφη, νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ· νῦν ἀπολύεις, ἦλθεν γὰρ ὁ καιρὸς τῆς ἀφέσεως· ἀπήντησεν τῶν αἰχμαλώτων ἡ λύτρωσις, τῶν χρεῶν ἡ συγχώρησις· ἐγεννήθη βασιλεὺς, τοὺς ἐν φυλακαῖς ἐλευθερῶν, τοὺς ἐν δεσμοῖς ἀπαλλάττων, τοὺς ἐν θανάτῳ εἰς ζωὴν ἀνακαλούμενος, κουφίζων τὸν φόρτον τῆς γῆς· νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα· πῶς εἶδας; ὁρῶ τὸν δεσπότην, φησὶν, σχῆμα δούλου περικείμενον· οὐκ ἂν δεσπότης ὢν, δούλου μορφὴν ἐφόρεσεν, εἰ μὴ τὸν δοῦλον ἐνδύσαι τοῦ δεσπότου τὴν μορφὴν ἐλογίσατο· οὐκ ἂν τὴν τάξιν ἐνήλλαξεν, οὐδ' εὖ ψιλὸς ὢν ἐταπεινώθη, εἰ μὴ τὸ ταπεινὸν εἰς ὕψος ἀναγαγεῖν ἠβουλήθη· ἀλλὰ πῶς αὐτὸν ἀπολύεις; κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ· εἰ γὰρ ῥήματι τὴν κτίσιν παρήγαγες, ῥήματι πάντως ἐλευθερῶν τὸν τῆς κτίσεως ἄρχοντα· ἐν εἰρήνῃ· ποίᾳ; τῇ τοῦ σαυροῦ· ἐκείνη γὰρ ἡ μάχαιρα, τοῦ τυράννου τὴν κεφαλὴν ἀπέτεμεν, καὶ εἰρήνην τοῖς μετὰ Χριστοῦ στρατευομένοις ἔδωκεν· ὅτι ἴδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου ὃ ἡτοίμασας· ἴδον ἃ πολλοὶ ἐπεθύμησαν ἰδεῖν, καὶ οὐκ ἴδον, θεὸν ἐν σαρκὶ, ἥλιον ἐν νεφέλῃ φωτίζοντα· ἴδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου· τοῦτ' ἔστιν ἴδον σου τὴν ἐνσάρκωσιν δι' ἧς τὴν σωτηρίαν τῶν ἀνθρώπων ᾠκονόμησας· οὐ γὰρ ἴδον γυμνὴν θεότητα, ἐπειδὴ τὸν θεὸν καθὼς ἐστὶν οὐσία οὐδεὶς ἀνθρώπων ὄψεται· ὅτι ἴδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ

δόξαν λαοῦ σου Ἰσραὴλ· κοινὰ τοῖς ἰουδαίοις καὶ τοῖς ἔθνεσιν τὰ ἀγαθὰ καὶ ἀμέριστα· μὴ τοίνυν φθονείτω ὁ ἰουδαῖος, μήτε στενοχωρείσθω ὁ φαρισαῖος, μήτε πειραζέτω ὁ γραμματεὺς· μὴ εὐλαβεῖσθω περὶ τῆς αὐτοῦ βασιλείας ὁ Ἡρῴδης· μὴ δειλιάτω περὶ τῆς ἱερωσύνης Ἄννας καὶ Καϊάφας· ὁ ἐλθὼν πάσι δίδωσι, παρ' οὐδενὸς λαμβάνει· ἀφθόνως φιλοτιμεῖται, χωρὶς μέτρου χαρίζεται.

Ἀλλὰ Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ ἀκούσαντες τὰ παρὰ τοῦ Συμεῶνος λαληθέντα, ἐθαύμασαν πῶς ὁ Χριστὸς ἀνέχεται υἱὸς ἄνθρωπου γένεσθαι· ἐθαύμασεν ἡ Μαρία πῶς γαστὴρ γυναικὸς ἐχώρησε θεὸν, πῶς ἡ δούλη τὸν ἐλευθεροῦντα τὴν κτίσιν ἐγέννησεν· καὶ φησὶν, οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ καὶ εἰς σημεῖον ἀντιλεγόμενον· εἰς πτῶσιν τῶν ἐπιμενόντων τῇ ἀπιστίᾳ, εἰς ἀνάστασιν τῶν ἐξ ἀπιστίας εἰς πίστιν μετατιθεμένων· λίθος ἦν ὁ Χριστὸς εἰς οἰκοδομὴν κείμενος, ἀλλὰ προσέκοπτον οἱ τυφλοὶ τοὺς ὀφθαλμοὺς ῥεμβόμενοι· οὐ τοίνυν αὐτῷ τὴν πτῶσιν τῶν πεπτωκότων, ἀλλὰ τὴν ἀνάστασιν λογίζεσθαι χρὴ· εἰ μὲν γὰρ ἔπιπτεν μόνον, οὐχὶ δὲ καὶ ἀνίσαντο, δικαίως αὐτῶν τῆς πίστεως ὑποπτεύεις αἴτιον· εἰ δὲ τῶν ἐκ ῥᾳθυμίας πιπτόντων οἱ βουληθέντες ἀνίστανται, τὸ πτῶμα τοῦ ῥᾳθυμοῦντος γίνεται, τοῦ Χριστοῦ ἡ ἀνάστασις· οὐκ ἔπεσον Ἰούδας ἅμα καὶ Πέτρος; ὁ μὲν ὡς εἰπὼν, τί μοι θέλετε δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτὸν· ὁ δὲ ὡς εἰπὼν, τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω· ἐχρὴν γὰρ αὐτὸν εἰδέναι ὅτι θνητὸς τὴν ψυχὴν ὑπὲρ ἀθανασίας οὐ δίδωσι· καὶ πάλιν ἐὰν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι· ἐξὸν εἰπεῖν, ἐάν με ἰσχύσῃς, οὐ μή σε ἀπαρνήσομαι· ἐὰν ἀσφαλήσῃ με, ὁ ἀσθενὴς οὐ δέδυ-

κα τὸ ναυάγιον· ἐὰν τῷ πολέμῳ κοινωνῇς, οὐκ εὐλαβεῖμαι θάνατον· ἀλλὰ τὸ μὲν γλώττης ὑπῆρχεν, τὸ δὲ καρδίας ἁμάρτημα· διὰ τοῦτο μὲν Πέτρος πεσὼν ἀνέστη, καὶ χειραγωγὸς ἑτέρων πεπτωκότων ἐγένετο· ὁ δὲ ἀπὸ βάθους πρὸς βόθρον ὁδηγηθεὶς, ἔρριψεν τὸ ἀργύριον, καὶ τὸ σχοινίον λαβὼν ἀπήγξατο.

Σημεῖον ἀντιλεγόμενον ὁ σταυρὸς· τῶν γὰρ ἰουδαίων σαυρούντων, ἀνεχώρει ὁ ἥλιος· καὶ συναγωγὴ ἐσυκοφάντει, καὶ ἡ γῆ ἐσαλεύετο· ὁ λαὸς ἐβόα σαύρωσον αὐτὸν, ἀλλ' αἱ πέτραι μὴ φέρουσαι τὸν ὄγκον τῆς βλασφημίας ἐρρήγνυντο· οἱ πρεσβύτεροι καὶ οἱ γραμματεῖς ἔλεγον· ἐμνήσθημεν ὅτι ὁ πλάνος ἐκεῖνος εἶπεν ἔτι ζῶν, μετὰ τρεῖς ἡμέρας ἐγείρομαι· ὁ δὲ ἑκατόνταρχος ἐβόα, ἀληθῶς θεοῦ υἱὸς ἦν οὗτος· ἀλλὰ καὶ μέχρι νῦν ὁ λόγος ὁ τοῦ σαυρεῖ ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσιν δὲ μωρία, ἡμῖν δὲ τοῖς κλητοῖς Χριστοῦ, θεοῦ δύναμις καὶ θεοῦ σοφία· καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία, ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοὶ· ῥομφαία ἡ διχόνοια λέγεται, ἐπειδὴ καθάπερ ἡ ῥομφαία σχίζει καὶ μερίζει τὰ σώματα, οὕτως καὶ τὰς ψυχὰς πρὸς ἀμφιβολὴν ἡ διχόνοια· εἰ γὰρ καὶ παρθένος ἦν, ἀλλὰ γυνὴ· εἰ καὶ θεοτόκος, ἀλλ' ἐκ τοῦ ἡμετέρου φυράματος· ῥομφαῖα τοίνυν αὐτῆς τὴν ψυχὴν διέβαινεν, ὅπως ἀποκαλυφθῶσιν, ἐκ πολλῶν καρδιῶν διαλογισμοὶ, οἱ περὶ τοῦ Χριστοῦ κατὰ τὸν καιρὸν τοῦ πάθους διάφοροι, ποτὲ μὲν αὐτὸν προφήτην, ποτὲ δὲ λυτρωτὴν τοῦ Ἰσραὴλ οὐχ' ὑπογράφοντες, πολλὴν καὶ ἐπὶ τούτοις ἀμφιβολίαν διὰ τὸν σάλον τὸν ἐκ τοῦ πάθους ὑπομένοντες· ὥστε τοὺς περὶ Κλεόπαν μαθητὰς περιόντας, καὶ πρὸς αὐτὸν λέγειν· σὺ μόνος παροικεῖς ἐν Ἱερουσαλὴμ, καὶ οὐκ ἔγνως

τὰ γενόμενα ἐν ταῖς ἡμέραις ταύταις; εἶτα ἐρωτηθέντες, ποῖα; ἐπήγαγον, τὰ περὶ Ἰησοῦ τοῦ ναζωραίου, ὃς ἐγένετο ἀνὴρ προφήτης, καὶ τὰ ἑξῆς· συκοῦν ὡς περὶ προφήτου μὲν εἶχον καὶ λυτρουμένου τὸν Ἰσραήλ· διὰ δὲ τὸ πάθος καὶ ταύτην ἐμβάλλειν περὶ αὐτοῦ τὴν ὑπόληψιν, ὅτι λυτροῦται τὸν Ἰσραὴλ ἐκινδύνευον· τοῦτο δὲ οὐ μάτην ἐγίνετο, ἀλλ' ὥστε δεῖξαι ὅτι τὸ μωρὸν τοῦ θεοῦ, σοφώτερον τῶν ἀνθρώπων ἐστίν· τὸ γὰρ τοῦ σταυροῦ πάθος, οἱ πάντες ἐσινιάνθησαν καὶ ἐσαλεύθησαν, οὐ μόνον οἱ ἁπλῶς μαθηταὶ, ἀλλὰ καὶ οἱ ἐκλεκτοὶ καὶ ἡ μήτηρ αὐτοῦ· τοῦτο πᾶσαν τὴν οἰκουμένην ἐστήριξεν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· δι' οὗ καὶ μεθ' οὗ· τῷ πατρὶ ἡ δόξα, σὺν ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων· ἀμήν.

ΤΙΜΟΘΕΟΥ

ΠΡΕΣΒΥΤΕΡΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΣΥΜΕΩΝΑ, ΚΑΙ ΕΙΣ ΤΗΝ ΠΕΡΙΟΧΗΝ ΤΟΥ ΕΥΑΓΓΕΛΙΟΥ ΝΥΝ ΑΠΟΛΥΕΙΣ ΤΟΝ ΔΟΥΛΟΝ ΣΟΥ, ΚΑΙ ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΜΑΡΙΑΝ ΤΗΝ ΘΕΟΤΟΚΟΝ.

Μόνος ἐν ἀνθρώποις τέλειος ἄνθρωπος, ὁ τῆς δικαιοσύνης περὶ πολλοὺς τιθέμενος κτῆμα· ἀεὶ φῶς ἦν τοῖς δίκαιοπραγοῦσιν, τὸ τῆς δικαιοσύνης κτῆμα· κατὰ τὸ φάσκειν θεῖον ῥητὸν, φῶς δικαίοις διὰ παντὸς· ποῖον φῶς; οὐ τὸ Cod. p. 72. a.

νυκτὶ διαδεχόμενον, καὶ ἡλιακαῖς ἀκτίσιν διπλάσιον εὑρισκόμενον, καὶ τῷ παρόντι αἰῶνι ὡς πρόσκαιρον εὑρισκόμενον· φῶς δικαίοις διὰ παντὸς· πῶς ἆρα φῶς; τὸ ἐπέκεινα τῶν οὐρανῶν αὐλιζόμενον, καὶ τῷ δεσποτικῷ θρόνῳ παριστάμενον, ὅπερ ὁ δίκαιος Ἀβραὰμ ἐννοήσας, τοὺς ἑαυτοῦ προσδέχεται· τοὺς δὲ μὴ τοιούτους τῷ ἀφεγγεῖ τῆς καταδίκης παραπέμπει χωρίῳ· διὰ τοῦτο κέκραγεν ὁ κράζων· φῶς δικαίοις διὰ παντὸς, ὄνομα δὲ ἀσεβῶν σβέννυται· οὐδὲν τοῦ δικαίου ἀεὶ ζωότερον, ἐν λογικοῖς ἔμψυχον ἄγαλμα κατὰ τὸ φάσκον θεῖον ῥητόν· δίκαιοι εἰς τὸν αἰῶνα ζῶσιν, καὶ ἐν κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ ἐλπὶς αὐτῶν παρὰ τῷ ὑψίστῳ· οὐδὲν τοῦ δικαίου γλυκύτερον, φοίνικι παραβαλλομένου, κατὰ τὴν λέγουσαν γραφὴν, δίκαιος ὡς φοῖνιξ ἀνθήσει, διὰ τὸ ἀεὶ γλυκὺ τῆς πίστεως· καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται, διὰ τὸ ἀεὶ σεπτὸν τῆς θεογνωσίας· οὐδὲν τοῦ δικαίου ἐν πειρασμοῖς θεοπροστάτευτον, κατὰ τὸ φάσκον θεῖον ῥητόν· πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ κύριος· δίκαιος ἐν ἀσεβεῖ γενεᾷ κρατούμενος, σὺν αὐτῷ τῷ σώματι μετάρσιος γίνεται, ἐν ἀξιαγάστῳ διαίτῃ κατοικιζόμενος.

Καὶ μαρτυρεῖ μου τῷ λόγῳ ὁ δίκαιος Ἐνὼχ· δίκαιος ἐν παντεξαλείπτῳ κόσμῳ κατακλυσμοῦ, ναυαγίου ξένως θεοκατόχῳ πηδαλίῳ διακυβερνώμενος, καὶ μαρτυρεῖ μου τῷ λόγῳ ὁ δίκαιος Νῶε· δίκαιος θεοβρόχῳ κατακλυσμῷ πυριφλόγιστος ἐν ἀνειμένῃ πόλει ὑπὸ ἀγγέλων ὁδηγῶν διασώζεται, καὶ μαρτυρεῖ μου τῷ λόγῳ ὁ δίκαιος Λὼτ· δίκαιος ἐν σκάμματι διαβολικῆς μανίας ἀήττητος ἀθλητὴς, καὶ μαρτυρεῖ μου τῷ λόγῳ ὁ δίκαιος Ἰωσὴφ· δίκαιος ἐν ἀδελφικῇ διαπράσει βασιλικὸν σκῆπτρον ἡμφιεσμένος, καὶ μαρτυρεῖ μου

τῷ λόγῳ ὁ δίκαιος Μωϋσῆς· δίκαιος ἐν πολεμικῇ ὢν ἐναντίον τῶν ἐχθρῶν πρὸς τὸ μηδένα τῶν ἐχθραινόντων θάνατον διαφυγεῖν, ὡς ἡλίου καὶ σελήνης παρακατέσχεν ὁρόμον, καὶ μαρτυρεῖ μου τῷ λόγῳ ὁ δίκαιος Ἰησοῦς ὁ τοῦ Ναυῆ· δίκαιος πολύθεον ἄθεον γένος ἐκκλῖναι θέλων, οὐρανοδρόμον τέτρουρον ἅρμα πρὸς ἐπίβασιν ἄσκυλτον δέχεται, πείθων τοὺς συνοραῖν ἐθέλοντας, ὡς οὐ μόνον τοῖς ἐπιγείοις, ἀλλὰ καὶ τοῖς ἐπουρανίοις, καὶ μαρτυρεῖ μου τῷ λόγῳ ὁ δίκαιος Ἠλίας· δίκαιος ἐν βραχεῖ σώματος ἡλικίᾳ γιγαντιαῖον Γελιὰθ χαλκέον ὅρος ἐν χειμαριέῳ λίθῳ κατέσρεψεν, πείθων τοὺς συνοραῖν ἐθέλοντας, ὅτι οὐ πολυσαρκία σώματος, ἀλλ' εὐτονίᾳ πίστεως τὸ νῖκος ἐργάζεται, καὶ μαρτυρεῖ μου τῷ λόγῳ ὁ δίκαιος Δαβὶδ· δίκαιος ἐν φαραωνίοις χρονικοῖς ἅρμασιν συγκλειόμενος βύθιον κόλπον ὡς χλοηφόρον ἀνατεμὼν πεδίον καὶ ὁ παθεῖν προσεδόκησεν, τὸν καταδιώκοντα πάσχοντα κατενόησεν, καὶ μαρτυρεῖ μου τῷ λόγῳ ὁ δίκαιος Μωϋσῆς.

Ὅπως δὲ ὁ χρόνος ἡμᾶς μὴ ἐπιλείψῃ, πάντων τῶν ἁγίων τὰς ἀρετὰς ἀπομνημονεύοντας, φέρε τελευταῖον δίκαιον τῷ λόγῳ κατίδωμεν· καὶ τίς ὁ τελευταῖος δίκαιος; ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ, τοὔνομα Συμεών· οὗτος πρῶτος καὶ τελευταῖος· τελευταῖος τοῦ νόμου, πρῶτος τῆς χάριτος· ἰουδαῖος τὴν θρησκείαν, χριστιανὸς τὴν εὐχαριστίαν· νομικὸς τῇ ἀναγνώσει, ἄγγελος τῇ γνώσει· Συμεὼν ὁ ὀρθίως ἡμῖν παραναγνωσθείς, ὁ ἐκ τῆς φαρισαϊκῆς βλασφημίας, ὡς ῥᾴδον ἐξ ἀκανθῶν ἀναλεχθείς, καὶ πρῶτος τῇ εὐνοίᾳ τῆς χαριτοδοσίας γνωρισθείς· Συμεὼν ὁ ἐπὶ τοσοῦτον δικαιοσύνης ἐλάσας ὡς ἐν αὐτῷ τῷ σώματι θεῖον χρησμὸν δέξασθαι, μὴ παρελθεῖν τὴν παροῦσαν πρόσκαιρον ζωὴν, ἕως

οὗ αἰσθηταῖς ἀγκάλαις περιπτύξηται τὴν αἰώνιον ζωὴν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν· ὁ γοῦν δίκαιος Συμεών, πρὸ τῆς ἐνανθρωπήσεως ἐπιθυμήσας τὸν κύριον ἰδεῖν, ἐν τῇ ἐνανθρωπήσει καὶ ἴδεν καὶ κατενόησεν καὶ ἐνηγκαλίσατο· καὶ τῆς τοῦ σώματος φυλακῆς παρεκάλεσεν ἀνεθῆναι, δουλικῷ σχήματι πρὸς τὸν νηπιοφανῆ τῶν πάντων δεσπότην κράζων ὡς ἀρτίως ἤκουες· νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα κατὰ τὸ ῥήμα σου ἐν εἰρήνῃ, ὅτι ἴδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου· ἴδον, ἀπολυθῶ, μὴ ὧδε κρατηθῶ· ἐν εἰρήνῃ ἀπολυθῶ, μὴ ἐν ὀδύνῃ κρατηθῶ· ἴδον, ἀπολυθῶ, ἴδον τὴν δόξαν σου, ἀγγέλων χαρείαν, ἀρχαγγέλων δοξολογίαν, τὴν κτίσιν σκιρτῶσαν, τὰ ἐπουράνια καὶ τὰ ἐπίγεια μίαν διάβασιν ἐχόντα· νῦν ἀπολυθῶ, μὴ ὧδε κρατηθῶ· μὴ ἴδω τῶν ἐμφύλων ἰουδαίων τὴν κατὰ σοῦ τόλμαν, μὴ ἴδω σέφανον ἀκάνθινον πλεκόμενον, μὴ ἴδω δοῦλόν σε ῥαπίζοντα, μὴ ἴδω λόγχην προσαγομένην σοι· μὴ ἴδω ἥλιον σκοτιζόμενον· νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα κατὰ τὸ ῥήμα σου ἐν εἰρήνῃ, ὅτι ἴδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν.

Τί οὖν ὁ εὐαγγελιστής; ἤκουες αὐτοῦ ἀρτίως λέγοντος· ἦν ἄνθρωπος ἐν Ἱερουσαλὴμ ᾧ ὄνομα Συμεών· καὶ ἦν ὁ ἄνθρωπος οὗτος δίκαιος, παράκλησιν ἔχων ἐν Ἰσραήλ, καὶ πνεῦμα ἅγιον ἦν ἐπ' αὐτῷ, καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου, μὴ ἰδεῖν θάνατον, πρὶν ἂν ἴδῃ τὸν Χριστὸν κυρίου· καὶ ἦλθεν ἐν τῷ πνεύματι εἰς τὸ ἱερόν· τί ἐστιν καὶ ἦλθεν ἐν τῷ πνεύματι εἰς τὸ ἱερόν; ἄκουε συνετῶς· τοῦ Συμεὼν οἰκάδε καθεζομένου, καὶ καθ' ἑαυτὸν προσευχομένου τὸν χρησμὸν εἰς ἔκβασιν ἐλθεῖν,

μένον διενοήθη ὁ Ἰωσὴφ καὶ ἡ παρθένος εἰσαγαγεῖν τὸ παιδίον Ἰησοῦν εἰς τὸ ἱερὸν, τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ ἠθισμένον τοῦ νόμου περὶ αὐτοῦ· εὐθέως τὸ ἅγιον πνεῦμα τὸν χρησμὸν παρέσχηκε, καὶ διήγειρεν τὸν Συμεῶνα λέγων· ἐξεγείρου πρεσβύτα, τί καθεύδεις; ἔφθασεν ὁ χρησμὸς, βάδιζε θᾶττον· ἦλθεν ὁ ἀπολύων σε, τίνασσαι τὰ κενοτάφια, εὐτρέπιζε τὸν τάφον, διάθου τὰ ἐν τῷ οἴκῳ· ἔφθασεν ὁ ἀπολύων σε, ἦλθεν ὁ Ἐμμανουὴλ· ὀξέως εἰς τὸ ἱερὸν διάβηθι, ἐν τῷ ἱερῷ τὰ ἱερὰ περὶ τοῦ ἱεροῦ τόκου προφήτευσον· ἔνθεν ὁ Συμεὼν ἀνακαινισθεὶς τῷ ὀξυτάτῳ τῆς ἐπιθυμίας πτερῷ, ὡς ὑπὸ τοῦ πνεύματος κινφιζόμενος, προέλαβεν τὸν Ἰωσὴφ καὶ τὴν παρθένον εἰς τὸ ἱερὸν· τὸ δὲ βασταζόμενον παιδίον οὐ προέλαβεν· πῶς γὰρ εἶχεν προλαβεῖν, ἢ ποῦ εἶχεν προλαβεῖν τὸν πανταχοῦ παρόντα; τὸν Ἰωσὴφ καὶ τὴν παρθένον προέλαβεν ὁ Συμεὼν εἰς τὸ ἱερὸν, καὶ προλαβὼν ἔστη ὡλησίον τῶν θυρῶν περιμένων τὴν ἀποκάλυψιν τοῦ ἁγίου πνεύματος.

Ἐν δὲ τῷ ἱερῷ ὁ Συμεὼν καταστὰς ἑώρα μὲν πολλὰς μητέρας μετὰ τῶν ἰδίων νηπίων εἰσιούσας εἰς τὸ ἱερὸν τὴν θυσίαν τῶν καθαρσίων ἐκτελέσαι, μεθ' ὧν ἀνὰ μέσον ἦν καὶ ἡ τὸν ἀκοινώνητον τόκον βαστάζουσα· ὁ δὲ Συμεὼν ὧδε κἀκεῖσε τὰς ὄψεις περιφέρων, ὡς ἑώρα πολλὰς μητέρας ἐν τῷ ἰδιωτικῷ τῆς ἀνθρωπότητος σχήματι, μόνην δὲ τὴν παρθένον ἀπείρῳ θεϊκῷ περιτειχισθείσαν, καταθραμὼν ὁ Συμεὼν, ἐχώρησεν τὰς λοιπὰς μητέρας κράζων ἐπὶ πάντων· δότε μοι τόπον, κατάσχω τὸν ποθούμενον, ἴδω τὸν προειδόντα με· τί παιδίσκαι τυγχάνουσαι τῇ ἐλευθέρᾳ συναμιλλᾶσθε; τί τὰ παιδία ὑμῶν τῷ θυσιαστηρίῳ προσφέρετε; ὧδε ἀποστράφητε· προσενέγκατε τῷ παιδίῳ τῷ ἀρχαιστέρῳ

τοῦ Ἀβραὰμ· ἐν τούτοις ὁ Συμεὼν τὸν νηπιοφανῆ κύριον ἐν ταῖς ἑαυτοῦ ἀγκάλαις κατέχων, τὸν μὲν Ἰωσὴφ εὐλόγησεν, τὴν δὲ προφητείαν εἰς τὸν κύριον μετερύθμισεν, λέγων πρὸς τὴν παρθένον· τί βλέπεις τὸ παιδίον τοῦτο παρθένε, τὸ σὸν καὶ μὴ σόν; μεμένηκας γὰρ ὡς ἦς τὸ πρότερον· τί μαζὸν αὐτῷ συχνῶς προσάγεις, εὐθαλέστερον ἔχειν ἐθέλουσα τέκνον; οὐ δέεται τροφῆς αὐτὸς τοῦ μάννα ὢν χορηγός; τί ἀπαλαῖς παλάμαις κατασείεις, τὸ νήπιον πρὸς ὕπνον κατευνάσαι θέλουσα; οὐ νυστάζει, οὐ καθεύδει, κατὰ τὸ κρυπτόμενον τῆς θεότητος χωρίον· περὶ αὐτοῦ γάρ φησιν ὁ προφήτης· οὐ νυστάζει, οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ· τί βλέπεις τὸ παιδίον τοῦτο, παρθένε; τῇ κρυπτομένῃ τῆς θεότητος δυνάμει οὐρανὸν ὡσεὶ δέρριν ἐξέτεινεν, γῆν δὲ ὑπ' οὐθενὸς ἐκρέμασεν, ὕδωρ ὑπόβαθρον τῷ κόσμῳ ἐθεμελίωσεν· τοῦτο τὸ παιδίον διάφορε παρθένε ἥλιον ἰσχεῖ, σελήνην ζευγελατεῖ, ἀνέμων θησαυροδότης, πάντων τῶν ὄντων δεσπότης τὸ παιδίον τοῦτο παρθένε· σὺ δὲ τοσουτοδύναμον ἀκούσασα τὸ παιδίον τοῦτο, μὴ βιωτικὴν ἀλλὰ πνευματικὴν εὐφροσύνην προσδέχου· ἰδοὺ γὰρ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον· καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία, ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί.

Ταῦτα ὁ Συμεὼν ἀρτίως πρὸς τὴν παρθένον τῇ ἀποκαλύψει τοῦ ἁγίου πνεύματος περὶ τοῦ νηπιοφανοῦς Ἰησοῦ· ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ· καὶ διὰ τί εἰς πτῶσιν; καὶ διὰ τί εἰς ἀνάστασιν; ἀληθὴς γὰρ ὁ περὶ τοῦ κυρίου λόγος· ὁ Συμεὼν γὰρ οὐ τῇ ἑαυτοῦ δυνάμει, ἀλλὰ τῇ τοῦ ἁγίου πνεύματος ἀπο-

καλύψει, πᾶν ὅ τι οὖν ἀπηγόρευσεν περὶ τοῦ κυρίου πρὸς τὴν παρθένον λέγων, ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ· εἰς πτῶσιν τῶν ἀπίστων, εἰς ἀνάσασιν τῶν πιστῶν· εἰς πτῶσιν τῆς συναγωγῆς, εἰς ἀνάστασιν τῆς ἐκκλησίας· εἰς πτῶσιν τῶν δαιμόνων, εἰς ἀνάστασιν τῶν ἁγίων· ἀνίσταται ὁ Ματθίας, ἔπιπτεν ὁ Ἰούδας· εἰς ἀνάστασιν τοῦ ἐκ δεξιῶν λῃστοῦ, εἰς πτῶσιν τοῦ ἐξ εὐωνύμων· ὅτι ὁ μὲν εὐσεβεῖ, ὁ δὲ ἐβλασφήμει· εἰς πτῶσιν καὶ ἀνάσασιν πολλῶν ἐν τῷ Ἰσραὴλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον· ἀληθὴς ὁ λόγος· εἰς σημεῖον γὰρ ἀντιλεγόμενον ὁ κύριος ἡμῶν ἐγένετο κατὰ τὸν τῆς παρθένου τόκον· ἐπειδὴ μέγα σημεῖον τὸ παρθένον τεκεῖν, καὶ μεῖναι πάλιν παρθένον· ὅτι δὲ σημεῖον ἡ παρθένος, ἄκουε Ἡσαΐου ἐν τῷ καθ' ἑαυτὸν τεύχει λέγοντος πρὸς Ἄχαζ· αἴτησαι σεαυτῷ σημεῖον εἰς βάθος καὶ εἰς ὕψος· καὶ εἶπεν Ἄχαζ, οὐκ αἰτήσω, οὐδ' οὐ μὴ πειράσω· διότι δώσει ἡμῖν κύριος αὐτὸς σημεῖον· ποῖον τοῦτο; ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει.

Περὶ τούτου τοῦ παρθενογενοῦς δεσποτικοῦ σημείου τοῦ μέλλοντος ὑπὸ πολλῶν ἀντιλέγεσθαι φιλονείκῳ γλώσσῃ ὁ Συμεὼν τὸ μέλλον προεμήνυσεν πρὸς τὴν παρθένον λέγων· ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον· καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία, ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί· ἔνθεν τινὲς ἔδοξαν τὴν τοῦ κυρίου μητέρα ξίφει θανάτῳ μαρτυρικὸν ἀπενέγκασθαι τέλος, διὰ τὸ εἰπεῖν τὸν Συμεῶνα, καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία· ἔχει δὲ οὐχ οὕτως· ῥομφαία γὰρ χαλκευτικὴ σῶμα διαιρεῖ, οὐ ψυχὴν ἀγχοτομεῖ· ἐξ ὧν καὶ ἡ

παρθένος ἄχρι τῆς θεύρο ἀθάνατος, τοῦ κατοικήσαντος ἀναλη-
ψίμοις αὐτὴν χωρίοις μεταναστεύσαντος· τί οὖν βούλεται
λέγειν ὁ Συμεὼν πρὸς Θάνατον; καὶ σοῦ δὲ αὐτῆς τὴν ψυ-
χὴν διελεύσεται ῥομφαία, ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολ-
λῶν καρδιῶν διαλογισμοί· ῥομφαίαν ἐνταῦθα ψυχοδιάβατον
ὁ Συμεὼν τὴν ὀδύνην τῆς παρθένου διελάλησεν, καὶ καθ'
ἣν ἤμελλεν ὀδυνᾶσθαι, ὡς δοκοῦσα ἀπολελωκέναι τὸν ἐρ-
χόμενον ζητῆσαι τοὺς ἀπολελωμένους· ὅτι δὲ ὀδύνῃ κρατη-
θεῖσα τὸ τῆς παρθενικῆς γαστρὸς δόξασα ἀπολελωκέναι τὸν
ἑαυτῆς υἱὸν, ἤκουες ἀρτίως τοῦ εὐαγγελιστοῦ Λουκᾶ λέ-
γοντος· καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα ὁ Ἰησοῦς· τί ἐστιν
καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα ὁ Ἰησοῦς; νόημα ἐν τῷ νοή-
ματι προβαίνει, καὶ ζήτημα ζητήματι διακρούεται· καὶ ὅτε
ἐγενετο ἐτῶν δώδεκα· τίς οὗτος; ὁ Θεὸς λόγος, ὁ μονογε-
νὴς τοῦ Θεοῦ υἱὸς, ὁ προκόσμιος, ὁ πάλαι τῆς ὀπτασίας
χρονοποιητὴς, οὐ χρόνων ὑστερογενὴς· καὶ ὅτε ἐγένετο ἐτῶν
δώδεκα ὁ Ἰησοῦς· κατὰ τὴν τῆς παρθένου γέννησιν, δωδε-
καετὴς ἀριθμεῖται χρόνος· ἐκ τοῦ κατὰ μέρος γὰρ προέκο-
πτεν τῇ ἡλικίᾳ τῇ σωματικῇ· οὐχ ὑφ' ἑνὸς ἠδυνήθη, ἵνα
μὴ φαντασία ἦν ἡ ἀλήθεια τῆς οἰκονομίας· ἐν τούτῳ κατὰ
μέρος προέκοπτεν τῇ ἀνθρωπίνῃ τῆς ἐνανθρωπήσεως τὰ μέ-
τρια φυλάσσων· ἐξ ὧν ὁ εὐαγγελιστὴς περὶ αὐτοῦ λέγων,
τὸ δὲ παιδίον Ἰησοῦς προέκοπτεν ἐν πνεύματι καὶ σοφίᾳ,
καὶ χάρις· Θεοῦ ἦν ἐπ' αὐτῷ· ὁρᾷς τοῦ εὐαγγελιστοῦ τὴν
ἀπόκρισιν; οὐκ εἶπεν ὅτι ὁ Θεὸς λόγος προέκοπτεν, ἵνα μὴ
ὕλας αὐτῷ καὶ ταραχὰς παράσχῃ; ἀλλὰ προέκοπτεν κατὰ
τὴν μεσιτείαν τῆς οἰκονομίας.

Διὰ τοῦτο γὰρ καὶ ὁ εὐαγγελιστὴς λέγει· καὶ ὅτε ἐγέ-
νετο ἐτῶν δώδεκα ὁ Ἰησοῦς, ἀνήγαγον οἱ γονεῖς τὸ παιδίον

Ἰησοῦν, κατὰ τὸ ἔθος τῆς ἑορτῆς αὐτῶν εἰς τὸ ἱερὸν· καὶ πληρωσάντων αὐτῶν τὰς ἡμέρας, ἐν τῷ ὑποστρέφειν αὐτοὺς, ἀπέμεινεν τὸ παιδίον Ἰησοῦς, καὶ οὐκ ἔγνωσαν οἱ γονεῖς αὐτοῦ· νομίσαντες δὲ αὐτὸν εἶναι ἐν τῇ συνοδίᾳ, ἦλθον ἡμέρας ὁδὸν, καὶ ἀνεζήτουν αὐτὸν ἐν τοῖς συγγενέσιν αὐτοῦ καὶ ἐν τοῖς γνωστοῖς· καὶ μὴ εὑρόντες αὐτὸν, ἐπορεύθησαν εἰς Ἱερουσαλὴμ ζητοῦντες αὐτόν· ἴδε ποῦ πληροῦται τὸ τοῦ Συμεῶνος πρὸς τὴν παρθένον, καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία, ἡ τῆς ὀδύνης καὶ τῆς ζητήσεως, καθ' ἣν ἐζήτει τοὺς πλανηθέντας δῆλον καὶ τοὺς ἀπολωλότας· εἰ γὰρ καὶ παρθένος καὶ μήτηρ, ἀλλ' ὅμως ἐκυοφόρησεν καὶ ἐσπαργάνωσεν, μαστὸν αὐτῷ ἔδωκεν, καὶ φροντίσιν ἐξεθρέψατο ὡς μήτηρ πρὸς υἱὸν καὶ τέκνον, ἐξ ὧν καὶ ἔδοξεν αὐτὸν ἀπολελωκέναι, ζητοῦσα ἐν τρισὶν ἡμέραις ἐν ὀδύνῃ καρδίας ἔκραζεν λέγουσα, εἶμι τῆς συμφορᾶς, ὅτε τὴν εὐπορίαν προσεδόκησα, τότε τὴν ζημίαν κατενόησα· τίς ὁ συλήσας μου τὸ κειμήλιον; οὐκέτι εὐλογημένη ἐν γυναιξὶν ἀκούω, οὐκέτι ἐροῦσιν αἱ λέγουσαι, μακαρία ἡ κοιλία ἡ βαστάσασά σε· ἐμαράνθην ὅτι ἐξ ἐμοῦ ἐχωρίσθη· τίς ἀπεσύλησάς με; ἡ Ἐλισάβετ χαίρει, κἀγὼ συγκόπτομαι· ἐκείνη τὸν στρατιώτην ἔχει, κἀγὼ τὸν βασιλέα ἐζημίωμαι· ὁ δοῦλος φυλάττεται, καὶ ὁ δεσπότης οὐ φαίνεται· ποῦ τοῦ Γαβριὴλ ὁ ἀσπασμὸς; ποῦ τῶν μάγων ἡ προσκύνησις; ποῦ τῶν ποιμένων τὰ σκιρτήματα; ὅτε βασιλεύειν προσεδόκησα, τότε πτωχεία κατέσχεν με.

Ταύτην τὴν ὀδύνην ὡς ῥομφαίαν ὅιστομον ψυχῆς ὁ Συμεὼν τὸ μέλλον προεμήνυεν πρὸς τὴν παρθένον λέγων· καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία· οὐκ εἶπεν κρατήσει ῥομφαία, ἢ κυριεύσει ῥομφαία, τουτέστιν πρὸς ὀλί-

γον ὀδυνηθήσῃ, καὶ εὐθὺς τῆς ὀδύνης ἀπαλλαγήσῃ· ὅτι δὲ ὠδυνήθη ἡ παρθένος δόξασα ἀπολωλεκέναι τὸν ἐπὶ σωτηρίᾳ τῶν ἀπολυμένων ἐληλυθότα, ὡς ἤκουες ἀρτίως τοῦ εὐαγγελιστοῦ λέγοντος, καὶ ἐγένετο μετὰ τρεῖς ἡμέρας, ὅρα πόσην ὀδύνην ἡ παρθένος μετέσχεν· καὶ ἐγένετο μετὰ τρεῖς ἡμέρας εὗρον αὐτὸν ἐν τῷ ἱερῷ ἐν μέσῳ τῶν διδασκάλων καθήμενον καὶ ἐρωτῶντα αὐτοὺς, καὶ ἀκούοντα αὐτῶν· καὶ εἶπεν πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ, τέκνον· τί ἐποίησας ἡμῖν; καὶ γὰρ ἰδοὺ ὁ πατήρ σου καὶ ἐγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε· ἴδε πῶς ἐπληροῦτο τοῦ Συμεῶνος ἡ προφητεία πρὸς τὴν παρθένον· καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία· τέκνον τί ἐποίησας ἡμῖν οὕτως; ἰδοὺ ὁ πατήρ σου καὶ ἐγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε· διὰ τί μὴ συγκατῆλθες ἡμῖν ὡς καὶ ἀνῆλθες; τί ἐκαθέσθης ἐν μέσῳ τῶν διδασκάλων; τί ἐρωτᾷς καὶ διδάσκεις, οὔπω γράμματα μεμαθηκὼς; τί σοφιστεύεις; τί βασκανίαν κατὰ σαυτοῦ ἐγείρεις; τί ἀτεκνωθῆναί με θέλεις; ἴδε, πεπυρακτωμένοις ὀφθαλμοῖς σε περιβλέπονται· ἴδε, τοὺς ὀδόντας αὐτῶν τρίζουσιν κατὰ σοῦ, ὡς θῆρες κατὰ ἀρνίου κινούμενοι· τέκνον τί ἐποίησας ἡμῖν οὕτως; ἰδοὺ γὰρ ὁ πατήρ σου καὶ ἐγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε.

Ὁ δὲ κύριος ἀνακαλύπτων αὐτοῖς λοιπὸν τὴν κρυπτομένην τῆς θεότητος ἀξίαν ἐν τῇ πτωχικῇ τῆς ἐνανθρωπήσεως, προς αὐτοὺς ἀποκρίνεται λέγων· τί ἔτι ἐζητεῖτέ με; ποῦ δὲ καὶ ἐζητεῖτέ με; ἐν τῷ οὐρανῷ οὐκ ἀνῆλθετε· εἰς τὸ κῆτος τοῦ Ἰωνὰ οὐ κατῳκήσατε· τί ὅτι ἐζητεῖτέ με; οὐκ οἴδατε ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ εἶναί με; οὐκ ἠκούσατε τοῦ Συμεῶνος τὴν προφητείαν; οὐχὶ κύριον καὶ θεὸν ὡμολόγησεν; καὶ ὑμεῖς ὡς παιδίον ζητεῖτέ με; οὐκ

ἤδειτε ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ με εἶναι; ἕνα πατέρα κέκτημαι· ὑμᾶς ἐχρησάμην. Ἀλλ' ἐνταῦθα τὸν λόγον πληρώσαντες, τῇ μυσικῇ τραπέζῃ σχολάσωμεν, δι' ἧς κόσμος ἐστήρικται, καὶ οἰκουμένη συνέστηκεν, καὶ βασιλεία φυλάττεται, καὶ ἐκκλησία ωλῃθύνεται, ἐν Χριςῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

ΕΥΣΕΒΙΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΠΑΡΟΥΣΙΑΝ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ ΚΑΙ ΠΕΡΙ ΤΗΣ ΜΕΛΛΟΥΣΗΣ ΚΡΙΣΕΩΣ.

Μετὰ τὴν ἀνάληψιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὴν εἰς τοὺς οὐρανούς, καὶ τῶν μαθητῶν ἀτενιζόντων εἰς τὸν οὐρανὸν, ἄγγελος κυρίου ὤφθη αὐτοῖς λέγων· τί ἑστήκατε βλέποντες εἰς τὸν οὐρανόν; οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὗτος πάλιν ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν· καὶ δεῦρο ἀπαγγελῶ σοι, ἀγαπητὲ, ποταπὴ ἔσαι ἡ παρουσία ἡ δευτέρα ἡ φοβερὰ καὶ φρικτὴ, ἡ ἐλέγχουσα πᾶσαν πνοὴν· φανήσεται δὲ τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ἐφ' ᾧ ἐσταύρωσαν αὐτὸν οἱ ἰουδαῖοι, βασταζόμενον ὑπὸ ἁγίων ἀγγέλων, ἐκλάμπον ὡς ἀςραπὴ, καὶ ἔμπροσθεν αὐτοῦ Μιχαὴλ σαλπίζων καὶ ἐξυπνίζων τοὺς κοιμηθέντας ἀπὸ Ἀδὰμ ἕως τῆς συντελείας τοῦ αἰῶνος· ἀναστήσονται

γὰρ οἱ νεκροὶ ἐκ τῶν μνημείων ὡς ἐξ ὕπνου, καθὼς εἶπεν ὁ εὐλογημένος Παῦλος ὁ ἀπόστολος, ὅτι σαλπίσει, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἐγερθήσονται ἄφθαρτοι, ἐν ἀτίμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι.

Καὶ συνάγουσιν ἄγγελοι τοὺς ἀνθρώπους ἐκ τῶν περάτων τῆς οἰκουμένης ἐν τῇ κοιλάδι τοῦ κλαυθμῶνος· σεισθήσεται δὲ ἡ κοιλὰς ἐκείνη, καὶ ἀποκαλυφθήσονται τὰ κριτήρια· ποταμοὶ πυρὸς γέμοντες σκώληκας ἀκοιμήτους, ἄγγελοι πικροὶ ἀνελεήμονες· καὶ ἑκάστου τὰ ἔργα παρίστανται περὶ κύκλῳ ἐλέγχοντα τὸν ἁμαρτωλόν· ἀλλαγήσονται τότε οἱ οὐρανοὶ, καὶ ἡ γῆ καινὴ γενήσεται· καὶ ἡ δόξα αὐτῶν παρέρχεται, ὁ πλοῦτος, τὰ πάντα ἐκλείπει ὡς κονὸς, ὁπότε καὶ οἱ ἀστέρες ὡς φύλλα πεσοῦνται ἐκ τοῦ οὐρανοῦ· καὶ οὐδεὶς οὐδενὶ παρίσαται, οὐ πατὴρ τέκνῳ, οὐ μήτηρ θυγατρὶ, οὐ δοῦλος δεσπότῃ, οὐ πλοῦτος τῷ συνάξαντι αὐτὸν, οὐ χρυσὸς, οὐκ ἄργυρος, οὐχ ἱματισμὸς πολυτελὴς, οὐκ οἰκίαι χρυσόροφοι, οὐ κτήματα, ἀλλὰ γυμνὰ τὰ ἔργα ἑκάστου, εἴτε καλὰ εἴτε πονηρὰ· καὶ ἀνοίγονται οἱ οὐρανοὶ, καὶ ἰδοὺ ὁ υἱὸς τοῦ θεοῦ ἐρχόμενος ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυνάμεως πολλῆς καὶ δόξης, κατερχόμενος εἰς Ἱερουσαλὴμ Σιὼν ἀκατάλληπτος· καὶ τεθήσονται δώδεκα θρόνοι τῶν δώδεκα ἀποστόλων τῶν μαθητῶν αὐτοῦ· καὶ ἰδοὺ αὐτὸς ὡς ἀστραπὴ φαίνουσα ἀπὸ ἀνατολῶν μέχρι δυσμῶν, καὶ ἐκ τοῦ φόβου καὶ ἐκ τῆς ἀπειλῆς αὐτοῦ, οἱ οὐρανοὶ ἐλίσσονται, γῆ σεισθήσεται, πᾶσα ἡ κτίσις κλονεῖται, ποταμοὶ πυρὸς ὑποδέξαντες τοὺς ἁμαρτωλοὺς, σκώληκες κεχηνότες ὡς δράκοντες διψῶντες τὰ τῶν ἁμαρτωλῶν πιεῖν αἵματα, ἀκαταπαύστως κολάζοντες· τὸ σκότος ἐκεῖνο φέγγος οὐκ ἔχει.

Καὶ προσέχετε ἀδελφοί μου τὴν ἡμέραν ἐκείνην τὴν φοβερὰν καὶ φρικτὴν, τὴν μεγάλην καὶ ἐπιφανῆ· εἰ γὰρ ἄγγελοι οἱ μηδὲν ἡμαρτηκότες τρέμουσιν τὴν ἡμέραν ἐκείνην, ποταπὸς τρόμος λήψεται τοὺς ἁμαρτωλοὺς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῇ φοβερᾷ καὶ φρικτῇ; τότε ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων· καὶ μή τις νομίσῃ ὡς ἐν ἐκστάσει εἶναι τὴν κρίσιν ἐκείνην· πολλοὺς γὰρ οἶδα λέγοντας, ὅτι ὥσπερ ἐν ὕπνῳ ὑπάρχων κολάζεται, οὕτως φησὶν ἐστὶν ἡ κρίσις ἐκείνη· μὴ πλανᾶσθε, ὦ ἄνθρωποι· ὁ γὰρ ἐν ὕπνῳ κολαζόμενος, τὸ μὲν σῶμα καὶ ἡ ψυχὴ ἐπὶ τὴν κλίνην ἀναπαύονται· ἐπεὶ δὲ τῆς ἡμέρας ἐκείνης, οὐκ ἔστιν ἀλλαχοῦ τὸ σῶμα καὶ ἀλλαχοῦ τὸ πνεῦμα, ἀλλὰ παρίστανται τῷ κυρίῳ ὁμοῦ ἐν φοβερῷ κριτηρίῳ, ὅπου αἱ βίβλοι τῶν πράξεων ἀνεῳγμέναι, ὁ δικαστὴς ἀπροσωπόληπτος, κριτήριον ἀπαράλλακτον· ἀπὸ πολλῆς δόξης πάντας ἐπ' ὀνόματος καλέσει εἰς τὴν δίκην, πάντες γυμνοὶ παραστησόμεθα· οὐκ ἔστιν ῥητορικὴ ἕξις νικῶσα τὸ δίκαιον, οὐκ ἔστιν συνηγόρων χρεία· πάντες γὰρ τὰ ἴδια φορτία βαστάζουσιν· ἐκεῖ γήρας οὐ πιστεύεται, ὑπερηφανεία οὐ φαίνεται, εὐγένεια σωμάτων οὐ ζητεῖται, ἐκεῖ κάλλος προσώπου οὐ δυσωπεῖ τὸν κριτήν· ἐκεῖ ἀξίωμα παρθενείας μετὰ ἐλεημοσύνης καὶ τῶν λοιπῶν ἀρετῶν δυσωπεῖ τὸν κριτήν, τὸν ἐκ παρθένου τεχθέντα· ἐκεῖ μέγας καὶ μικρὸς ἴσον κρίνονται· πολλάκις εἰς τὴν δίκην ἐκείνην κατακρίνουσιν τέκνα γονεῖς· ἐὰν γάρ τις γεννήσει τέκνα, καὶ τὴν ἰσότητα ἐπ' ἀμφοτέροις μὴ φυλάξει, ἀλλὰ τὸν μὲν ἕνα πλουτήσει, τὸν δὲ ἕτερον ἀπωλέσει, ἢ τὸν ἕνα ἀγαπήσει, τὸν δὲ ἕτερον μισήσει, τότε δώσει ἀπολογίαν· πολλάκις δὲ δοῦλος πρὸς δεσπότην ἵσταται, καὶ δούλη πρὸς δεσποίνην, καὶ μαθηταὶ πρὸς διδά-

σκαλεν· πάντες γὰρ οὕτως δικάζονται ἐν τῷ φοβερῷ κριτηρίῳ, τέκνα μετὰ γονέων, γυναῖκες μετὰ παιδίων, καὶ ἑκάστου τὰ ἔργα φανερὰ γίνεται.

Διὰ τοῦτο ὁ εὐλογημένος Παῦλος ὁ ἀπόστολος, ἰδὼν τὰ πάντα τοῖς πᾶσι παρήγγειλεν λέγων· τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν ἐν κυρίῳ, οἱ γονεῖς μὴ παροργίζετε τὰ τέκνα ὑμῶν· οἱ δοῦλοι ὑπακούετε τοῖς κυρίοις ὑμῶν, καὶ οἱ δεσπόται τὴν ἰσότητα φυλάξατε ἐπὶ τοῖς δούλοις ὑμῶν, ἵνα πάντες ἀκατακρίτως παρασῶμεν τῷ φοβερῷ καὶ φριχτῷ βήματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· φρίξωμεν τὴν ἡμέραν ἐκείνην, ἐν ᾗ μέλλει χωρίζειν ὁ ποιμὴν τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων· καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων· τότε ἐρεῖ ὁ βασιλεὺς τῆς δέξης, δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνὸς, καὶ περιεβάλετέ με· ἠσθένησα, καὶ ἐπεσκέψασθε, καὶ ἤλθατε πρός με· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, ἀπολαύσατε, ἀντὶ τῶν ἐπιγείων τὰ οὐράνια, ἀντὶ τῶν φθαρτῶν τὰ ἄφθαρτα, ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια· ἱμάτιόν με περιεβάλετε, ἐγὼ δὲ περιτίθω ὑμῖν δόξαν αἰώνιον· ἄρτον μοι ἐδώκατε, ἐγὼ δὲ παραδείσου τρυφὴν ὑμῖν δωροῦμαι· ἐν ἐκκλησίαις καὶ μαρτυρίοις ἐκαρποφορήσατε, ἐγὼ δὲ ὑμᾶς τῶν ἁγίων συμμετόχους ποιήσω· ψυχροῦ ὕδατός με ἐποτίσατε, ἐγὼ δὲ εἰς παράδεισον εἰσαγάγω· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· εἶτα ὑπακούων, τί ἀναμένεις; τί ἐκδέχῃ δοῦναι τὰ σὰ τοῖς χρήζουσιν, καὶ

τοῖς μαρτυρίοις; αὐτῷ θεῷ δίδως, καθὼς εἶπεν αὐτὸς, ὅτι ὃς ἐὰν ποιήσῃ ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποίησεν· ὅσοι δὲ ἐδίωξαν τοὺς πένητας, τὸν κύριον ἐδίωξαν.

Διὰ τοῦτο φήσει αὐτοὺς ἐξ εὐωνύμων, καὶ καθὼς ἐκεῖνοι ἐδίωξαν τοὺς πένητας, τὸν αὐτὸν τρόπον διώξει αὐτοὺς, λέγων· πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· ἐπείνασα γὰρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με· γυμνὸς, καὶ οὐ περιεβάλετέ με· ἠσθένησα καὶ οὐκ ἐπεσκέψασθέ με· ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με· ἐν φυλακῇ, καὶ οὐκ ἤλθατε πρός με· ἀπέλθατε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ ἐξώτερον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· τί μοι φησὶν προφασίζεσθε; ἔκαψα ὑμῖν τὴν ἀφορμὴν, οὐδὲ μίαν ἔχετε ἀπολογίαν· ἐὰν γὰρ εἶπον ἐπείνασα, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν, εἶχες ἀντειπεῖν μοι, ἄρτον οὐχ ἔχω· ἄρτον οὐκ εἶχες; ἐπισκέψασθε τοὺς ἀσθενεῖς καὶ τοὺς ἐν φυλακῇ· οὐκ ἠδύνου συνεναύξαι; οὐκ ἠδύνου τῷ θλιβομένῳ συλλυπεῖσθαι; εἶτα οὐδὲν παρέχεις τῷ πένητι, κἂν μὴ κατάπλησσε αὐτὸν τῇ γλώσσῃ σου· κἀκείνῳ μὴ δώσῃς καιρὸν στενάξαι κατὰ σοῦ· καὶ γὰρ τοῦ στεναγμοῦ αὐτῶν ταχὺ εἰσακούει ὁ κύριος, καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανείαν· οὐχ' οὕτως εἰσακούει τῶν δικαίων ὁ κύριος, ὅσον τῶν πενήτων· ἐπειδὴ ὁ πένης οὐδένα ἔχει τὸν ἀντιλαμβανόμενον αὐτῷ· διὰ γὰρ τὴν πτωχείαν αὐτοῦ, πάντες βδελύσσονται· ἀμέλει πλειστάκις καὶ οἱ ἴδιοι γονεῖς μισοῦσιν τοὺς πένητας, οἱ φίλοι παραβλέπονται, οἱ γείτονες ἐπιγελῶσιν· πάντοθεν ἐκρεριμμένος, πάντοθεν ὀβριζόμενος, οὐ-

δαμόθεν ἔχει βοήθειαν, εἰ μὴ εἰς θεὸν τὸν ἐλεοῦντα τοὺς πένητας· διὰ τοῦτο καὶ ταχὺ εἰσακούει αὐτῶν ὁ κύριος· τοῦτο δὲ ὁ προφήτης εἰδὼς ὅτι ταχὺ εἰσακούει τῶν πενήτων ὁ κύριος, ἔλεγεν· τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδενώσει· εἰ ἔχεις, δὸς ὄρτον, ἀλλ' ὅ τι παραμυθούμενος τοὺς πένητας· εἰ καὶ ἄρτον οὐκ ἔχεις, λόγοις αὐτὸν θεράπευσον, παρακάλεσον, συλλυπήθητι, εὐχὰς αὐτῷ παράσχου, ἵνα κἂν παρὰ σοῦ οὐχ εὕρῃ, παρ' ἄλλου εὕρῃ· ὁ ποιῶν ταῦτα, πλεῖον τῶν διδόντων ἐκέρδησεν τὸν μισθόν· μεγάλη γὰρ τῆς ἐλεημοσύνης ἡ εὐεργεσία, οὐδὲν γὰρ ἄλλο κατόρθωμα ἐξισχύει ἐξαλείψαι ἁμαρτίας· οὐδεμία ἀρετὴ ἐξισοῦται αὐτῇ· οὐδέ ποτε οὖν αὐτὴν μετερχόμεθα ἀγαπητοί; ἵνα ἐπιτύχωμεν τῶν αἰωνίων ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων· ἀμήν.

Ὠριγένους εἰς Λευιτικόν.

Καί γε τοὺς περὶ λέπρας νόμους ὑπολαμβάνω εἴδη τινὰ τῆς ψυχῆς διαγράφειν διάφορα· τίς γὰρ οὐκ ἂν ἀπορήσῃ ὁρῶν, ὅτι πῇ μὲν ἡ λέπρα ποιεῖ τὸν ἄνθρωπον ἀκάθαρτον ἐγγενομένη χρωτὶ ζῶντι, πῇ δὲ πάσης ἀκαθαρσίας ἀπολύει ὅλον λεπρὸν γεγονότα; τότε γὰρ ἀκάθαρτος εἶναι λογίζεταί τις, ὅτε χρὼς ζῶν μετὰ τὸ ὁλόλεπρον εὑρίσκεται ἐν αὐτῷ, μιαίνοντος τοῦ ζῶντος χρωτὸς τὴν ἐξ ὅλων λέπραν, ἀμίαντον εἶναι λεγομένην· ἡγοῦμαι γὰρ τὴν λέπραν ἀντὶ ἀλόγων λαμβάνεσθαι τῆς ψυχῆς παθημάτων· τὸν δὲ ζῶντα χρῶτα, ἀντὶ τῆς λογικῆς καταστάσεως· δοκεῖ οὖν μοι μυστήριον περιέχειν ὁ λόγος· ἐν γὰρ τῇ τῶν βρεφῶν ἡλικίᾳ ἀνέγκλητός ἐστιν ἡ ψυχή, τῆς ἀλογίας ἀπολυούσης αὐτὴν παντὸς ψόγου· ἐὰν δὲ ὀφθῇ χρὼς ζῶν ἐν αὐτῇ, ὅ ἐστιν ἐὰν ἀρχαὶ τοῦ λόγου ὑποφύωσι, τότε ἀρχὴ τῆς ἁμαρτίας ὑφίσταται, ἕως ἐπικρατήσαντος τοῦ χρωτὸς τοῦ ζῶντος, τουτέστι τοῦ λόγου αὐξάνοντος καὶ τελειουμένου, ὁ λόγος γίνηται ὁ χρὼς ζῶν, καὶ τέλεον ἡ λέπρα ἐξαφανισθῇ.

ΙΟΒΙΟΥ

ΕΙΣ ΤΟ ΔΙΑ ΤΙ Ο ΥΙΟΣ ΕΣΑΡΚΩΘΗ ΚΑΙ ΟΥΧ Ο ΠΑΤΗΡ Η ΤΟ ΠΝΕΥΜΑ. (1)

I. Σὺν αὐτῇ τῇ ῥίζῃ καὶ τῷ θεμελίῳ τῆς οἰκονομίας πρόεισι καὶ μηνύεται ἡ αἰτία, δι' ἣν ὁ υἱὸς καὶ λόγος ἐσαρκώθη· μόνον οὐχὶ δι' αὐτῶν τῶν πραγμάτων ὑπὲρ ἑαυτοῦ ἀπολογουμένου τοῦ θεοῦ λόγου, καὶ μὴ ἐῶντος πλανᾶσθαι περὶ τὸ ζήτημα, ἀλλὰ μεθ' ἑαυτοῦ τὴν λύσιν τῆς ἀπορίας φέροντος· αὐτὴ γοῦν ἡ φάτνη κήρυκος μεγαλοφωνότερον, οἷα τροφὸς ὑποδεξαμένη σπαργανωθέντα τὸν λόγον, ἢ ποτὲ τῶν ἀλόγων τῶν τῷ νόμῳ καθαρῶν, καὶ ἀκαθάρτων βοῶν, καὶ ὄνων δεξαμένη, καὶ τροφός· οἷς δηλοῦται τὰ δύο τοῦ κόσμου διχοτομήματα, διὰ μὲν τῶν βοῶν, ὁ τῷ τοῦ νόμου ζυγῷ ὑποτεθεὶς Ἰσραὴλ, καὶ ἐργάτης εἶναι τῶν ἐντολῶν ἐπιταχθείς· διὰ δὲ τῶν ὄνων, ἡ τῶν ἐθνῶν πληθὺς, ἡ νομικῶν μὲν ἐλευθέρα ζυγῶν, ὑπόστρωμα δὲ καὶ καθέδρα δαιμονίων τυγχάνουσα· καὶ Ἀμβακοὺμ τὰ τῆς οἰκονομίας προλέγων, ἐν μέσῳ δύο ζώων γνωσθήσῃ, φησὶν· τῇ γὰρ τοῦ λόγου μεσιτείᾳ συνάπτεται ἔθνος ἑκάτερον, καὶ τοῦ φραγμοῦ τὸ μεσότοιχον λύεται· ἐν γὰρ Χριστῷ Ἰησοῦ οὐκ ἔστιν Ἕλλην καὶ ἰουδαῖος, οὐ περιτομὴ καὶ ἀκροβυστία· καὶ μάρτυς τῶν εἰρημένων, ὅ τε μέγας Γρηγόριος λέγων· τὴν φάτνην προσκύνησον, δι' ἣν ἄλογος ὢν ἐτράφης ὑπὸ τοῦ λόγου· καὶ γνῶθι ὡς βοῦς τὸν κτησάμενον, Ἡσαΐας διακελεύεταί σοι· καὶ ὡς ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ, εἴτε τῶν καθαρῶν τις εἶ, καὶ ὑπὸ Cod. p. 47.

(1) Erat haec prima quaestio operis inscripti οἰκονομικὴ, *de incarnatione*, a Iobio scripti, quod deperditum opus copiose describit Photius cod. CCXXII. Sequentia quoque fragmenta ex eodem opere sumpta videntur.

τὸν νόμον καὶ μηρυκισμὸν ἀναγόντων τοῦ λόγου, καὶ πρὸς θυσίαν ἐπιτηδείων, εἴτε τῶν ἀκαθάρτων τέως καὶ ἀθύτων, καὶ τῆς ἰθνικῆς μερίδος· καὶ ὁ μέγας Βασίλειος, εἰ καὶ τὴν φάτνην ὁ αἱρετικὸς αὐτῷ ὀνειδίσει, δι' ἣς ἄλογος ὢν ἐτράφη ὑπὸ τοῦ λόγου.

p. 90. II. Ὅτι τὸ βάπτισμα τῆς υἱοθεσίας ἡ ῥίζα, τῷ πνεύματι διαφερόντος ἀποκεκλήρωται, καὶ γὰρ μετὰ τῆς τοῦ βαπτίσματος ἀρχῆς τε καὶ ῥίζης. τὸ πνεῦμα σωματικῶς ἡμῖν ἐν εἴδει περιστερᾶς ἐπεδήμησεν, καὶ τῷ καθαρισμῷ τὸ καθαροποιὸν συμπροέρχεται, καὶ ὥσπερ Χριστῷ τὸν σωματικὸν ἑορτάζομεν τίκον, θεοφανείας ἐντρυφῶντες ἡμέραν, τοῦ υἱοῦ ἐπὶ τῆς γῆς ὀφθέντος, καὶ τοῖς ἀνθρώποις συναναστραφέντος· οὕτω καὶ τὴν τῶν φώτων, ἤγουν τοῦ φωτίσματος ἡμέραν θεοφανείας προσηγορίᾳ τιμῶντες, οὐκ ἔλαττον, καὶ αὐτῷ σωματοειδῶς ἐπιφανέντι συνεπιτελοῦμεν τῷ πνεύματι· διὸ καὶ τοῖς νεοβαπτίστοις πρὸς γνῶσιν, καὶ πίστωσιν τῆς τοῦ καθήραντος καὶ τελειώσαντος πνεύματος ἀξίας, ἀῤῥαβὼν ἐδίδοτο τῆς πίστεως τοῦ πνεύματος τὰ χαρίσματα, τὸ τῆς υἱοθεσίας ὄντως ἐνέχυρον· ὅτι γὰρ ἐστὲ υἱοί, φησὶν, ἐξαπέστειλεν ὁ θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ ἐν ταῖς καρδίαις ὑμῶν· καὶ ὁ σωτὴρ· εἰ μή τις γεννηθῇ δι' ὕδατος καὶ πνεύματος· καὶ ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν πνεύματι ἁγίῳ καὶ πυρὶ· καὶ ὁ μακάριος Ἰωάννης· ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν ἐκ τοῦ πνεύματος οὗ ἔδωκεν ἡμῖν· καὶ ὁ Παῦλος· ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως· καὶ πολλὰ τοιαῦτα.

p. 189. III. Ἐν τοῖς πλείοσι τὸ ὀφεῖλον γίνεσθαι διδάσκει, οὐ τὸ πάντως οὕτως γινομένου· οἷόν ἐστι καὶ τὸ παρὸν· εἶπε γὰρ τοῦτο κατὰ τὸ εἰκὸς, ὡς τοῦ δικαίου, καὶ τοῦ ἀκολούθου τοῦτο ἀπαιτοῦντος· εἰ καὶ τοὐναντίον ἐν τοῖς πλείοσι τῶν ἀνθρώπων ἐστὶν εὑρεῖν· οἱ μὲν γὰρ δίκαιοι πάντες διὰ τῆς ἀρετῆς, εἰ καί τι προήμαρτον ὡς ἄνθρωποι, καθαρισθέντες καὶ τὸ χρέος πολυπλασίως ὡς ὁ Ζακχαῖος ἀποδόντες, καὶ ἔτι μυρίους ἱρώτων μισθοὺς ὀφειλόμενοι, ἔσαι γάρ φησιν ὁ μισθὸς ὑμῶν πολὺς ἐν

τοῖς οὐρανοῖς, εἰ καὶ μικροῖς ὑπέκειντο πλημμελήμασιν, ἀγαπῶσι πολὺ· τὸ δὲ τῶν ἁμαρτωλῶν ἡμῶν πλῆθος μυρίοις βρύοντες ἕλκεσι, καὶ ὡς εἰκὸς πολλὰ καὶ τῷ βαπτίσματι, καὶ ὡς ἄλλως χρηστότητι θείᾳ συγχωρηθέντες, καὶ καθ' ἡμέραν ἀδικοῦντες, καὶ τῶν παρὰ θεοῦ πάντων ἀγαθῶν ὑπὲρ τοὺς ἀγαθοὺς ἀπολαύοντες, μικρὰ τῆς ἀνεχομένης, καὶ μεγάλα δωρουμένης θείας ἀγάπης φροντίζομεν· ὁ μὲν γὰρ Ἰὼβ ἄμεμπτος ὢν, ὡς καὶ ἄλλοι κατ' ἐκεῖνον μυρίοι, ὑπερηγάπα τὸν θεὸν, μὴ μετρῶν πρὸς τὰ αὐτῷ πεπραγμένα τὸν ἔρωτα· Ἰούδας δὲ κλέπτης ὢν, καὶ μιαιφόνος τὸν τρόπον, καὶ οὐ μόνον τὸ πᾶν ἀφεθεὶς, ἀλλὰ καὶ τοῖς ἄλλοις ἀφιέναι ἐξουσίαν εἰληφὼς, φονεὺς τοῦ εὐεργέτου καὶ προδότης ἐγένετο· καὶ οἱ μὲν ἰουδαῖοι λίαν ἀγαπώμενοι καὶ ἀκούοντες τοῦ τὰς ἁμαρτίας αὐτῶν ἀφιέναι βουληθέντος, λέγοντος, οὐκ ἦλθον εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραὴλ, ἐθίωκον, καὶ ἀπεστρέφοντο· οἱ δὲ ἐθνικοὶ ἀκούοντες τό, οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ δοῦναι κυναρίοις, προσέτρεχον· καὶ συντόμως οἱ δίκαιοι τὴν στενὴν καὶ τεθλιμμένην ὁδεύοντες, καὶ πυρὶ καὶ σιδήρῳ παραβαλλόμενοι, ὅμως παρέμειναν, πλέον καὶ πλέον τῆς ἀγάπης τοῦ θεοῦ ἐχόμενοι· οἱ δὲ ἁμαρτωλοὶ, καὶ εὐθηνοῦντες, καὶ εἰς τὸν αἰῶνα κατὰ τὴν γραφὴν κατέχοντες πλούτου, τῷ εὐεργετοῦντι θεῷ οὐκ εὐγνωμονοῦσιν· εἰ οὖν μὴ κατὰ τὸν λεχθέντα σκοπὸν τοῦτο νοήσομεν, τί ποιήσομεν τῇ τἀναντία λεγούσῃ παραβολῇ; ἐν ᾗ ὁ τὰ μυρία τάλαντα συγχωρηθεὶς, μικρὰ τῆς τοῦ συγχωρήσαντος ἀγάπης φροντίσας, κατὰ τοῦ συνδούλου ἐμάνη· δι' οὗ μέσου καὶ τὸν δεσπότην ὕβρισεν, εἴ γε τῆς αὐτοῦ φιλανθρωπίας τὸ τὰ τῶν θούλων εἰς ἑαυτὸν ἀναδέχεσθαι, παρ' οὗ καὶ τὸ, ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε· τὸ αὐτὸ νοητέον καὶ περὶ τῆς παραβολῆς τοῦ ἀσώτου καὶ τοῦ σώφρονος τῶν δύο ἀδελφῶν· οὐχ ὡς τούτου πάντως οὕτω προελθόντος, ἀλλ' ὡς τῆς τῶν πραγμάτων ἀκολουθείας οὕτω ταῦτα καθ' ὑπόθεσιν ἀπαιτούσης, καὶ μονονουχὶ τῆς γραφῆς τὸ μέγεθος τῆς εἰς ἡμᾶς φιλοτιμίας τοῦ θεοῦ διὰ τούτων ἐπιδεικνυούσης, καὶ

ἡμᾶς ἐντρεπούσης, εἴ γε θέον, τοῦ ἀσώτου τῷ πατρὶ προδραμόντας, καὶ ἐξομολογουμένους οὕτω τὰ πρὸς σωτηρίαν αἰτήματα λήψεσθαι· τὸ ἔμπαλιν ὁ Θεὸς μὴ δὲ εὐγνωμονεῖσθαι, μὴ δὲ αἰτηθεὶς φιλοτιμεῖται· ἡ οὖν τῆς παραβολῆς, καὶ τῶν θεόντων διήγησις, τοῦ πλήθους τῆς ἡμῶν κακίας, καὶ τῆς ἀφάτου τοῦ τοῦ Θεοῦ φιλανθρωπίας ἔλεγχός ἐστι, καὶ ὑπόμνησις.

p. 411. IV. Οὐ γὰρ κατὰ τὴν κοινὴν καὶ συνήθη τῶν ὅλων δημιουργίαν, λόγῳ καὶ τὴν ἡμετέραν φύσιν ἀνέπλασεν· ἀλλ' ὅπερ ἐπ' οὐδενὸς τῶν ἄλλων ἠνέσχετο, οὐκ ἐπ' ἀγγέλων, οὐκ ἐπ' ἄλλης τινὸς φύσεως, τοῦτο ἐπὶ τῇ τῶν ἀνθρώπων ὑπέστη σωτηρίᾳ· ἀντὶ δεσπότου γὰρ δοῦλος χρηματίσας, εἰκότως καὶ καταλιπεῖν τὰ ἐννενήκοντα ἐννέα λέγει πρόβατα, τὴν εἰς ἄλλο παραδοξότερον καὶ θαυμασιώτερον εἶδος δημιουργίας ἀναχώρησίν τε καὶ μετάθεσιν, καὶ τὴν τῆς συνηθείας καινοτομίαν τῆς παραβολῆς αἰνιγματιζούσης· καὶ ὡς οὐ καθ' ὃν τρόπον τὸ πᾶν ἐξ ἀρχῆς συνεστήσατο, ἀλλὰ καινοπρεπῆ τε, καὶ ὑπὲρ πάντα λόγον τὸν ἡμέτερον ἀνακαινισμὸν ἐξειργάσατο.

p. 422. V. Τὰ σύμβολα τῆς υἱότητος ἀνακτᾶται πάλιν παρὰ τοῦ ἀγαθοῦ Θεοῦ καὶ πατρὸς, ὁ ταύτης ἐκπεσὼν ἄνθρωπος, στολὴν λαμπρὰν, καὶ τὴν ἐν τῷ δακτυλίῳ σφραγίδα, καὶ τὸν τυθέντα μόσχον σιτευτόν· ἅπερ ἅπαντα τῆς καθ' ἡμᾶς υἱοθεσίας εἰσὶ προμηνύματα· τί γὰρ ἂν εἴη σφραγὶς, ἢ δακτύλιος ἀλλ' ἢ τοῦ πνεύματος τὰ δῶρα, καὶ χάρις, καὶ εἰς υἱοθεσίαν ἀνάκλησις; εἴπερ τοῦ δακτύλου ὁ δακτύλιος φόρεμα· δάκτυλον δὲ λέγεσθαι τὸ πνεῦμα μαρτυρεῖ (1), τὸ, εἰ δὲ ἐγὼ ἐν δακτύλῳ Θεοῦ ἐκβάλλω τὰ δαιμόνια.

(1) Respicit Iobius ad S. Cyrillum nostrum p. 180.

ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΚΥΡΙΛΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΚ ΤΟΥ ΕΙΣ ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ ΕΥΑΓΓΕΛΙΟΝ. (1)

Ἠθέτησαν γὰρ τὸν Θεὸν καὶ πατέρα, τὸν ἐξ αὐτοῦ πεφυκότα κατὰ φύσιν υἱόν, εἶτα γενόμενον καθ' ἡμᾶς δι' ἡμᾶς, πολυτρόπως περιυβρίσαντες, καὶ τοι καλοῦντα πρὸς τὴν διὰ πίστεως χάριν, καὶ ἀποπεραίνειν ἐθέλοντα τὴν τοῖς πατράσιν αὐτῶν δοθεῖσαν ἐπαγγελίαν. Cod. p. 63. b.

Καί τοι πῶς οὐχ ἅπασιν ἐναργὲς, ὅτι παιδίον ἀρτιθαλὲς, καὶ οὐκ ἔχον ἀπὸ τοῦ χρόνου καὶ τῆς ἡλικίας τὸ δύνασθαί τι νοεῖν, ἀνικάνως ἔχει πρὸς διάκρισιν πονηροῦ τε καὶ ἀγαθοῦ πράγματος; οἶδεν γὰρ ὅλως οὐδὲν· ἀλλ' ἔν γε τῷ πάντων σωτῆρι Χριστῷ θαῦμα μέγα καὶ ἐξαίσιον ἦν· ἤσθιεν μὲν γὰρ, ὡς βρέφος ἦν ἔτι, βούτυρον τὲ καὶ μέλι (2)· ἐπειδὴ δὲ θεὸς ὢν ἀπορρήτως σεσαρκωμένος μόνον ᾔδει τὸ ἀγαθὸν· καὶ πονηρίας τῆς ἀνθρωποπρεποῦς ἐλεύθερος ἦν· ἴδιον δὲ καὶ τοῦτο τῆς ἀνωτάτω πασῶν οὐσίας· τὸ γὰρ φύσει καὶ ἀραρότως καὶ ἀμεταπτώτως πρέποι ἂν αὐτῇ καὶ μόνῃ ἰδικῶς· οὐδεὶς γὰρ ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεὸς, κατὰ τὴν αὐτοῦ τοῦ σωτῆρος φωνήν. p. 75. a.

Ἅμα μὲν ἐγεννήθη Χριστὸς, καὶ ἡ τοῦ διαβόλου δύναμις ἐσκυλεύετο· ἠθρησκεύετο μὲν ἐν Δαμασκῷ, καὶ πλείστους εἶχεν ἐκεῖ τοὺς προσκυνοῦντας αὐτὸν, ἀλλ' ἐν καιρῷ τοῦ τόκου τῆς ἁγίας παρθένου καὶ ἡ τῆς ἐκείνου τυραννίδος ἰσχὺς συνεθραύετο· ἐσαγηνεύοντο οὖν πρὸς ἐπίγνωσιν ἀληθείας οἱ ἐξ ἐθνῶν. p. 76. a.

(1) Ex antiqua vaticana Patrum catena in Isaiam et Ezechielem.

(2) Confer nostrum p. 8. Quum autem in catena diserte dicatur hic locus ex Cyrilli commentario in Lucam sumptus, catena quidem commentario a nobis edito dat testimonium.

Ἔθος γὰρ τῇ θεοπνεύστῳ γραφῇ διαφόροις ὀνόμασιν τὸν τῶν ὅλων θεὸν ἀποκαλεῖν, καὶ ὡς ἀπό γε τῶν κατὰ καιροὺς θρωμένων ἔσθ' ὅτε προσεπινοεῖν τὰς κλήσεις, τοῦτο τετήρηται ἐπ' αὐτοῦ τοῦ Χριστοῦ· θεὸς γάρ ἐστιν ἀληθινὸς· ἐπιδείξειεν ἂν τὸ ταχίως σκύλευσον, ὀξέως προνόμευσον.

p. 78. b. Ἀρχὴ γὰρ αὐτοῦ γέγονεν ὁ σταυρὸς δι' οὗ βεβασίλευκεν τῆς ὑπ' οὐρανόν (1)· εἴπερ ἐστιν ἀληθὴς ὅτι γέγονεν ὑπήκοος τῷ πατρὶ μέχρι θανάτου δὲ σταυροῦ.

p. 82. a. Ἐπιτήρησον ἀγαπητὲ καὶ σύνες, ὅτι οὐκ εἰς τὰς τῶν ἐθνῶν συνηθείας ἐξέβησαν οἱ ἡγιασμένοι διὰ τῆς πίστεως, ἀλλ' εἰς τὰς αὐτῶν μᾶλλον εἰσῆλθον οἱ κεκλημένοι· κρεοφαγοῦσιν μὲν οἱ θῆρες, λύκος τε καὶ λέων, ἄρκος τε καὶ πάρδαλις· ποάφαγα δέ εἰσι τὰ τῶν ζώων ἥμερα, ἔριφοι τε καὶ ἄρνες καὶ μόσχοι· ἀλλ' οἱ θῆρες δέ φησιν τοῖς ἡμέροις συνβοσκήθονται, καὶ τὰς αὐτῶν ἔδονται τροφάς· οὐκοῦν οὐ τὰ ἥμερα πρὸς τὰς τῶν ἀγρίων ἐκβέβηκε συνηθείας, ἐκεῖνα δὲ μᾶλλον εἰς τὰς τούτων, ὡς ἔφην, μεταφοίτηκε· μετέστησαν γοῦν ἐξ ἀγρίου φρονήματος εἰς τὴν ἁγίοις πρέπουσαν ἡμερότητα· μεταβεβήκηνται διὰ Χριστοῦ καὶ γεγόνασιν ἄρνες οἱ λύκοι· αὐτὸς γὰρ ἦν ὁ ἐξημερῶν αὐτούς· καὶ συνείρων, ὡς ἔφην, τοὺς δύο λαοὺς εἰς φρόνημα τὸ θεοφιλές· τοῦτο πάλαι καὶ ὁ ἱεροφάντης Μωϋσῆς ἀναπεφώνηκε λέγων· εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ, ὅτε μεγαλωσύνην κυρίῳ καὶ θεῷ ἡμῶν.

p. 82. b. Θαλάσσης γὰρ δίκην ἐκκέχυται πανταχοῦ τὸ σωτήριον κήρυγμα, καὶ πανσθενεστάτην ἔχει τὴν ἐμβολήν· καὶ τοῦτο πάλιν ἡμῖν διεσάφει λέγων ὁ τῶν ὅλων θεὸς διὰ προφήτου φωνῆς· καὶ κυλισθήσεται ὡς ὕδωρ κρίμα, καὶ δικαιοσύνη ὡς χειμάρρους ἄβατος.

p. 96. b. Εἶτα ποία τις ἔστιν ἡ ἀρχαία βουλὴ καὶ ἀληθινὴ καὶ τεθαυμασμένη, σαφηνιεῖ λέγων ὁ θεῖος ἡμῖν Ἰωάννης ὁ εὐαγγελιστὴς, καὶ ὁ λόγος σὰρξ ἐγένετο· τοῦτο οἶμαι ἐστὶ τὸ μέγα καὶ ἐξαίσιον θαῦμα, καὶ τῆς ἀνωτάτω βουλῆς τὸ εἰς ἡμᾶς σωτήριον ἀποτέλεσμα.

(1) Conser nostrum p. 369; et en rursus testimonium.

Καὶ ποία τις ἦν ἡ ἀρχαία βουλὴ καὶ ἀληθινὴ καὶ τεθαυμασμένη, αὐτὸς ἡμᾶς ἐδίδαξεν ὁ υἱὸς εἰπών· οὕτω γὰρ ἠγάπησεν ὁ θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον· δέδωκε γὰρ δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν τὸν ἴδιον υἱόν, ὃς δι' ἡμᾶς τὸν ὑπὲρ ἡμῶν ὑπέσχη θάνατον, ἀνεβίω δὲ καὶ ἐγήγερται πάλιν ὑπὲρ ἡμῶν· ἡμεῖς γὰρ ἐσμὲν οἱ ἐν αὐτῷ παλινδρομήσαντες εἰς ζωὴν, καὶ τῶν τοῦ θανάτου δεσμῶν ἀλογήσαντες.

Δρόσον οἶμαι λέγων τὴν ζωοποιὸν τοῦ ἁγίου πνεύματος δύναμιν, καὶ τὴν τοῦ θανάτῳ λυτικὴν ἐνέργειαν, ὡς θεοῦ καὶ ζωῆς. p. 98. b.

Ἀντὶ τοῦ εὐτρεπίσθητε πρὸς παραδοχὴν ὧν ἂν βούλοιτο νομοθετεῖν ὁ Χριστὸς· ἀποστήσατε τὰς καρδίας τῆς τοῦ νόμου σκιᾶς, καταλήξατε τῶν τύπων, παύσασθε τοῦ φρονεῖν τὰ διεστραμμένα. (1) p. 111. a.

Εὐθεία μὲν ἅπασα λεία τε καὶ εὐχερὴς ἡ πρός γε ἀγαθὸν ἀποφέρουσα τρίβος· διεστραμμένη γε μὴν ἡ ἑτέρα, τουτέστιν ἡ εἰς φαυλότητα κατασύρουσα τοὺς δι' αὐτῆς ἐρχομένους.

Διοικεῖ γὰρ οὕτω τὸ θεῖον τὸ καθ' ἡμᾶς οὐχ ὁρώμενον, οὐ κτύπῳ κατασημαῖνον τὴν ἐνέργειαν, ἀλλ' ἠρέμα τε καὶ ἡσυχῇ· οὕτω δὴ καὶ ἡμᾶς αὐτοὺς προσήκει πληροῦν ὅ τι ἂν ἐθέλωμεν ἀγαθὸν, ἵνα καὶ πλήρη κομιζώμεθα τὸν μισθόν. p. 114. b.

Ἐπλανᾶτο μὲν γὰρ ἡ ὑπ' οὐρανὸν τῇ κτίσει παρὰ τὸν κτίστην λατρεύουσα, καὶ τῷ τῆς ἀμαθείας κατεμελαίνετο σκότῳ, καὶ νὺξ οἵα τις ταῖς ἁπάντων διανοίαις ἐμπίπτουσα, τὸν φύσει τε καὶ ἀληθῶς ὄντα θεὸν ὁρᾶν οὐκ ἀφίει· ἀνέτειλεν δὲ τοῖς ἐξ Ἰσραὴλ φωτὸς καὶ ἡλίου δίκην ὁ τῶν ὅλων κύριος. p. 132. a.

Ἔλεος καὶ δικαιοσύνη Χριστὸς· ἠλεήθημεν γὰρ δι' αὐτοῦ, καὶ δεδικαιώμεθα τοὺς τῆς φαυλότητος ῥύπους ἀπονιψάμενοι διὰ πίστεως δηλονότι τῆς εἰς αὐτόν. p. 133. b.

(1) Recole p. 19, et en tertium testimonium, et mox quartum.
(2) Confer ibidem.

ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΚ ΤΟΥ ΕΙΣ ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ ΕΥΑΓΓΕΛΙΟΝ. (1)

Cap. IV. v. 18. Cod. p. 17. a.

Ἐφίληση τῇ τοῦ Σίμωνος οἰκίᾳ ὁ Ἰησοῦς, καὶ εὑρίσκει πυρέττουσαν τὴν αὐτοῦ πενθερὰν· καὶ ἐπισὰς ἐπετίμησε τῷ πυρετῷ, καὶ ἀφῆκεν αὐτήν· μήποτε οὖν ἐν μὲν τῷ, ἀφῆκεν αὐτὴν ὁ πυρετὸς εἰρημένῳ ὑπὸ Ματθαίου καὶ Μάρκου, οὐδενὸς περιζώου ἐμφαίνηται τοῦτον πυρετὸν ἐνεργοῦντος· ἐν δὲ τῷ, ἐπιστὰς ἐπάνω αὐτῆς ἐπετίμησε τῷ πυρετῷ καὶ ἀφῆκεν αὐτὴν εἰρημένῳ ὑπὸ Λουκᾶ, οὐκ οἶδα εἰ μὴ ἀναγκασθησόμεθα τὸ ἐπιτιμώμενον ζῷον εἰπεῖν μὴ χωροῦν τὴν τοῦ ἐπιτιμῶντος ἐνέργειαν· ἄψυχον γὰρ καὶ μὴ αἰσθανόμενον ἐπιτιμίας, ἐπιτιμᾶσθαι οὐκ εὔλογον λέγειν· οὐδὲν δὲ θαυμαστὸν εἶναι τινὰς κακωτικὰς τοῦ ἀνθρωπίνου σώματος δυνάμεις, καὶ οὐ πάντως κατηγορήσωμεν τῆς ψυχῆς τῶν πασχόντων ὡς ἐκ τούτων βλαπτομένης· οὐδὲ γὰρ ἐπεὶ ἔπαισε τὸν Ἰὼβ ἕλκει πονήρῳ, λαβὼν ὁ διάβολος τὴν ἐξουσίαν εἰς τὸ διὰ τοῦ σώματος πειράσαι αὐτὸν, περὶ τοῦτο κατηγορητέος ὁ Ἰὼβ, ἀθλήσας καὶ γενναίως ὑπομείνας τὴν πληγήν· μόνον εἴη λέγεσθαι, εἴ ποτε κατὰ σωματικοὺς πειραζόμεθα πόνους, τὸ ἀλλὰ τῆς ψυχῆς αὐτοῦ μὴ ἅψητε· ὡς καὶ ὁ κύριος ἐπιτιμῶν ἰᾶται τοὺς ἔχοντας, ἐπιτίθησι δὲ καὶ τὰς χεῖρας ἑνὶ ἑκάστῳ τῶν νοσούντων, καὶ ἀπήλλαττεν αὐτοὺς τοῦ νοσήματος, δεικνὺς ὅτι τῆς τοῦ λόγου δυνάμεως τὴν ἐνέργειαν περφόρηκεν ἡ ἁγία σὰρξ, ἣν ἰδίαν ἐποιήσατο, θεοπρεπῆ δύναμιν ἐμφυτεύσας αὐτῇ. Οὐκ εἶα δὲ λαλεῖν τὰ δαιμόνια, ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ· οὐ γὰρ ἔδει ἐξ ἀκαθάρτου γλώσσης λαλεῖσθαι τὸ θεῖον μυστήριον· ὥστε κἂν λέγωσι τῶν ἀληθῶν τί, ἐπαινείτω μηδείς· οὐ γὰρ διὰ σκότους τὸ φῶς γινώσκεται.

(1) Sequentia item in quadam ad Lucam catena vaticana invenimus.

Μόνος ὁ Χριστὸς, ὡς διδάσκαλος καὶ σοφία ὢν τοῦ πατρὸς διδάσκει· οἱ γὰρ ἄλλοι πάντες ἐξ αὐτοῦ δεχόμενοι διδάσκουσιν ἦν δέ, φησιν, καὶ δυνάμις κυρίου ἐπ' αὐτὸν εἰς τὸ ἰᾶσθαι πάντας, τοὐτέστιν οὐκ ἀνθρωπίνην εἶχεν ἰσχὺν εἰς τὸ ἰᾶσθαι, ἀλλὰ θείαν τινὰ, καὶ ἄμαχον· οἱ μὲν ἄλλοι ἅγιοι, ποτὲ μὲν λαμβάνουσι τὸ δύνασθαι ποιεῖν ἰάσεις, ποτὲ δὲ οὔ· Ἰησοῦς δὲ ὡς θεὸς, καὶ δύναμις ὢν τοῦ πατρὸς, ἀεὶ πάντας ἐθεράπευσεν· εἶτα ἐκεναριθμήτου πλήθους τῶν γραμματέων φησὶν καὶ φαρισαίων συνειλεγμένου, ἰδοὺ ἄνδρες φέροντες ἐπὶ κλίνης ἄνθρωπον, ὃς ἦν παράλυτος· καὶ μὴ δυνηθέντες διὰ τῆς θύρας εἰσελθεῖν, ἀνεκόμισαν ἐπὶ τὸ δῶμα, ὡς ξένῳ καὶ κενῷ ἐπιχειρῆσαι πράγματι· ἀνασπάσαντες γὰρ τὸν κέραμον, μετεκίνησαν τὴν ἀποκειμένην ὕλην· καὶ ὅμως τούτων γινομένων, καὶ ὁ Ἰησοῦς ἐμακροθύμει, καὶ οἱ παρόντες ἐσιώπων, τὴν ἔκβασιν βυλόμενοι θεωρῆσαι, καὶ ἰδεῖν τί λαλεῖ καὶ τί ποιεῖ· ἀναστομώσαντες τοίνυν τὸ δωμάτιον, χαλῶσι τὸν κράβαττον, καὶ φέρουσι μέσον τὸν παραλελυμμένον· τί οὖν ὁ κύριος; ἰδὼν τὴν πίστιν αὐτῶν οὐ τὴν παραλελυμμένου, ἀλλὰ τῶν κομισάντων· ἔνεστι γὰρ καὶ ἄλλον δι' ἄλλων πίστιν θεραπεύεσθαι· ἢ καὶ αὐτὸν τὸν παράλυτον πιστεύσαντα ἰάσατο· εἴποι δ' ἄν τις ὕπαιθρον εἶναι τὸν τόπον, εἰς ὃν διὰ τῶν κεράμων κατεβίβασαν τὴν κλίνην τοῦ παραλύτου, μηδὲν παντελῶς τῆς στέγης ἀνατρέσαντες· εἰπὼν δὲ πρὸς αὐτὸν ὁ σωτὴρ, ἄνθρωπε ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, κοινῶς τῇ ἀνθρωπότητι τοῦτο λέγει· ἔμελλον γὰρ οἱ πιστεύοντες εἰς αὐτὸν ἰαθέντες τῶν ψυχικῶν παθημάτων τὰς ἁμαρτίας ἃς πρώτον ἐπλημμέλουν ἀφιέσαι· ἢ τοῦτο φησὶν, ἔδει μὲ πρὸ τοῦ σώματος ἰάσασθαί σου τὴν ψυχὴν, ἐπεὶ ἐὰν μὴ τοῦτο γενήται ἐσὶ πλεῖον ἁμαρτάνεις λαβὼν ἰσχὺν εἰς τὸ περιπατεῖν· εἰ γὰρ καὶ μὴ ἐζήτησας τοῦτο, ἀλλ' ἐγὼ ὡς θεὸς, ὁρῶ τὰ τῆς ψυχῆς πάθη, ἐξ ὧν καὶ ἡ νόσος σοι συμβέβηκε· καλῶς οὖν ὁ σωτὴρ τὰς τοῦ νοσεῖν ἀφορμὰς, καὶ οἷον τοῦ πάθους τὴν ῥίζαν, τοὐτέστι τὴν ἁμαρτίαν δι' ἣν καὶ τὸ πάθος προαποκείρειν ἐπαγγέλλεται· ἐξαιρεθείσης γὰρ ταύτης, ἔδει πάντως αὐτῇ συναναιρεθῆναι τὴν νόσον· εἶτα φησὶν ὅτι ἀκού-

V. 18. p. 19. a.

σαντες οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι, βλασφημίας ἐγκλήματι περιβάλλουσιν· ἤρξαντο γὰρ διαλογίζεσθαι ἐν ἑαυτοῖς, τίς ἐστιν οὗτος λέγοντες, ὃς λαλεῖ βλασφημίας; τίς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ θεὸς; ἐπειδὴ δὲ τοῦτο τετολμήκασι, διαδείκνυσιν εὐθὺς ὅτι θεός ἐστι· τί γάρ φησιν διαλογίζεσθε ἐν ταῖς καρδίας ὑμῶν; τίς γὰρ τοὺς ἐν τῷ βάθει τῆς διανοίας λογισμοὺς καθορᾷ, εἰ μὴ μόνος ὁ θεὸς; οὐκοῦν ὁ εἰδὼς καρδίας καὶ νεφροὺς ὡς θεὸς· οὗτος ἀφίησι καὶ ἁμαρτίας ὡς θεὸς· εἶτα ἐπειδὴ ἐν μὲν τῷ εἰπεῖν ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, τότος ἔσθ' ὅτε ἐστὶν ἀπιστίας εὐάφορμος, ἀφιεμένας γὰρ ἁμαρτίας ἄνθρωπος οὐχ ὁρᾷ τῷ τοῦ σώματος ὀφθαλμῷ, τὸ δὲ ἀποβαλεῖν τὸν νόσον καὶ ἀναστάντα περιπατεῖν τὸν πάρετον, ἀποδείξιν ἔχει σαφῆ τῆς θεοπρεποῦς ἰσχύος, ἐπάγει· ἐγερθεὶς ἆρον τὸ κλινίδιόν σου, καὶ ὑπάγε εἰς τὸν οἶκον σοῦ, ὃ δὴ καὶ πέπρακται· δέδεικται τοίνυν δι' αὐτοῦ τοῦ πράγματος, ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ θεοῦ ἀφιέναι ἁμαρτίας· καὶ αὐτὸς μὲν ὡς ἐνανθρωπήσας θεὸς ἀφίησιν ἁμαρτίας· ἐλαβόμεν δὲ καὶ ἡμεῖς παρ' αὐτοῦ τὴν οὕτω ἀξιοθαύμαστον χάριν (1)· ἔφη γάρ ποτε τοῖς μαθηταῖς αὐτοῦ· ἂν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφιένται αὐτῶν· ἂν τινων κρατῆτε, κεκράτηνται.

XI. 47. p. 47. b. Οἱ μὲν τῶν ἰουδαίων πατέρες, ἀπέκτειναν τοὺς προφήτας· οἱ δὲ τούτων υἱοὶ, ὁμολογοῦντες ὅτι προφῆται γεγόνασιν, περιήρμοσαν αὐτῶν τοὺς τάφους, τιμὴν ἀπονέμοντες τὴν τοῖς ἁγίοις πρέπουσαν· οὐκοῦν αὐτοὶ μὲν προφῆτας εἶναι πιστεύσαντες καὶ ἄνδρας ἁγίους, κριταὶ γεγόνασι τῶν ἀποκτεινάντων αὐτοὺς· δι' ὧν γὰρ τιμᾷν ἠγνώκασι τοὺς ἀνῃρημένους, διὰ τούτων αὐτῶν κατηγοροῦσιν ὡς ἠσεβηκότων· ἀλλ' εἰ τῶν ἰδίων πατέρων καταψηφισάμενοι, δι' αὐτῶν ἴσων ἔμελλον πλημμελημάτων ἁλίσκεσθαι· φησὶ γὰρ πρὸς αὐτοὺς ὁ σωτὴρ ἡ τοῦ θεοῦ σοφία· ἀποστελῶ εἰς αὐτοὺς προφήτας καὶ ἀποστόλους, καὶ ἐξ αὐτῶν ἀποκτενοῦσι, καὶ ἐκ διώξουσι, καὶ τὰ ἑξῆς· καὶ προφήτας μὲν ὧδε τοὺς ἀπο-

(1) En paenitentiae sacramentum a Christo *institutum*.

στόλους λαλεῖ, καὶ τοὺς τῶν ἀποστόλων διαδόχους τοὺς τῶν ἐκκλησιῶν ποιμένας καὶ διδασκάλους, τοὺς ἐν προφητείαις καὶ διδασκαλίαις, ταῖς διὰ τοῦ πνεύματος δωρεαῖς κεκοσμημένους· προλέγει τοίνυν τὰ μέλλοντα καταλλαβέσθαι τὴν τῶν ἰουδαίων γενεαν κακὰ, διὰ τὴν ἀκόρεστον αὐτῶν μιαιφονίαν· μέλλει γὰρ ἐκζητεῖσθαι τὸ αἷμα πάντων τῶν προφητῶν τὸ ἐκχυθὲν ἀπὸ καταβολῆς κόσμου ἀπὸ τῆς γενεᾶς ταύτης· Ζαχαρίαν δὲ ὧδε ἀκόλουθον ἔστι ἐννοεῖν τὸν τοῦ προδρόμου πατέρα ὃν ἐξ ἀγράφου παραδόσεως ἱστόρηται τοὺς ἰουδαίους ἀνελεῖν μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου, διὰ τὸ προφητεύειν αὐτὸν, μᾶλλον δὲ ἀποδεικνῦναι τὴν θεοτόκον παρθένον, καὶ τὸν ἐξ αὐτῆς τεχθησόμενον θεὸν καὶ σωτῆρα Ἰησοῦν Χριστὸν οἷα δή τινα βασιλέα καὶ κύριον ἐπὶ τὸ ἔθνος ἀποσταλήσεσθαι αὐτῶν· καὶ αὐτὴν τὴν ἁγίαν παρθένον μετὰ τὴν ἐκ πνεύματος ἁγίου σύλληψιν, τοῦ τόπου τῶν παρθένων τοῦ ἐν τῷ ἱερῷ ὄντος μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου μὴ ἀποσῆσαι· καθὰ δὴ γεγραμμένην ἀλλ' ἔτι παρθένον γινώσκειν αὐτὴν, καὶ συγχωρεῖν κατὰ τὸν συνήθη τόπον ἑστᾶσθαι· διὰ γοῦν ταῦτα τοὺς ἀκούοντας εἰς ὀργὴν ἐμπεσεῖν, καὶ ἐπ' αὐτὸν ὁπλίσαι τὰς χεῖρας, δεδιότας τὸν ἐκ τῆς αὐτοῦ προφητείας προδοκώμενον βασιλέα, φόβῳ τοῦ μὴ γενέσθαι βασιλεῖ ὑποχείριοι μέλλοντι καταδυναστεύειν αὐτῶν· τὸν οὖν ταῦτα μαρτυροῦντα περὶ τοῦ τόκου διαχειρίζονται, πρὸς αὐτῷ τὸ θυσιαστηρίῳ τὸν ἱερέα ἱερουργήσαντα.

Ὡς ἀνθρώπῳ προσίασι κοινῶν τῶν πάντων ἡμῶν σωτῆρι Χριστῷ, καὶ ζητοῦσι λόγους παρ' αὐτοῦ εἰς τὸ παραδοῦναι αὐτὸν τῇ ἀρχῇ καὶ τῇ ἐξουσίᾳ τοῦ ἡγεμόνος· προσεδόκησαν γὰρ ὅτι πάντως ἀκούσονται λέγοντος ὅτι οὐκ ἔξεστι φόρους δοῦναι Καίσαρι· τί οὖν φησὶν πρὸς αὐτοὺς, ὁ τὰς καρδίας εἰδὼς τῶν ἀνθρώπων, καταγνοήσας αὐτῶν τὴν πανουργίαν, ἐπιδείξατέ μοι τὸ δηνάριον, ἔφη· τίνος ἔχει εἰκόνα καὶ ἐπιγραφήν; οἱ δὲ εἶπον· Καίσαρος· τότε φησὶν, ἀπόδοτε τοίνυν τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ· δύο χαρακτῆρες εἰσὶ, καὶ δύο εἰκόνες, ἡ μὲν ὁρατὴ, ἡ δὲ ἀόρατος· διέστηκε γὰρ τὰ πράγματα· XX. 22. p. 67. a.

ἄλλο γάρ ἐστι ψυχῆς σωτηρία, καὶ ἄλλο τέλος σωματικόν· οὐκ ἀπαιτεῖ θεὸς δηνάριον, ἀλλὰ πίστιν· ἀπόδοτε τοίνυν τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ. Ἄλλως τόδε· ἐγίνετο ἄνθρωπος κατ' εἰκόνα θεοῦ· ὕστερον δὲ διὰ τὴν παρακοὴν, ἀπέλαβεν εἰκόνα χοϊκήν· ὥσπερ δὲ τὸ νόμισμα, εἰκόνα ἔχει τοῦ βασιλεύοντος τῶν ἐθνῶν· οὕτως ὁ ποιῶν τὰ ἔργα τοῦ κοσμοκράτορος τὴν εἰκόνα φορεῖ ἣν παραινεῖ ὁ σωτὴρ ἀποδιδόναι, καὶ ἀποτίθεσθαι καὶ φορεῖν, τὴν ἐξ ἀρχῆς γενομένην εἰκόνα καθ' ὁμοίωσιν τοῦ θεοῦ· καὶ τοῦτο δηλοῖ· τὸ ἀπόδοτε τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ· αἰτεῖ δὲ παρ' ἡμῶν, οὐχ' ὅτι χρείαν ἔχει τινός, ἀλλ' ἵνα ἡμῖν ἀντιχαρίσηται τὰ αὐτοῦ· ἐκεῖνα δὲ δεῖ ἀποδιδόναι Καίσαρι, τὰ μηδὲν τὴν εὐσέβειαν παραβλάπτοντα.

XXI. 29. p. 71. a. Εἰπὼν τὴν παραβολὴν τῆς συκῆς, εὐθέως ἐπάγει· γινώσκετε ὅτι ἐγγύς ἐστιν ἡ βασιλεία τοῦ θεοῦ· τὸ δὲ τοιοῦτο διδάσκει, ὅτι οὔπω πρὸς τὸ ἔσχατον τέλος ἥκει τὰ πράγματα, τούτων γενομένων, ἀλλ' ὁδεύει πρὸς τὸ τέλος ἤδη, καθάπερ ἐπὶ τὸν καρπὸν ὁδεύει ἡ συκῆ τοὺς κλάδους ἀπαλυνομένη, καὶ τὰ φύλλα ἐκφύουσα· οὕτω γὰρ δὴ καὶ ἡ τοῦ κυρίου παρουσία καταργοῦσα πάλιν ἀρχὴν καὶ ἐξουσίαν, παρασκευάζει τῇ βασιλείᾳ τοῦ θεοῦ· εἶτα φησὶν, ἀμὴν λέγω ὑμῖν, ὅτι οὐ μὴ παρέλθῃ γενεὰ αὕτη, ἕως ἂν πάντα γένηται· γενεὰν δέ φησι, οὐ τοὺς τότε ἀνθρώπους ἀλλὰ τοὺς ὁμοίους τῷ τρόπῳ· ἐν δὲ τῷ λέγειν, ὅτι ἀδύνατον τοὺς λόγους παρελθεῖν, καὶ τὴν τῶν στοιχείων συντέλειαν προαγορεύει ἤδη· ἀδύνατον γάρ, φησιν, τοὺς λόγους μου παρελθεῖν, καὶ τοι καὶ τῶν στοιχείων παρερχομένων· ἐγὼ μὲν γὰρ ἀληθεύων, ὅτι ἥξει ἡμέρα, καὶ ταῦτα γενήσεται, καὶ οὐκ ἐγχωρεῖ μὴ γενέσθαι ἃ λέγω· προσέχετε δὲ, φησιν, μὴ βαρηθῶσιν ὑμῶν οἱ τῆς διανοίας ὀφθαλμοὶ· μερίμνα γὰρ βιωστικὴ καὶ κραιπάλη καὶ μέθη ἐξορίζει τὴν σύνεσιν, καὶ τὴν εἰς θεὸν πίστιν, καὶ φόβον ἀμαυροῖ· χρεία οὖν ἀγρυπνίας τοιαύτης καὶ προσοχῆς, ἵνα μὴ ἐφνίδιος ἐπέλθῃ ἡ ἡμέρα ἐκείνη ὥσπερ παγὶς πρὸς ὑμᾶς μηδὲν ὠφεληθέντας ἐκ τοῦ πρακτικοέναι.

Ἡ ἐν τῷ τίτλῳ προγραφὴ τῆς τοῦ κυρίου αἰτίας, πρακτικῆς καὶ φυσικῆς καὶ θεολογικῆς φιλοσοφίας, ὄντα βασιλέα τὸν σταυρωθέντα σαφῶς καὶ κύριον ἔδειξεν· ῥωμαϊστὶ γὰρ καὶ ἑλληνιστὶ καὶ ἑβραϊστὶ, φησὶν, ἀναγεγράφθαι τῷ λόγῳ· νοῶ δὲ διὰ μὲν τοῦ ῥωμαϊστὶ τὴν πρακτικὴν, ὡς τῆς Ῥωμαίων βασιλείας κατὰ τὸν Δανιὴλ ὁρισθίσης ἀνδρικωτέρας τῶν ἐπὶ γῆς βασιλειῶν· πρακτικῆς δὲ ἴδιον, εἴπερ τι ἄλλο ἡ ἀνδρία· διὰ δὲ τοῦ ἑλληνιστὶ, τὴν φυσικὴν θεωρίαν· ὡς μᾶλλον τοῦ ἑλλήνων ἔθνους, παρὰ τοὺς ἄλλους ἀνθρώπους τῇ φυσικῇ σχολάσαντος φιλοσοφίᾳ· διὰ δὲ τοῦ ἑβραϊστὶ τὴν θεολογικὴν μυσταγωγίαν, ὡς τοῦ ἔθνους τούτου προδήλως ἀνέκαθεν τῷ θεῷ διὰ τοὺς πατέρας ἀνατεθέντος. XXIII. 38. p. 79. b.

Δύο τῶν μαθητῶν βαδίζοντες εἰς κώμην Ἐμμαοῦν λεγομένην, πρὸς ἀλλήλους ὡς οὐ ζῶντα προσδοκῶντες ἔτι τὸν Χριστὸν, ἀλλ' ὡς ἀνηρημένου ἀνιώμενοι, ὡμίλουν λέγοντες τὰ περὶ αὐτοῦ· ἐν δὲ τῶν ὁμιλεῖν αὐτοὺς, καὶ αὐτὸς ὁ Ἰησοῦς προσελθὼν συνεπορεύετο αὐτοῖς, μὴ γινωσκόμενος ὑπ' αὐτῶν· ἐκρατοῦντο γὰρ οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ ἐπιγνῶναι αὐτὸν· καὶ φησὶν πρὸς αὐτοὺς· τί ποτέ ἐστι ὃ διαλέγεσθε πρὸς ἀλλήλους περιπατοῦντες σκυθρωποί; ἀποκριθεὶς δὲ εἷς ἐξ αὐτῶν ᾧ ὄνομα Κλεόπας, εἶπε· σὺ μόνος παροικεῖς Ἱερουσαλὴμ, καὶ ἐξῆς· ἔπειτα τὴν φήμην τῆς ἀναστάσεως τὴν διὰ τῶν γυναικῶν, καὶ τὴν διὰ Πέτρου λέγουσι μὲν οὐ πιστεύουσι δὲ· λέγοντες γὰρ, καὶ γυναῖκες ἐξέστησαν ἡμᾶς τὸ σῶμα μὴ εὑροῦσαι, οὐχ' ἡγοῦντο πρὸς τὸ λεγόμενον ἀληθεύειν, οὐδὲ εὐαγγελισμὸν ἀληθείας, ἀλλ' ὡς ταραχῆς τινὸς καὶ ἐκστάσεως, αἴτιον ὑπέλαβον εἶναι· καὶ τὴν τοῦ Πέτρου μαρτυρίαν τὰ ὀθόνια μόνον ἐπὶ τοῦ μνημάτος ἑωρακότος, οὐ πιστὴν εἶναι περὶ τὴν ἀνάστασιν ἐνόμιζον, ὅτι μὴ αὐτὸν εἶδον ἔλεγεν, ἀλλ' ἐκ τοῦ μὴ κεῖσαι τὸ ἀνεστακέναι αὐτὸν ἐτεκμαίρετο· ἰστέον δὲ ὅτι οὗτοι τῶν ο' ὑπῆρχον, καὶ ὁ μετὰ Κλέοπα ὁ Σίμων ἦν, οὐχ ὁ Πέτρος, οὐδὲ ὁ ἀπὸ Κανᾶ, ἀλλ' ἕτερος τῶν ἑβδομήκοντα. XXIV. 13. p. 82. a.

ADDITAMENTA ET EMENDATIONES.

Pag. 5. v. 15. alius codex addit: ὥστε τὸ πρωτότοκον, περὶ τῆς οἰκονομίας εἰρῆσθαι νόμιζε· κατὰ γὰρ τὴν θεότητα, μονογενής. P. 17. v. 5. a fin. in alio codice sic: ἐνταῦθα οὖν πρώτως τοῦ ἀληθῶς πατρὸς φανερώτερον μνημονεύει, καὶ παραγυμνοῖ τὴν ἑαυτοῦ θεότητα ἐπειδὴ γὰρ κ. τ. λ. P. 20. v. 2. in alio codice continuatur sic: καὶ ὁ μὲν τοῦ Ναυῆ Ἰησοῦς παραγγέλλων ἔλεγε τῷ λαῷ, εὐθύνατε τὰς καρδίας ὑμῶν πρὸς τὸν θεὸν Ἰσραήλ· ὁ δὲ Ἰωάννης, εὐθείας ποιεῖτε τὰς τρίβους ὑμῶν· τοῦτο δέ ἐστι τὸ εὐθείαν εἶναι τὴν ψυχὴν τὸ κατὰ φύσιν νοερὸν αὐτῆς ὡς ἐκτίσθη δεικνύειν· ἐκτίσθη δὲ καλὴ καὶ λίαν εὐθής· ὅταν δὲ ἐκκλίνῃ καὶ ἐν διαστροφῇ τοῦ κατὰ φύσιν γένηται, τοῦτο κακία καὶ διαστροφὴ ψυχῆς λέγεται· οὐκοῦν οὐκ ἔστι δυσχερὲς πρᾶγμα· ἐὰν γὰρ μείνωμεν ὡς γεγόναμεν, ἐν τῇ ἀρετῇ ἐσμέν. P. 31. v. 17. corr. καθ' ἡμᾶς. P. 44. v. 8. ἀξιάγαστον. P. 47. v. 8. κακῶς. P. 50. v. 8. εὐφημεῖν. P. 57. v. 19. οἰκονομικῶς δέ φησι. v. ult. εἰς μαρτυρίαν αὐτοῖς, τουτέστιν ὅτι ἐθηραπεύθης. P. 76. v. 9. παντελῶς. v. penult. πεπραχὼς ὁ Δαβίδ. P. 79. marg. v. 11. corr. 12. P. 83. v. 20. κέκληνται. P. 92. v. 2. ἀπηρτημένος. P. 102. v. 16. ἐκ τοῦ. P. 103. v. 14. ποῦ ἦν. P. 104. v. 21. εἰσελεύσεται. P. 110. v. 6. ὀκλάζουσι. P. 132. v. 6. συμβαῖνον. P. 147. v. 19. ἀδόκιμον. P. 150. v. 24. εἴρηκα. P. 161. v. 10. ἢ τοῖς. P. 165. v. 17. ἀπροσωπ. P. 171. v. ult. μιμητήν. P. 175. v. 10. χρουσμάτων. v. 13. θύραν. P. 179. v. 16. ἀπήλλαττον. P. 202. v. 4. ὁμολογήσης. P. 216. v. ult. κόσμου. P. 215. v. 22. περὶ ἡμᾶς. P. 225. v. 16. οἰκέτης. P. 240. v. 22. ἐκμορφ. P. 255. v. 18. τοῦ θεοῦ. P. 262. v. 4. ταπεινοφρ. P. 265. v. 5. καθά P. 288. v. ult. ἐλπίδα δεδιψ. P. 293. v. 12. κατεσκιασμένην. P. 307. v. 24. θορυβ. P. 319. v. 3. περιεστηκόσιν. P. 226. v. 6. παρακαλοῦντες. P. 330. v. 8. ἐκ ταπ. P. 346. v. penult. εὐφ. P. 368. v. 21. ἀπαγγ. P. 375. v. 8. ἀποναρκήσωμεν. Ibid. not. confer cum ed. Cyril. T. VI. p. 365. P. 386. v. 14. alius codex addit: ἴδωμεν δὲ καὶ τῆς προσευχῆς τὸν τρόπον. P. 398. v. 24. δεσπότην. P. 434. v 8. ἕως. P. 441. v. 3. γνώμης. v. 12. καταπετάσματος ῥαγέντος. P. 458. v. 10. ἐπετέλεσε. v. 23. πεντηκ. P. 499. v. 4. ἐμνήσθη. P. 518. v. 3. a fin ἐναργὴς. P. 526. v. 3. ἀνεπιστήμονες. P. 536. v. 6. a fin. ἐπιθυμ. P. 537. v. 7. αὐτοὺς. P. 550. v. 4. ἄλλα. P. 551. v. 19. λαλησάτω. P. 552. v. ult. ἀπιστηθῇ. Interpunctio quoque alicubi varianda videbatur, praesertim quod adtinet ad interrogandi signum.

INDEX

OPERUM ET FRAGMENTORUM

QUAE DECEM TOMIS COMPREHENDUNTUR

CLASSICORUM AUCTORUM

EX VATICANIS CODICIBUS EDITORUM.

TOMUS I.

Praeit libro graphica tabula personarum in dialogis Ciceronis de republica disputantium. Sequitur epistola ad Leonem XII. P. M.

Praefatio, in qua de nova classicorum Auctorum sylloge, et de primi voluminis argumento, cum inserto Procli fragmento commentarii ad Platonis librum X. de rep. ubi de Eris redivivi fabula p. IX-XVIII. Et quidem Procli alia fragmenta inedita in adnotationibus editoris dispersa sunt, praesertim p. 366-368.

Praefatio ad primam editionem Ciceronis de rep., in quo copiose de hoc opere, eiusque inventione, et de tota palimpsestorum ratione disputatur p. XIX-LXIX.

Prosopographia dialogorum de rep. p. LXIX-LXXVIII.

Testimonia vetera operis tulliani de rep. p. LXXIX-LXXXVI.

(Verba autem *quoniam sumus ab ipsa calce eius interpellatione revocati*, quae sunt in testimonio Senecae, connectenda esse cum Cic. lib. III. cap. V, ubi locus hiat in *cati*, rectissime vidit nuperus Ciceronis in Gallia editor Clericus.)

Monitum de prima operis lacuna p. LXXXVI–LXXXVIII.
Palimpsesti de rep. specimen palaeographicum.
Ciceronis librorum sex de rep. reliquiae ex palimpsesto bibliothecae vaticanae, additis ordinatisque quae extabant antea fragmentis, cum amplis adnotationibus criticis, exegeticis, et historicis, et cum librorum singulorum argumentis p. 1–365.
Procli fragmentum de animarum conversatione p. 366–368.
Indices historici et orthographici Ciceronis de rep. 369–384.
Gargilii Martialis fragmentum ex palimpsesto neapolitano, cum praevia notitia p. 387–413.
Sallustii historiarum fragmentum ex membranis vaticanis, cum idonea notitia, et tabulis tribus, et corruptarum editionum comparatione p. 414–425.
Archimedis fragmentum, cum notitia p. 426–430.

TOMUS II.

Continet hoc volumen partes omnes Ciceronis (excepto opere de rep.) quae nuper detectae divulgataeque fuerunt, cum antiquo copioso interprete ad has aliasque aliquot Ciceronis orationes, et cum editoris adnotationibus, nec non verrinarum invectionum novo contextu ex palimpsesto vaticano. Est autem descriptio voluminis haec.
Specimen scripturae orationum in C. Verrem p. II.
Praefatio editoris p. V–XV.
Specimen scripturae antiqui Interpretis p. XVI.
Commentarius antiquus ad orationem pro Flacco p. 3.
cum senatui gratias egit p. 38.
cum populo gratias egit p. 41.
pro Plancio p. 47.

pro Milone (cum Laelii oratorio fragmento) p. 90.
pro Sextio p. 122.
in Vatinium p. 168.
in Clodium et Curionem p. 194.
de aere alieno Milonis p. 216.
de rege alexandrino p. 230.
pro Archia p. 237.
pro Sylla (cum ·C· Gracchi oratorio fragmento) p. 249.
Scholia antiqua ad quartam Catilinariam p. 269.
pro Marcello p. 271.
pro Ligario p. 273.
pro Deiotaro p. 274.
Partes orationis pro Scauro cum antiquis scholiis p. 278.
Partes orationis pro Tullio p. 328.
Fragmentum orationis pro Milone p. 362.
pro Fonteio p. 364.
pro Rabirio p. 370.
Index historicus p. 373.
Indices latinitatis et palaeographiae p. 385.
Orationum in ·C· Verrem partes cum varietatibus, ex antiquissimo palimpsesto vaticano p. 390.

TOMUS III.

Praefatio in qua 1. de novis Mythographis vaticanis agitur. 2. De Iuvenalis et Persii fragmentis antiquissimis, cuius prioris specimen quoque proponitur in tbula palaeographica tomo praefixa p. V–XX.
Index Auctorum a Mythographis laudatorum p. XXI–XXIII.
Index Fabularum p. XXIV–XXXII.

Mythographus primus vaticanus in libros tres distributus p. 1–82.

Mythographus secundus p. 83–160. Eiusdem Supplementum p. 365–374.

Mythographus tertius p. 161–277. Eiusdem Supplementum p. 375–379.

Phaedri (ut creditur) fabulae novae XXXII, vaticani codicis ope integriores editae, cum idonea notitia, et cum Nicolai Perotti epistola p. 278–307.

Phaedri fragmentum vaticanum cum notitia codicum p. 307–314.

Boethii opusculum novum de Rhetoricae cognitione, cum praevia codicis notitia p. 315–326.

Eiusdem opusculum item novum de locorum rhetoricorum distinctione p. 327–331.

Commentarius vetus ad Boethii carmen p. 331–345.

Franconis ex opere de quadratura circuli specimen p. 346–348.

Cassiodorii Supplementum libri de artibus liberalibus p. 349–357.

Epigrammata antiqua p. 358–364.

Mythographi secundi et tertii supplementa p. 365–379.

Marthi bracarensis de origine idolorum p. 379–384. (de hoc opusculo in praef. p. XVII.)

Geographus antiquus ex codice Monasterii cavensis, cum praevia notitia p. 385–409.

Provinciarum demonstratio ex antiquo codice p. 410–415.

Gargilii Martialis medicina ex pomis, cum praevia notitia p. 416–26.

Placidi grammatici Glossae (quarum plurimae emendationes et additamnta dantur in tomo VI.) p. 427–503.

Metrorii Maximi (ut inscribitur) fragmentum grammaticale p. 504–511.

TOMUS IV.

Praefatio, in qua de auctoribus agitur, quorum opera vel fragmenta in volumine exhibentur p. V–XII. Additur Mercurii monachi breve scriptum de pulsibus p. XIII–XIV.

Oribasii Collectionis medicae libri inediti XLIV. XLV. XLVIII. XLIX. L. p. 1–194. (P. 276–278. ponitur supplementum libri XLIV.) Sequuntur alia Oribasii fragmenta p. 194–198.

Rufi medici fragmentum p. 198–200.

Index medicorum in praedictis libris laudatorum p. 200–201.

Procopii gazaei rhetoris epistolae quatuor supra centum p. 202–274.

Eiusdem fragmentum antirrheticum adversus Procli theologiam p. 274–275.

Notitia librorum XXIV. et XXV. Oribasii p. 279.

Isaei oratio de hereditate Cleonymi graec. lat. p. 280–305.

Themistii oratio de praefectura suscepta gr. lat. cum adnot. p. 306–353. Accedit eiusdem theoria quaedam p. 354–355.

Porphyrii philosophi tractatus ad Marcellam coniugem gr. lat. cum adnot. p. 356–401.

Philonis indaei de cophini festo gr. lat. p. 402–407.

Eiusdem de honorandis parentibus gr. lat. 408–429.

Eiusdem quaestiones septem de Cherubim gr. lat. p. 430–441.

Papyrus aegyptiaca graece scripta cum notitia et interpretatione p. 442–447.

Aristidis oratio qua contradicitur orationi Demosthenis de immunitate gr. lat. p. 448–521.

Eiusdem Aristidis fragmentum p. 521–522.

Atticismorum numerus quidam p. 523–528.

TOMUS V.

Praeit tabula in qua notis tyronianis scribitur fragmentum ex tractatu de virtutibus.

Praefatio, in qua more solito materia voluminis declaratur p. V–LIV. Pag. XIV–XXI. index auctorum qui apud Virgilium grammaticum memorantur. Pag. XXV–XXXII. index latinitatis eiusdem grammatici. Alia Probi grammatici vocabula p. XL–XLI. Pag. LIII–LII. index auctorum ab Aldhelmo memoratorum p. LIII–LIV.

Virgilii Maronis grammatici de octo partibus orationis ad Iulium Germanum diaconum epistolae octo p. 1–95.

Eiusdem Grammatici Epitomae quindecim p. 96–149.

Excerpta quaedam ex Grammaticis priscis p. 150–152.

Probi ars grammatica, ex antiquissimo codice vaticano p. 153–328. (Namque ego Probum in hoc Grammatico anonymo vaticano, me agnoscere in praefatione dixeram; quam rem invicto testimonio nuper comprobavit codex vindobonensis, olim bobiensis, in quo idem opus cum Probi nomine repertum est.)

Abbonis floriacensis quaestiones grammaticales p. 329–349.

Papyri duae aegyptiacae graecae cum praevia notitia et interpretatione p. 350–361.

Papyrus latina ravennatensis p. 362–363.

S. Serapionis epistola gr. lat. p. 364–366.

Carmina vetera Christianorum ex codicibus vaticanis; nempe S. Paulini nolani, Victorini, Aldhelmi, S. Benedicti Crispi, Hibernici exulis, varia aevi carolini, Iohannis Erigenae, Hincmari, alia anonyma, et elegiacon de Amphitryone et Alcmena p. 367–478.

Hisperica famina, latinitatis inusitatae opus p. 479–500.

S. Aldhelmi de septenario, et de re grammatica ac metrica p. 501–599

Papyri tres aegyptiacae graecae p. 601–604.

TOMUS VI.

Praefatio brevis de tomi argumento p. V–VIII.

Procopii gazaei christiani rhetoris Eclogarum exegeticarum in Genesim epitome usque ad cap. XVIII. p. 1–347; opus egregium ex antiquis patribus sumptum, cum lectionibus variis hexaplaribus. (Pag. 295. v. 6. pro Συρίαν lege Σηρίαν (Seres) ut est apud Hudsonum in notis criticis ad Iosephi antiquitates lib. I. 6; et confer S. Hieronymum de loc. hebr. ed. Veron. T. III. p. 267. n. b.)

Eiusdem fortasse Procopii pars commentarii in Canticum Salomonis p. 348–378.

Scholia vetera graeca in Matthaeum et Marcum ex codice saeculi X. p. 379–500.

Glossarium vetus latinum ex membranis Bibliothecae vaticanae p. 501–551.

Placidi glossae valde auctae et emendatae p. 553–574.

Index Auctorum in vetere lexico laudatorum p. 575.

Excerpta ex Glossario vetere p. 576–600.

TOMUS VII.

Praefatio de diversis multisque, quae volumen constituunt, scriptis p. V–XII.

Tabula itinerum seu expeditionum Alexandri.

Itinerarium Alexandri macedonis cum adnotationibus p. 1–55.

Index rerum praecipuarum Itinerarii p. 56–58.

Iulii Valerii res gestae Alexandri macedonis translatae ex Aesopo graeco cum adnot. lib. III. p. 59–239.

Index rerum notabiliorum apud Iul. Valerium p. 240–246

Interpretes veteres Virgilii ex palimpsesto veronensi cum adnot. p. 247–311.

Interpretum praedictorum catalogus, itemque scriptorum apud illos memoratorum p. 312–315.

Cynthii cenetensis pars Commentarii in Virgilii Aeneidem p. 321–394.

Index Auctorum a Cynthio laudatorum p. 395–396.

Dynamidiorum, sive Medicinalium, libri *duo* p. 397–463.

Historiae romanae fragmentum p. 464–474.

Bonifacii archiepiscopi et martyris Ars grammatica p. 475–548.

Glossae antiquae p. 549–587.

Excerpta ex Physiologo p. 588–596.

TOMUS VIII.

Lexicon vetus latinitatis ex membranis Bibliothecae vaticanae nunc primum erutum; opus per ordinem litterarum digestum, quibus singulis praeponuntur Auctoris prologi; novitate et numero vocabulorum abundans. Praeit Editoris praefatio, in qua breviter de re tota disseritur; sequitur index permultorum Auctorum in Lexico laudatorum. Sunt voluminis paginae 654.

TOMUS IX.

Procopii gazaei rhetoris Commentarius ingens in Salomonis proverbia p. 1–256.

Praeponitur Editoris praefatio, in qua breviter de hoc et aliis voluminis argumentis agitur p. V–VIII.

Commentariorum in Canticum Salomonis collectio ex diversis Patribus, cura Procopii gazaei. Sunt autem patres hi: Anonymus, Apollinaris, Cyrillus alex., Didymus, Eusebius caes., Gregorius nyssenus, Isidorus, Nilus, Origenes, Philo carpathius, Procopius gazaeus, Theodoretus, Theophilus, p. 257–430. Additur Carpi fragmentum p. 430.

Scholia vetera gr. in Lucam et Iohannem ex codice saeculi decimi p. 431–512.

Herennii philosophi Commentarius nobilis ad Aristotelis metaphysica. In praefatione refellitur ab Editore duplex Fabricii error circa hunc Herennium, nempe quod dictus fuerit *Philo* pro *philosophus*, et quod creditus sub Hadriano imp. vixisse; p. 513–593. (Hic Herennius dicitur *philosophus*, non *Philo*, etiam in codice mediolanensi.)

Gregorii Phrantzae Chronicon minus, cum praevia notitia. Sunt Chronici paginae 103.

TOMUS X.

Praefatio editoris de novis Cyrilli aliorumque Patrum scriptis p. V–XXXII.

S. Cyrilli patriarchae alexandrini Commentarius in Lucae evangelium, ex codice Bibliothecae vaticanae p. 1–407. Rursusque ex alio codice p. 501–546. Tertio ex catena vat. in prophetas p. 605–607. Quarto ex alia catena p. 608–613. (Alia denique fragmenta eiusdem Commentarii habes in tomo IX. Scriptorum vet. p. 741.) Item eiusdem Cyrilli fragmenta homiliarum p. 546–553.

Severi patriarchae antiocheni reliquiae Commentariorum in Lucam p. 408–457. Rursusque p. 470–473.

Severi eiusdem ex commentario in Act. apost. cap. II. de pentecoste p. 457–470.

Origenis fragmenta in Lucam p. 474–482.

Eulogii patriarchae alex. fragmentum p. 483.

Dionysii (patriarchae alex.) fragmentum p. 484.

Cypriani de paenitentia fragmentum graecum p. 485–487.

Eutychii patriarchae cpolitani fragmentum p. 488–493.

Eulogii patriarchae alex. fragmentum aliud p. 493–494.

Apollinaris fragmenta commentariorum in Lucam p. 495–499.

Athanasii archiepiscopi corinthii fragmentum p. 499–500.

Arsenii monachi adversus tentatorem nomicum p. 553–557.

Ephraemii patr. antioch. fragmentum ex eius apologia pro synodo chalced. et pro epistola S. Leonis PP. p. 558–559.

Gregorii patr. antioch. sermo dogmaticus de verbis *hic est filius meus dilectus in quo mihi complacui* p. 560–570.

Iohannis euboici sermo in ss. Infantes ab Herode occisos p. 570–576.

Hesychii hierosolymitani sermo in occursum Domini p. 577-585.

Timothei hierosol. sermo in Simeonem iustum p. 585–595.

Eusebii archiepiscopi alexandrini sermo de secundo Christi adventu p. 595–600.

Origenis fragmentum in Leviticum p. 600.

Iobii monachi fragmenta ex opere de incarnatione p. 601–604.

Additamenta et emendationes p. 614.

Index generalis tomorum decem p. 615–624.

IMPRIMATUR

Fr. Dom. Buttaoni O. P. S. P. A. Mag.

A. Piatti Patriarch. Antioch. Vicesg.

Digitized by Google